ἄξιος, α, ον, digne, digne de, qui a de la valeur : καὶ ἄρχειν ἄξιος οἰόμενος τοῦ ἄρχεσθαι ἀξίου 79 a 3-4; εἰ ἄξιος ὁ παθὼν παθεῖν 97 a 30; « ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ » 10 a 34-35; τοῦτο δ' ἐστὶν **ἄξιον** ἐπιτιμήσεως 55 a 24; ἀπολαυστικὰ δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον 61 a 19; περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον 78 b 11; οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου 78 b 22; τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν 78 b 30; καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ τυχόντος ἄξιον 87 a 27; 91 a 13 (*infra*); τὸ γὰρ « λόγου ἄξιον » οὐχ ἁπλῶς λέγεται 01 a 24; διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ... κείρασθαι τὴν 'Ελλάδα 11 a 31; εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι... 11 a 34; « καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον » 12 b 18 (Anaxandride); ταὐτὸ γάρ ἐστι τῷ εἰπεῖν · « ἄξιόν γ' ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθανεῖν », ἢ · « ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα », ἢ · « μὴ ποιοῦντα θανάτου ἄξια » 12 b 19-

20**-21; « ἄξιόν γ' ἀποθανεῖν μὴ ἄξιον ὄντα τοῦ ἀποθανεῖν » 12 b 30*; **ἀξίου** 79 a 4 (*supra*); **ἄξιον** (acc. masc.) 12 b 20* & 30 (*supra*); « τὴν **ἀξίαν** δεῖ γαμεῖν τὸν **ἄξιον** » 12 b 29*; ὅσων ὡς ἁπλῶς εἰπεῖν **ἄξιοί** εἰσιν οἱ ἀγαθοί 87 a 14; ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν 87 b 6; οἰκεῖα γὰρ οἴονται αὐτοῖς εἶναι, καὶ ἄξιοι τούτων 88 b 10; ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων, ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ « λόγου ἄξιον » οὐχ ἁπλῶς λέγεται 01 a 24*; « ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες » 14 b 32 (Gorgias); καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ **ἄξια** τῶν προγόνων καὶ τῶν προϋπηργμένων 67 b 12; καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι 78 b 12; ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν 78 b 14; ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν 78 b 16-17; ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν 88 b 4; 12 b 21 (*supra*); **ἀξίων** 78 b 17 (*supra*); ἢ φοβεροὺς ἢ αἰσχύνης **ἀξίους** ἢ κεχαρισμένους 80 b 33; ὁ γὰρ μηδένα οἰόμενος πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ 86 a 1; οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι 87 b 15; ἀναξίους ὄντας τυγχάνειν, ἀξίους δὲ μὴ τυγχάνειν 87 b 21; καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται ὧν ἕνεκεν ἄρχειν ἄξιον 91 a 12-13. — Voir ἀνάξιος.

ἀξιοῦν, estimer, apprécier, juger digne : καὶ τὸ τὰ ἁμαρτήματα καὶ τὰ ἀδικήματα μὴ τοῦ ἴσου ἀξιοῦν, μηδὲ τὰ ἀτυχήματα 74 b 6; καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν 79 b 33; καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων μεγαλοψυχία 89 a 31; δεινόν τε τὸ μὴ θέλειν αὐτόν, ὑπὲρ ὧν ἐκείνους **ἀξιοῖ** ὀμόσαντας δικάζειν 77 a 25; οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα 88 b 2; καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι περὶ ὧν ἄλλους **ἀξιοῦσιν** ὀμνύναι 77 a 29; καὶ ὑμᾶς μὲν ἀξιοῦσιν ἐμμένειν οἷς ὀμόσαντες δικάζετε 77 b 9; καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὑτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι 87 b 12*; καὶ οὓς οἱ ἄλλοι ἀξιοῦσιν 88 b 8; ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ **ἀξιῶν** 07 a 27; οἱ **ἀξιοῦντες** 87 b 12 (*supra*); καὶ τοὺς **ἀξιοῦντας** ἐλεεῖσθαι 87 b 19; ἀνάγκη δὴ ζηλωτικοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας αὑτοὺς ἀγαθῶν ὧν μὴ ἔχουσιν 88 b 1; « εἰ πρὶν ποιῆσαι **ἠξίουν** τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν » 97 b 35; **ἠξίου** γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας 84 b 33; « εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν » 98 a 1; οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν **ἠξίωσε** 95 a 26; οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ **ἀξιούμενοι** 88 a 28; « εὐθὺς μὲν τῶν ἀριστείων **ἠξιώθησαν** » 10 a 9 (Isocrate); τὸ γὰρ τῶν ὁμοίων **ἠξιῶσθαι** τοὺς μὴ ὁμοίους οὐ δίκαιον 87 b 7.

ἀξίωμα (τό), valeur, rang, dignité : ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα, διὸ μετριάζουσιν 91 a 27; καὶ μήτε ταπεινὴν [τὴν λέξιν], μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν 04 b 4; καὶ τοὺς ὁμοίους ἐλεοῦσιν κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ **ἀξιώματα**, κατὰ γένη 86 a 26.

ἀξύνετος, ος, ον, inintelligent, sot : « τοῦ λόγου τοῦδ' ἐόντος ἀεὶ **ἀξύνετοι** ἄνθρωποι γίγνονται » 07 b 17 (= Héraclite, *fr.* 22 A 4 : D-K, I, p. 144-145).

ἀόριστος, ος, ον, indéterminé, indéfini, sans limite de temps : τούτων δὲ [τῶν μοναρχιῶν] ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς 66 a 2; ὅσων ἥ τε αἰτία ἀόριστος 69 a 33; ἂν οὖν ᾖ **ἀόριστον**, δέῃ δὲ νομοθετῆσαι, ἀνάγκη ἁπλῶς εἰπεῖν 74 a 34; τὸ γὰρ ἀόριστον πλανᾷ 15 a 14; ἀποβλέποντα μὴ εἰς **ἀόριστα**, ἀλλ' εἰς τὰ ὑπάρχοντα περὶ ὧν ὁ λόγος 96 b 7.

ἀπαγγέλλειν, annoncer: ὅτι δὲ ῥᾴδιον, ὁρᾶν δεῖ ἐκ τῶν **ἀπαγγελλόντων** 17 b 9. — Voir ἀγγέλλειν.

ἀπαγορεύειν, ἀπειρηκέναι, interdire : οἷον ἐνίοτε ὁ μὲν κελεύει... ὁ δ' **ἀπαγορεύει** μὴ συντίθεσθαι παρὰ τὸν νόμον 75 b 10; καὶ ὅτι τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις **ἀπαγορεύεται** 75 b 25; οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα ὅτι δίκαιον **ἀπειρημένον** θάψαι Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον 73 b 10.

ἀπάθεια (ἡ), indifférence, insensibilité : ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα 83 b 15.

ἀπαθής, ής, ές, qui est à l'abri de la souffrance, insensible, indifférent : μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρός, οὐκ ἔσται ἀπαθής 61 b 30; καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι, ... τῷ δ' **ἀπαθεῖ** καὶ δυσχεραίνοντι τοὐναντίον 78 a 5; διχῶς γὰρ **ἀπαθεῖς** γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι, ἢ τῷ βοηθείας ἔχειν 83 a 28.

ἀπαιδευσία (ἡ), manque d'éducation, défaut de culture : ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι 91 a 17; καὶ οἱ ἀντιποιούμενοι ταύτης [τῆς ῥητορικῆς] τὰ μὲν δι' **ἀπαιδευσίαν**, τὰ δὲ δι' ἀλαζονείαν, τὰ δὲ καὶ δι' ἄλλας αἰτίας ἀνθρωπικάς 56 a 29.

ἀπαίδευτος, ος, ον, inculte, sans éducation, grossier : τὸ γνωμολογεῖν... καὶ τὸ μυθολογεῖν περὶ ὧν ἄπειρος, ἠλίθιον καὶ **ἀπαίδευτον** 95 a 6; καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν **ἀπαιδεύτων** τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα 04 a 27; τοῦτο γὰρ αἴτιον καὶ τοῦ πιθανωτέρους εἶναι τοὺς **ἀπαιδεύτους** τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν 95 b 28-29.

ἀπαιτεῖν, réclamer, redemander : καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν ὅτε αἰτεῖν 83 b 27-28; οἷον ἔνιοι **ἀπαιτοῦσιν**, ὥσπερ ὁ μέν καὶ ὁ ἐγὼ μέν **ἀπαιτεῖ** τὸν δέ καὶ τὸν ὁ δέ 07 a 22-23. — Voir αἰτεῖν.

ἀπαλλαγή (ἡ), séparation, délivrance : τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ **ἀπαλλαγὴν** ἢ ἀντὶ μείζονος ἐλάττονος μετάληψιν ἐν τοῖς ἀγαθοῖς... καὶ τὴν τῶν λυπηρῶν... ἀπαλλαγὴν ἢ μετάληψιν... ἐν τοῖς ἡδέσιν ὡσαύτως 69 b 24-26.

ἀπαλλοτριοῦν, aliéner, détacher de : τοῦ δὲ οἰκεῖα εἶναι ὅταν ἐφ' αὐτῷ ᾖ **ἀπαλλοτριῶσαι** ἢ μή 61 a 22.

ἀπαλλοτρίωσις (ἡ), aliénation (des biens) : λέγω δὲ **ἀπαλλοτρίωσιν** δόσιν καὶ πρᾶσιν 61 a 22.

ἀπανθεῖν, perdre sa fleur, passer fleur, se faner : οἱ μὲν γὰρ **ἀπανθήσαντες** 07 a 1 (métaphore : voir Platon, *Resp.*, X, 601 b); ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην... ἄμφω γὰρ **ἀπηνθηκότα** 10 b 15.

ἀπαντᾶν, rencontrer, répondre, réfuter : ἄλλος τόπος ὥστε πρὸς τὰ ἀμφισβητούμενα ἀπαντᾶν 16 a 7; ὕστερον δὲ πρὸς τἀναντία ἀπαντᾶν λύοντα καὶ προδιασύροντα 18 b 9; « ἦλθον, **ἀπήντησα**, ἐδεόμην » 13 b 29.

ἅπαξ, une fois, une seule fois : ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν 62 a 10; καὶ πολλὰ δοκεῖ, ὥστε ηὔξησεν, ἅπαξ μνησθείς 14 a 5.

ἀπαρτᾶν, suspendre, séparer : δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε μακρὰν ἀπαρτᾶν, μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου 07 a 25.

ἅπας, ασα, αν, tout, tout entier, tout à la fois : τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἅπας 82 a 7; καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ καὶ **ἅπαν** ἡδύ 70 a 17; ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν 71 b 18; ἐνθύμημά ἐστιν τὸ ἅπαν 94 a 32; περὶ δὲ συλλογισμοῦ ὁμοίως **ἅπαντος** τῆς διαλεκτικῆς ἐστιν ἰδεῖν 55 a 9; οὐ γὰρ καθ' **ἅπασαν** ἕξιν οἱ βίοι ποιοί τινες 08 a 29; ἅπαντες γὰρ οἱ μέν... οἱ δὲ... 54 a 21; ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ... 59 a 16; ὁμολογοῦσιν... ἅπαντες 60 b 18; πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι 65 b 25; ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν 90 b 17; « ἅπαντες ἴσασιν » 08 a 34; ταύτῃ γὰρ πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται 09 a 30; οὐ περὶ **ἅπαντα**, ἀλλ' ὅσα ἐνδέχεται 59 a 31; ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν 60 a 18; ἅπαντα δὲ ταῦτα πολιτικῆς, ἀλλ' οὐ ῥητο-

ρικῆς ἔργον ἐστίν 60 a 37; ἅπαντα γὰρ ἔχει ταῦτα 65 b 11; ἅπαντα γὰρ ταῦτα καλά 68 a 12; εἰδότες ἅπαντα 68 b 12; ὅσα δι' αὑτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθά 69 b 19; ἢ δι' ἅπαντα ταῦτα ἢ διὰ τούτων 78 a 10; ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν εἶναι τοῖς ἀκροωμένοις πιστόν 78 a 14; εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή 78 a 25; εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά 85 b 22; ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον 86 b 5; καὶ ἔστιν τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα 86 b 31; ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα 87 a 5; καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσιν [οἱ νέοι] 89 b 2; καὶ εἰδέναι ἅπαντα οἴονται 89 b 5; ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ [οἱ πρεσβύτεροι] 89 b 18; ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ οὕτω διάκεινται [οἱ πλούσιοι] 90 b 34; διὸ φαίνεται ὤνια ἅπαντα εἶναι 91 a 2; τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν 91 a 15; ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται 92 a 19; ἀλλ' ἅπαντα φαντασία ταῦτ' ἐστί 04 a 11; οὐχ ἅπαντα ὅσα περὶ λέξεως 04 a 37; ἅπαντα γὰρ ταῦτα ἀπίθανα 06 b 14; ἅπαντα δὴ ταῦτα ὅμοια 07 b 5; ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον 10 a 20; εἰς δὲ εὐμάθειαν ἅπαντα ἀνάξει, ἐάν τις βούληται 15 a 38; ἢ ὅτι ποιόν, ἢ ὅτι ποσόν, ἢ καὶ ἅπαντα 16 b 22; ἃ κοινὰ τρόπον τινὰ **ἁπάντων** ἐστὶ γνωρίζειν 54 a 2; περὶ ἁπάντων δ' αὐτῶν [τῶν λόγων] εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσίν 91 b 23; ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων 91 b 30; οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων **ἁπάντων** 59 a 34; μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν 65 b 22; μοναρχία... ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν 66 a 1; ἁπάντων δὴ τῶν ἀδικημάτων διῃρημένων 73 b 25; ἔστι δὲ τούτων ἁπάντων τὰ μέν... τὰ δέ... 92 b 31; οὐκ ἐξ ἁπάντων τῶν δοκούντων, ἀλλ' ἐκ τῶν ὡρισμένων λεκτέον 95 b 31; οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν 96 b 1; ἔτι δὲ ἄλλον τρόπον καθόλου περὶ ἁπάντων λάβωμεν 97 a 1; οὐκοῦν εἰ ὁμοίως ἐφ' ἁπάντων 98 b 9; κοινὸν ἁπάντων τῶν εἰδῶν 08 b 1; καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος 14 a 29; ὅλως δὲ τῶν κοινῶν εἰδῶν **ἅπασι** τοῖς λόγοις 68 a 26; οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις 81 a 27; ἐπιπολῆς ἔστιν ἰδεῖν ἅπασιν 90 b 32; περὶ τῶν κοινῶν πίστεων ἅπασιν 93 a 23; δῆλον εἶναι ἅπασιν ἢ τοῖς πλείστοις 96 a 2; ἐν **ἅπασι** γὰρ τοῖς τοιούτοις 70 b 20; ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν 86 b 20; ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ 12 b 11; τὸν Κύκνον, ὃς ἐκώλυσεν **ἅπαντας** ἀποβαίνειν ἄτρωτος ὤν 96 b 16; ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως **ἁπάσας** 59 b 27; τὰς πολιτείας ἁπάσας λαβεῖν 65 b 23; καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον 85 b 5. — Voir πᾶς.

ἀπατᾶν, tromper; **ἀπατᾶσθαι**, se tromper : ἢ αἱ πρότεραι [συνθῆκαι] ὀρθαί, αἱ δ' ὕστεραι **ἠπατήκασιν** 76 b 28; ὁ δ' ἄφρων διὰ τὸ **ἀπατᾶσθαι** περὶ τὸ δίκαιον καὶ ἄδικον 68 b 22.

ἀπάτη (ἡ), tromperie : καὶ τὸ μὲν δίκαιον οὐκ ἔστιν μεταστρέψαι οὔτ' **ἀπάτῃ** οὔτ' ἀνάγκῃ 76 b 22; τὰ δὲ βίᾳ καὶ ἀπάτῃ ἀκούσια 77 b 5.

ἀπειθεῖν, désobéir : οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι 75 b 23.

ἀπεῖναι, être absent, être éloigné : καὶ ὁ ἀγὼν **ἄπεστιν**, ὥστε καθαρὰ ἡ κρίσις 14 a 14; μὴ μόνον παρόντος χαίρωσιν ἀλλὰ καὶ **ἀπόντος** μεμνημένοις [ἐρῶσιν] λύπη προσγένηται τῷ μὴ παρεῖναι 70 b 23; καὶ φιλόζωοι [οἱ πρεσβύτεροι], καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν 89 b 34; θαυμασταὶ γὰρ τῶν **ἀπόντων** εἰσίν 04 b 11; καὶ τοῖς ὁμοίως καὶ τοὺς **ἀπόντας** καὶ τοὺς παρόντας φιλοῦσιν 81 b 25. — Voir παρεῖναι.

ἀπειρηκέναι, interdire : 73 b 10. — Voir ἀπαγορεύειν.

ἀπειρία (ἡ), infinité, nombre indéfini : καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν 74 a 32.

ἄπειρος, ος, ον, indéfini, non déterminé : τὸ δὲ καθ' ἕκαστον **ἄπειρον** καὶ οὐκ ἐπιστητόν 56 b 33 ; αὔξεται γὰρ οὕτως εἰς ἄπειρον 08 a 4 ; ἀηδὲς γὰρ καὶ ἄγνωστον τὸ ἄπειρον 08 b 27 ; ἔστι δὲ ἀηδὴς διὰ τὸ ἄπειρον 09 a 32. — Voir ἀπέραντος.

ἄπειρος, ος, ον, inexpérimenté, qui n'a pas l'expérience de : τὸ γνωμολογεῖν... καὶ τὸ μυθολογεῖν περὶ δὲ ὧν ἄπειρος ἠλίθιον καὶ ἀπαίδευτον 95 a 5 ; ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε **ἄπειροι** χειμῶνος θαρροῦσι τὰ μέλλοντα 83 a 30 ; ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν [οἱ νέοι] 89 a 31. — Voir ἐμπειρία, ἔμπειρος.

ἀπελευθεροῦν, libérer, affranchir : ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία τὸ « τίνα αἱρεῖται ἐπίτροπον ὁ **ἀπελευθερούμενος** ; » « Κλέωνα » 08 b 25.

ἀπέραντος, ος, ον, indéfini, indéterminé : τὸ δὲ ἄρρυθμον **ἀπέραντον**, δεῖ δὲ πεπεράνθαι μέν, μὴ μέτρῳ δέ 08 b 26 ; ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ **ἀπεράντῳ** 09 b 2. — Voir ἄπειρος, περαίνειν.

ἀπέχεσθαι, s'abstenir : οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων 61 b 6.

ἀπεχθάνεσθαι, se rendre odieux, se faire détester : καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ **ἀπεχθήσονται** τοῖς ἐχθροῖς 63 a 34.

ἀπίθανος, ος, ον, non persuasif, impropre à la persuasion, incroyable : ἐὰν δ' οὖν τὰ μαλακὰ σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, **ἀπίθανον** γίγνεται 08 b 10 ; τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι μήτε ἄρρυθμον · τὸ μὲν γὰρ ἀπίθανον, πεπλάσθαι γὰρ δοκεῖ 08 b 22 ; ἅπαντα γὰρ ταῦτα **ἀπίθανα** διὰ τὰ εἰρημένα 06 b 14. — Voir ἄπιστος.

ἀπιστεῖν, ne pas croire, ne pas ajouter foi, être infidèle : ὥστε ὅστις **ἀπιστεῖ** ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ 76 b 10 ; **ἀπιστοῦσι** γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον 17 a 35 ; οὔτε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν **ἀπιστοῦντες** 90 a 32. — Voir ἄπιστος, πιστεύειν.

ἀπιστία (ἡ), incrédulité, défiance : ἔτι δὲ καχύποπτοί εἰσιν [οἱ πρεσβύτεροι] διὰ τὴν **ἀπιστίαν** 89 b 22 ; πρὸς ἀπιστίαν τοῦ κατηγόρου 98 a 11.

ἄπιστος, ος, ον, indigne de foi, incroyable : ἄτοπον γὰρ εἰ ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί 16 a 28 ; εἰ οὖν **ἄπιστον** καὶ μὴ εἰκός, ἀληθὲς ἂν εἴη 00 a 9 ; « καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίγνεται, ταῦτα δεῖσθαι ἐλαίου » 00 a 14 ; ἢ ὅτι ἔστι δεῖξαι, ἐὰν ᾖ ἄπιστον 16 b 21 ; ἂν δ' ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν 17 a 28 ; ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαι δεῖ καὶ αἰτίαν λέγειν εὐθύς 17 b 17 ; ἄπιστοι δὲ [οἱ πρεσβύτεροι] δι' ἐμπειρίαν 89 b 22 ; « **ἄπιστ'** ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς » 97 a 19 (= Euripide, *Thyeste*, *fr.* 396) ; ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων, ἀλλὰ φύσει τοιοῦτος εἶ 17 a 34 ; ἐὰν ἄπιστα ᾖ ἢ ἐὰν ἄλλος αἰτίαν ἔχῃ 17 b 33 ; περὶ δὲ τῶν συνθηκῶν... αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ **ἀπίστους** 76 a 34 ; πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν 76 b 2 ; ἄλλος [τόπος] ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι, **ἀπίστων** δέ 00 a 7. — Voir πιστός.

ἄπλετος, ος, ον, immense, infini : « αἰθέρος ἠνεκέως τέταται διά τ' **ἀπλέτου** αὖ γῆς » 73 b 17 (= Empédocle, *fr.* B 135 : D-K, I, p. 366).

ἁπλοῦς, ῆ, οῦν, simple : ὁ γὰρ κριτὴς ὑπόκειται εἶναι ἁπλοῦς 57 a 12 (opp. : διὰ πολλῶν συνορᾶν... λογίζεσθαι πόρρωθεν 57 a 3-4) ; οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν **ἁπλοῦν** καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν 67 a 37 ; οὕτω μὲν οὖν λέγουσιν οὐχ **ἁπλοῦν**, τὸ δ' εἰπεῖν τὸ τόξον φόρμιγγα ἢ τὴν

ἀσπίδα φιάλην ἁπλοῦν 13 a 2-3; καὶ **ἁπλούστερος** ὁ λόγος οὗτος, ἐκεῖνος δὲ ποικίλος καὶ οὐ λιτός 16 b 25.

ἁπλῶς, simplement : ὡς ἁπλῶς εἰπεῖν 55 a 38; 60 b 8; 82 b 25; 87 a 14; ὡς εἰπεῖν ἁπλῶς 55 a 7; 91 b 11; ἀνάγκη ἁπλῶς εἰπεῖν 74 a 34; περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβές 56 a 7; οὐχ ἁπλῶς δὲ καθάπερ ὁρίζονταί τινες 57 a 35; τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς 62 a 21; 63 b 25 (*var.*); ἢ ἁπλῶς ἢ ᾗ κατὰ τὴν φρόνησιν ἔκριναν 64 b 13; ἢ ἁπλῶς ἢ ᾗ βελτίους 64 b 20; ἢ ἁπλῶς ἢ ᾗ βελτίων 64 b 21; καὶ τὸ αὐτῷ ἢ ἁπλῶς 65 a 35; καὶ τὰ ἁπλῶς ἀγαθά 66 b 37; καὶ ὅτι οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδείς, ἀλλὰ τὸ αὐτῷ 75 b 19; τὸ μὲν γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς 90 a 1; μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν 91 b 16; περὶ τοῦ μείζονος ἁπλῶς καὶ ἐλάττονος 93 a 13; περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς 93 a 17; τὸ γὰρ « λόγου ἄξιον » οὐχ ἁπλῶς λέγεται 01 a 24; παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς 02 a 4*; παρὰ τὸ μὴ ἁπλῶς εἰκός, ἀλλά τι εἰκός 02 a 9; εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς εἰκός, ἀλλ' οὐχ ἁπλῶς 02 a 14; καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς, ἀλλά τι εἰκός 02 a 17; ἔστι δὲ τὸ μὲν εἰκός, τὸ δὲ οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ εἴρηται 02 a 23; δυοῖν δὲ θατέρου δεῖ στοχάζεσθαι, ἢ ὅτι τούτοις ἀγαθὸς ἢ ὅτι ἁπλῶς, ὁ δ' ὅτι κακὸς τούτοις ἢ ὅτι ἁπλῶς 19 b 17*.

ἀπό, ἀπ', ἀφ', de, par, à partir de (avec le génitif) : ἀπὸ ἕξεως 54 a 7; οἱ ἀπὸ τοῦ αὐτομάτου 54 a 9; ἀπ' ἐκείνης 55 a 25; ἀπ' ὠφελίμων 58 b 35; ἀπὸ τύχης 59 a 35; 62 a 6; 67 b 24; 68 a 14; 68 b 36; 69 a 32; 85 b 2; 90 b 14; ἀπὸ τῆς τύχης 91 b 3; ἀπὸ γὰρ τῶν ὁμοίων 60 a 5; εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ ἀπὸ γυναικῶν, καὶ γνησιότης ἀπ' ἀμφοῖν 60 b 34*-35; ἀφ' ὧν 61 a 18*; ἀφ' οὗ 74 a 16; 01 a 14; τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς... τὸ ἀπὸ τοῦ μείζονος αἰτίου 64 a 12-13; οἱ ἀπὸ τιμημάτων 65 b 33; τὰ ἀπ' ἀρετῆς 66 b 26; ἀπὸ μοχθηρίας 74 b 7; ἀπὸ πονηρίας 74 b 8, 9, 10; ἀπὸ μείζονος 74 b 24; ἀπὸ τῆς ἐλπίδος 78 b 2; οἱ ἀπὸ τοῦ ἐργάζεσθαι... οἱ ἀπὸ γεωργίας 81 a 22-23; ἀπὸ ταὐτοῦ 81 b 16; τὰ ἀπὸ σημείων καὶ λογίων 83 b 5; ἀπὸ κακίας 83 b 18; 84 a 14; ἀπὸ δειλίας 83 b 19; ἀπὸ ἀδικίας 83 b 20; ἀπὸ ἀκολασίας 83 b 22; ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων 83 b 22-23; τὸ « ἀπὸ νεκροῦ φέρειν » 83 b 24; ἀπὸ τῶν ἄλλων 84 a 6; ἀπὸ ἀνανδρίας γὰρ ἢ δειλίας 84 a 19; ἀπὸ φίλων καὶ συνήθων 86 a 10; ἀπὸ τοῦ αὐτοῦ ἤθους 86 b 10; ἀπὸ τῆς ἐκείνου εὐπραξίας 86 b 23; ἀπὸ τῶν τριάκοντα ἐτῶν 90 b 10; οἱ ἀπ' Ἀλκιβιάδου καὶ οἱ ἀπὸ Διονυσίου τοῦ προτέρου... οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους 90 b 28-29-30; ἄλλος [τόπος] ἀπὸ τοῦ αἰτίου 00 a 31; ἄλλος [τόπος] ἀπὸ τοῦ ὀνόματος 00 b 18; ἀφ' ἑαυτοῦ 02 a 37; ἀπὸ δὲ τοῦ ἐναντίου 02 b 3; ἀπὸ δὲ τοῦ ὁμοίου 02 b 6; αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν 02 b 9; ἀπὸ τοῦ βελτίονος... ἀπὸ τῶν χειρόνων 05 a 15-16; ἀπὸ καλῶν 05 b 6, 17; ἀπὸ φαύλου ἢ αἰσχροῦ... ἀπὸ τοῦ βελτίονος 05 b 21-22; ἀπὸ μόνου 09 a 8; ἀπὸ συλλαβῆς δέ 10 a 37; ἀπὸ οἰκείων καὶ μὴ φανερῶν 12 a 11; μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδος 13 a 17; καὶ ἀπὸ συμβουλῆς 14 b 35; « Ἀσίας ἀπὸ γαίης » 15 a 17 (Choerilos); καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν,... ἀλλ' ὡς ἀπὸ προαιρέσεως 17 a 24-25.

ἀποβαίνειν, descendre, arriver, se produire, débarquer : τὸν Κύκνον, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν ἄτρωτος ὤν 96 b 17; [τὰ φύσει] ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως **ἀποβαίνει** 69 b 2; ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον 90 a 5; τοὺς πολέμους... πῶς **ἀποβαίνουσιν** 60 a 5; ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ ἀρχαί, καὶ τὰ **ἀποβαίνοντα**, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί 64 a 35-36; καὶ ταύτης αὐτῆς χάριν, ἀλλὰ μὴ τῶν

ἀποβαινόντων 84 a 23 ; « κώπης ἀνάσσων **κἀποβὰς** εἰς Μυσίαν » (= Euripide, *Télèphe*).

ἀποβάλλειν, rejeter, perdre : οἷον τὸ **ἀποβαλεῖν** ἀσπίδα ἢ φυγεῖν 83 b 19 ; ἴσασιν [οἱ πρεσβύτεροι] ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν 89 b 29.

ἀποβλέπειν, regarder, fixer les yeux : **ἀποβλέποντα** μὴ εἰς ἀόριστα, ἀλλ' εἰς τὰ ὑπάρχοντα περὶ ὧν ὁ λόγος 96 b 6.

ἀποβολή (ἡ), rejet, perte, déperdition : τοῦ μὲν λῆψις, τοῦ δ' ἀποβολή 62 b 2 ; ἀνάγκη τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τῶν κακῶν **ἀποβολάς** 62 a 36.

ἀποδεικνύναι, démontrer : ἐνδέχεται ἐχθροὺς καὶ φίλους καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν 82 a 17 ; ἀποδεικνύναι δὲ χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις... 17 b 21 ; ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν διὰ εἰκότων **ἀποδείκνυσιν** 02 b 27 ; 14 a 34 (*infra*) ; ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο 14 b 11 ; **ἀποδεικνύων** 14 a 34 (*infra*) ; ἐπειδὴ καὶ πάντες οὕτω φαίνονται **ἀποδεικνύντες** 96 a 33 ; ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν **ἀποδεῖξαι** ὅτι οὕτως ἔχει 54 b 30 ; « οὐκ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδεμίαν δίκην » 00 a 21 ; ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι περίεργά ἐστιν 04 a 6 ; ἀναγκαῖον γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τοῦτ' ἀποδεῖξαι. Διὸ εἰπόντα μὴ ἀποδεῖξαι ἢ ἀποδεῖξαι μὴ προειπόντα ἀδύνατον · ὅ τε γὰρ ἀποδεικνύων τι ἀποδείκνυσι, καὶ ὁ προλέγων ἕνεκα τοῦ ἀποδεῖξαι προλέγει 14 a 32-33*-34*-35 ; μετὰ τὸ ἀποδεῖξαι αὐτὸν μὲν ἀληθῆ, τὸν δὲ ἐναντίον ψευδῆ 19 b 14 ; ἡ Δωδωνὶς **ἀπέδειξεν** Ἰσμηνίου τὸν υἱόν 98 b 4 ; καὶ ἐν τούτοις ἢ ἀρχόμενον ἢ **ἀποδείξαντα** 95 a 10 ; ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων **ἀπεδείχθη** 01 a 12 ; τότε γὰρ πιστεύομεν μάλιστα ὅταν **ἀποδεδεῖχθαι** ὑπολάβωμεν 55 a 6 ; ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι 03 b 12. — Voir δεικνύναι, ἐπιδεικνύναι, ὑποδεικνύναι.

ἀποδεικτικός, ή, όν, démonstratif, capable de convaincre : πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός 77 b 23 ; οὐ μόνον αἱ πίστεις γίνονται δι' **ἀποδεικτικοῦ** λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ 66 a 9 ; ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις **ἀποδεικτικαί**, εἴρηται 58 a 1 ; εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν **ἀποδεικτικῶν** 00 b 30 ; πῶς ἐνδέχεται εἶναι... ἐπίλογον τῶν ἀποδεικτικῶν ; 14 b 1 ; τοὺς ἐλεγκτικοὺς καὶ τοὺς **ἀποδεικτικούς** 97 a 2 ; τὰς δὲ πίστεις δεῖ **ἀποδεικτικὰς** εἶναι 17 b 21. — Voir δεικτικός, ἐπιδεικτικός.

ἀποδεικτικῶς, de manière à démontrer, par voie de démonstration : ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς 18 a 39.

ἀπόδειξις (ἡ), démonstration : ἡ δὲ πίστις ἀπόδειξίς τις... ἔστι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύμημα 55 a 5-6 ; πάντα γὰρ γίγνεται ἀπόδειξις (*var.* ἀποδείξει) ἤδη φανερά 03 a 14 ; Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδεξις 09 a 29 (= Hérodote, I, 1) ; τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι, τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα, τὸ δὲ ἀπόδειξις 14 a 37 ; ἡ δὲ (δικανική) περὶ ὄντων ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστι καὶ ἀνάγκη 18 a 5 ; οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις 18 a 17 ; **ἀποδείξεως** μὲν οὖν δεόμεναί εἰσιν ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον 94 b 9 ; αἰτίαν γὰρ καὶ **ἀπόδειξιν** μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές 68 a 32 ; φέροντα τὴν ἀπόδειξιν 17 b 23 ; τὴν ἀπόδειξιν φέρειν 17 b 24 ; ἔχοντα δὲ ἀρχὴν ῥᾷον εὑρεῖν ἀπόδειξιν 18 a 27 ; ἃ πιστεύομεν ἔξω τῶν **ἀποδείξεων** 78 a 7 ; χρῆσθαι τοῖς παραδείγμασι... ὡς **ἀποδείξεσιν** 94 a 10 ; ὀλιγάκις γὰρ καὶ τούτων **ἀποδείξεις** φέρουσιν 17 b 33 ; ἔχοντα μὲν οὖν ἀποδείξεις 18 a 38. — Voir ἀποδεικνύναι.

ἀποδέχεσθαι, accueillir, accepter : **ἀποδέχονται** πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους 90 a 25 ; ἢ τοῖς κρίνουσιν ἢ οὓς ἀποδέχονται 96 a 1 ; ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες 98 b 24 ; ἀποδέχονται δηλονότι ὁμοίως ἔχοντες 08 b 18 ; **ἀποδέξαιτ'** ἂν τοῦ εἰπόντος 95 b 8.

ἀποδιδόναι, donner à qui de droit, rendre, transmettre, attribuer : χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας 54 b 3 ; μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου 07 a 25 ; ἄρρενα καὶ θήλεα καὶ σκεύη · δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς 07 b 8 ; ἔτι τάδε ποιεῖ σολοικίζειν, τὸ μὴ ἀποδιδόναι 07 b 19 ; ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς **ἀποδίδωσιν** ἑκάστῳ 62 a 25 ; ὁ μὲν ὀμόσας οὐκ ἀποδίδωσιν 77 a 13 ; οὐ γὰρ ὁμοίως **ἀποδίδομεν** τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες 56 a 15 ; καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν 86 b 14 ; ἂν **ἀποδιδῷ** τις ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι 07 a 21 ; ὅταν **ἀποδιδῶσιν** 13 a 12 ; καὶ τοῖς χάριν μὴ **ἀποδιδοῦσιν** 79 b 29 ; ἢ ὅτι **ἀπέδωκαν** ἀλλ' οὐκ ἔδωκαν 85 b 3 ; ὅπως τὰ λοιπὰ προσθέντες **ἀποδῶμεν** τὴν ἐξ ἀρχῆς πρόθεσιν 92 a 3 ; **ἀποδοίη** 62 a 25 (*supra*) ; ἀρχὴ δὲ διότι ἃ ὑπέσχετο **ἀποδέδωκεν** 19 b 33 ; πρὸ τοῦ **ἀποδοθησομένου** συνδέσμου 07 a 28. — Voir διδόναι.

ἀποδοκιμάζειν, rejeter, exclure : τά τε ἀσύνδετα καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς **ἀποδοκιμάζεται** 13 b 20.

ἀποθνήσκειν, mourir : ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν · οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν · ἀπέθνησκον γὰρ ἄν 98 b 29-30 ; δίκαιόν ἐστιν... ἀποθνήσκειν ταύτην 01 a 39 ; « ἀποθνήσκειν δεῖ μηθὲν ἁμαρτάνοντα » 12 b 27 ; **ἀπέθνησκον** γὰρ ἄν 98 b 30 (*supra*) ; ἴσασι γὰρ πάντες ὅτι **ἀποθανοῦνται**, ἀλλ' ὅτι οὐκ ἐγγύς, οὐδὲν φροντίζουσιν 82 a 26 ; δικαίως **ἀπέθανεν** 97 a 29 (*var.*) ; δεῖ αὐτὸν **ἀποθανεῖν** ἐξὸν ζῆν 59 a 4 ; ἐπὶ τὸ ἀποθανεῖν 86 a 21 ; οὐχ αἱρετὸν τὸ δικαίως ἀποθανεῖν 97 a 22 ; 97 b 11, 12 (*infra*) ; ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν 99 b 8 ; « καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον » 12 b 18 (Anaxandride) ; « ἄξιόν γ' ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθανεῖν » 12 b 19-20 ; « ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα » 12 b 20 & 30*, *cf.* 27 (ἀποθνήσκειν : *supra*) ; ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. Καὶ περὶ τοῦ Θήβησιν **ἀποθανόντος**, περὶ οὗ κελεύει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν, ὡς οὐκ ἄδικον ὂν τὸ ἀποκτεῖναι τὸν δικαίως **ἀποθανόντα** 97 b 11*-12*-13. — Voir θνήσκειν.

ἀποκάμπτειν, faire un détour, tourner autour de : τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω **ἀποκάμπτοντες** τοῦ τέρματος, ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας 09 b 23.

ἀποκόπτειν, couper : ἀλλὰ δεῖ τῇ μακρᾷ **ἀποκόπτεσθαι**, καὶ δήλην εἶναι τὴν τελευτὴν μὴ διὰ τὸν γραφέα, ... ἀλλὰ διὰ τὸν ῥυθμόν 09 a 19.

ἀποκρίνεσθαι, répondre, répliquer : φησὶ δὲ **ἀποκρινόμενος** 97 b 5 ; « ὁ δὲ ἀπεκρίνατό μοι ὅτι οὗ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία », — ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους **ἀποκρίνασθαί** φησιν ὁ Ἡρόδοτος 17 a 5 & 7 ; ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως, πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν λύσιν φέροντα εὐθὺς τῇ ἀποκρίσει 19 a 20 ; **ἀπεκρίνατο** 17 a 5 (*supra*) ; ὅταν μὴ ἐνῇ ἀλλ' ἢ σοφιστικῶς **ἀποκρινάμενον** λῦσαι · ἐὰν γὰρ οὕτως **ἀποκρίνηται**... 19 a 14-15.

ἀπόκρισις (ἡ), réponse : διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς Συρακοσίους 84 b 15 ; ἀποκρίνασθαι δὲ δεῖ... πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν λύσιν φέροντα εὐθὺς τῇ **ἀποκρίσει** 19 a 22.

ἀποκρύπτειν, cacher, dissimuler : καὶ οὐ κλάδοις, ἀλλὰ « τοῖς τῆς ὕλης κλάδοις **ἀπέκρυψεν** » 06 a 28 *var.* (Alcidamas).

ἀποκτείνειν, tuer, condamner à mort, exécuter : « ἐὰν δὲ τοῦτον **ἀποκτείνητε**, ἕτεροι ἥξουσι » 93 b 32 ; οἷον τὸ **ἀποκτεῖναι** τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων 96 b 15 ; ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι... ὡς οὐκ ἄδικον ὂν τὸ ἀποκτεῖναι τὸν δικαίως ἀποθανόντα 97 b 10 & 12 ; οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας **ἀπέκτεινεν**... ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν 00 b 12 & 15 ; καὶ ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν **ἀποκτεινάντων** Νικάνορα 97 b 9. — Voir κτείνειν.

ἀπολαμβάνειν, reprendre : καὶ μάλιστα ὅταν **ἀπειληφότα** ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα 70 a 4.

ἀπολαύειν, tirer profit de, jouir de : « ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι βουλομένοις » 10 a 6 (= Isocrate, *Panég.*, § 41).

ἀπόλαυσις (ἡ), jouissance, usage agréable de : καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, οἷον πλοῦτος καὶ κάλλος, μᾶλλον ὑγιείας 88 b 13 ; ἀπόλαυσις κτήσει ἀντίκειται 10 a 7 ; ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς **ἀπόλαυσιν** 61 a 17 ; ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν 61 b 9 ; τοὺς ἔχοντας ὧν αὐτοὶ ἐνδεεῖς ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς ἀπόλαυσιν 72 b 25 ; καὶ τὸ ἢ μηδὲν γεγενῆσθαι ἀγαθόν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν 86 a 16 ; ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν 98 a 24.

ἀπολαυστικός, ή, όν, dont l'usage est agréable : καὶ αἱ **ἀπολαυστικαὶ** [ἀρεταὶ] ἄλλοις μᾶλλον ἢ αὐτοῖς 67 a 18 ; κάρπιμα δὲ λέγω ἀφ' ὧν αἱ πρόσοδοι, **ἀπολαυστικὰ** δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον 61 a 18.

ἀπολείπειν, laisser en arrière : τὰ δὲ μακρὰ **ἀπολείπεσθαι** ποιεῖ [τὸν ἀκροατήν], ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος, **ἀπολείπουσι** γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας 09 b 22-23.

ἀπολλύναι, perdre, subir une perte ; **ἀπόλλυσθαι**, périr : ἢ δι' ἀπορίαν μηδὲν ἕξει ὅ τι **ἀπολέσῃ** 72 a 36 ; « καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ · Οἰνεὺς δ' ἄρ' οὐχὶ κλεινὸν ἀπολέσας γόνον ; » 97 b 25 & 26 (poét., trag. adesp.) ; καὶ ὡς ὁ Λάκων... ἐρωτώμενος εἰ δοκοῦσιν αὐτῷ δικαίως **ἀπολωλέναι** ἅτεροι, ἔφη 19 a 32 ; διὸ οὔτε οἱ παντελῶς **ἀπολωλότες** ἐλεοῦσιν 85 b 19 ; καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι **ἀπολλύμενος** εὐφραίνει 07 a 11 ; « οἱ μὲν γὰρ αὐτῶν κακῶς **ἀπώλοντο**, οἱ δ' αἰσχρῶς ἐσώθησαν » 10 a 14 (= Isocrate, *Panég.*, § 149) ; « οὐκοῦν δικαίως ἂν καὶ σὺ ἀπόλοιο ; » 19 a 34 ; τὴν νεότητα τὴν **ἀπολομένην** ἐν τῷ πολέμῳ 11 a 3 ; τὰ μὲν γὰρ ἂν γενέσθαι **ἀπολόμενα** 17 a 31.

ἀπολογεῖσθαι, se défendre en justice, plaider sa propre cause (opp. à κατηγορεῖν, accuser) : πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν 54 a 5 ; ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι 77 b 17 ; ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν 99 a 13 ; ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι 00 b 11 ; διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομένου τοῦ δήμου τί οὐκ **ἀπολογεῖ** ; 80 b 9 ; περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ, ὁ δὲ **ἀπολογεῖται** 58 b 17 ; ἀπολογεῖται γὰρ ὅτι ἔθαψε παρὰ τὸν τοῦ Κρέοντος νόμον 75 a 34 ; ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν 00 b 14 ; ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων

σκοπούμενοι κατηγοροῦσι καὶ **ἀπολογοῦνται** 96 a 22-23 ; ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ κατηγοροῦσι καὶ ἀπολογοῦνται · ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν. Ἀπολογοῦνται μὲν... 00 a 2 & 3* ; οἷον Λεωδάμας **ἀπολογούμενος** ἔλεγε 00 a 33 ; τῷ μὲν κατηγοροῦντι... τῷ δὲ **ἀπολογουμένῳ** ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει 68 b 31 ; ἀπολογουμένῳ μὲν γὰρ πρῶτον τὰ πρὸς διαβολήν, κατηγοροῦντι δ' ἐν τῷ ἐπιλόγῳ 15 a 29 ; ἀπολογουμένῳ δὲ ἐλάττων ἡ διήγησις 17 a 8 ; περὶ νόμων εἴπωμεν, πῶς χρηστέον... καὶ κατηγοροῦντα καὶ **ἀπολογούμενον** 75 a 27 ; καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ καὶ ἐπαινοῦντα καὶ ψέγοντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον 96 a 26 ; διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν 02 b 25 ; τὸν μὲν γὰρ ἀπολογούμενον, ὅταν μέλλῃ εἰσάξειν αὐτόν, ἀναγκαῖον ἀνελεῖν τὰ κωλύοντα 15 a 31 ; ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ **ἀπολογούμενοι** 59 a 18 ; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι 91 b 32 ; 96 a 22 (*supra*) ; κατηγοροῦντες δ' ἢ ἀπολογούμενοι εἴ τι δίκαιον ἢ ἄδικον 96 a 29.

ἀπολογία (ἡ), défense en justice, plaidoyer, apologie : δίκης δὲ τὸ μὲν κατηγορία, τὸ δ' ἀπολογία 58 b 11 ; καὶ γὰρ ἡ κατηγορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ἡ συμβουλή 14 b 4 ; περὶ δὲ κατηγορίας καὶ **ἀπολογίας**, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς 68 b 1 ; καὶ διὰ τὸ **ἀπολογίαν** ἔχειν ὅτι οὐκ ἂν ἐνεχείρησαν 72 a 31. — Opp. κατηγορία.

ἀπόλογος (ὁ), récit, narration : ὁ Ἀλκίνου ἀπόλογος, ὅτε πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσιν πεποίηται 17 a 14.

ἀπολύειν, dissiper, détruire (une argumentation) : ἢ διαβάλλειν ἢ **ἀπολύεσθαι** 15 b 37 ; πάντες γὰρ ἢ διαβάλλουσιν ἢ φόβους **ἀπολύονται** ἐν τοῖς προοιμίοις 15 b 19 ; τῷ διαβάλλοντι καὶ τῷ **ἀπολυομένῳ** 16 b 9, 12 ; περὶ δὲ διαβολῆς ἓν μὲν τὸ ἐξ ὧν ἄν τις ὑπόληψιν δυσχερῆ **ἀπολύσαιτο** 16 a 5.

ἀπονεύειν, se détourner d'une activité vers une autre : οἱ ἄλλοι [ῥήτορες] τεχνολογοῦσι καὶ... μᾶλλον **ἀπονενεύκασι** πρὸς τὸ δικολογεῖν 55 a 20.

ἀπονία (ἡ), absence de fatigue : αἱ ῥαθυμίαι καὶ αἱ **ἀπονίαι** καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων 70 a 15.

ἀποπλάνησις (ἡ), écart, digression : οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ ἐπούρωσιν ὀνομάζων καὶ **ἀποπλάνησιν** καὶ ὄζους 14 b 18.

ἀποπληκτικός, ή, όν, frappé d'apoplexie : τὸ Πολυεύκτου εἰς **ἀποπληκτικόν** τινα Σπεύσιππον 11 a 21.

ἀποπληροῦν, remplir de nouveau, donner satisfaction à : ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα **ἀποπληρωθῇ** 69 b 14.

ἀπορεῖν, être dans l'embarras : θορυβοῦσιν ὡς **ἀποροῦντος** 19 a 16 ; δεῖ οὖν **ἀποροῦντα** τοῦτο ποιεῖν ὅπερ οἱ Ἀθήνησι ῥήτορες 18 a 30 ; οὐδέποτ' ἔστιν **ἀπορῆσαι** μαρτυρίας χρησίμης 76 a 26.

ἀπορία (ἡ), manque de ressources, privation : ἢ δι' **ἀπορίαν** μηδὲν ἕξει ὅ τι ἀπολέσῃ 72 a 36.

ἀπόρρητος, **ος**, **ον**, secret, interdit : ὡς ἐν **ἀπορρήτῳ** 09 a 2 (*var.*).

ἀποστερεῖν, dépouiller, priver, détourner un dépôt : δυνάμει δὲ [ἕπεται] τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν · ὁ γὰρ ἱεροσυλήσας κἂν **ἀποστερήσειεν** 63 b 32-33 ; καὶ τὸ **ἀποστερῆσαι** παρακαταθήκην ἢ ἀδικῆσαι 83 b 20.

ἀποστολή (ἡ), renvoi, éloignement : ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν **ἀποστολὴν** τῶν παίδων 00 b 13.

ἀποσφάττειν, égorger, tuer : Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ **ἀπέσφαξεν** ἑαυτὸν ὑϐρισθεὶς 74 b 36.

ἀποτρέπειν, détourner, déconseiller (opp. à προτρέπειν) : ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν 60 b 2 ; ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχέδον εἴρηται 65 b 20 ; ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι 77 b 16 ; ἄλλος [τόπος]... ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν 99 a 13 ; ἄλλος [τόπος], ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ 99 a 20 ; ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμϐουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον **ἀποτρέπει** 58 b 23-24 ; ὡς δὲ ἀσύμφορα συμϐουλεύουσιν ἢ ἀπ' ὠφελίμων **ἀποτρέπουσιν** οὐκ ἂν ὁμολογήσαιεν 58 b 35 ; ἔστι δ' ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ **ἀποτρέπῃ** 91 b 9 ; περὶ γὰρ τῶν ἐσομένων συμϐουλεύει ἢ προτρέπων ἢ **ἀποτρέπων** 58 b 15 ; 58 b 23 (*supra*) ; ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντα ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν **ἀποτρέποντα**, φανερόν 62 a 16 ; [καὶ προτρέποντα καὶ ἀποτρέποντα] 75 a 26 ; ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι 59 a 18 ; *cf.* 91 b 32 *var.* ; ἄλλος [τόπος]... σκοπεῖν τὰ προτρέποντα καὶ **ἀποτρέποντα** 99 b 34 ; καὶ προτρέπονται δ' ἐκ τούτων καὶ **ἀποτρέπονται** ἐκ τῶν ἐναντίων 00 a 1 ; ἐκ μὲν τῶν **ἀποτρεπόντων** ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν 00 a 2.

ἀποτροπή (ἡ), détournement, dissuasion (opp. à προτροπή) : συμϐουλῆς δὲ τὸ μὲν προτροπή, τὸ δὲ ἀποτροπή 58 b 9 ; τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ **ἀποτροπῆς**, ἐκ τῶν πρὸς τὸν ἀκροατήν 15 a 6 ; περὶ γὰρ ταύτης [τῆς εὐδαιμονίας] καὶ τῶν εἰς ταύτην συντεινόντων καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε προτροπαὶ καὶ αἱ **ἀποτροπαὶ** πᾶσαί εἰσιν 60 b 10.

ἀποτυγχάνειν, ne pas obtenir, manquer, échouer : καὶ εὐέλπιδες [οἱ νέοι]... ἅμα δὲ καὶ διὰ τὸ μὴ πολλὰ **ἀποτετυχηκέναι** 89 a 20 ; καὶ ἐν οἷς μηδὲν **ἀποτετυχήκασιν** · ὥσπερ γὰρ θαυμαζόμενοι διάκεινται 84 b 11 ; καὶ ἐπαινεῖν ἵνα δόξῃ αἰτεῖν, καὶ τὸ **ἀποτετυχηκότα** μηδὲν ἧττον · πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα 83 b 29 ; καὶ οἱ πολλάκις **ἀποτετυχηκότες** 72 b 9.

ἀποτυμπανίζειν, livrer au supplice : ὅθεν καὶ 'Αντιφῶν ὁ ποιητὴς μέλλων **ἀποτυμπανίζεσθαι** ὑπὸ Διονυσίου 85 a 10 ; οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινὰ καὶ ἀπεψυγμένοι πρὸς τὸ μέλλον, ὥσπερ οἱ **ἀποτυμπανιζόμενοι** ἤδη 83 a 5.

ἀπούρας ayant enlevé : 78 b 32 *var.* (= *Iliade*, I, 356, 507 = II, 240).

ἀποφαίνειν, faire connaître, déclarer, prouver : Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν υἱὸν **ἀπέφηνεν** ἡ μήτηρ 98 b 3 ; αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν, διὰ τὸ **ἀποφαίνεσθαι** τὸν τὴν γνώμην λέγοντα καθόλου περὶ τῶν προαιρέσεων 95 b 15 ; οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι εἰσὶ καὶ ῥᾳδίως **ἀποφαίνονται** ⟨καθόλου⟩ 95 a 7. — Voir φαίνειν.

ἀποφάναι, refuser, contredire, contester : καὶ « ἀρχὴν » οὐχ ὃ εἶπεν **ἀπόφησιν**, ἀλλ' ἄλλως 12 b 10 ; οἷον « 'Ανάσχετος οὐκ ἀνασχετός » ὁμωνυμίαν **ἀπέφησε** 12 b 13. — Voir φάναι.

ἀπόφανσις (ἡ), explication, déclaration, formule : ἔστι δ' ἡ γνώμη ἀπόφανσις, οὐ μέντοι οὔτε περὶ τῶν καθ' ἕκαστον... ἀλλὰ καθόλου, οὔτε περὶ πάντων...

ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί 94 a 22; ἡ μὲν γὰρ γνώμη, ὥσπερ εἴρηται, ἀπόφανσις καθόλου ἐστίν 95 b 5. — Voir ἀπόφασις.

ἀπόφασις (ἡ), déclaration, décision : ἔτι δὲ [καθ' ἑκάστην πολιτείαν] κυρία μέν ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας 65 b 27. — Voir ἀπόφανσις, γνώμη, δόξα.

ἀπόφθεγμα (τὸ), sentence, apophtegme : ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς 'Αμφιάραον 89 a 15; ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ **ἀποφθέγματα** καὶ τὰ αἰνιγματώδη 94 b 35; καὶ τῶν **ἀποφθεγμάτων** δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι λέγειν 12 a 22.

ἀπόχρη, il suffit : οὐ γὰρ ἀπόχρη τὸ ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν 03 b 15. — Voir χρή.

ἀποψύχεσθαι, être « refroidi », indifférent à : οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινὰ καὶ **ἀπεψυγμένοι** πρὸς τὸ μέλλον 83 a 4.

ἀπράγμων, ων, ον, qui ne se mêle point d'affaires, tranquille : καὶ τοὺς σώφρονας, ὅτι οὐκ ἄδικοι · καὶ τοὺς **ἀπράγμονας** [φιλοῦσιν] διὰ τὸ αὐτό 81 a 24.

ἀπρέπεια (ἡ), inconvenance, indignité : διὸ ποιητικῶς λέγοντες τῇ **ἀπρεπείᾳ** τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι 06 a 32.

ἀπρεπής, ής, ές, malséant, inconvenant : περὶ δὲ τούτων ὧν ἔμπειρός τίς ἐστιν, ὡς τὸ μὲν μὴ τηλικοῦτον ὄντα γνωμολογεῖν **ἀπρεπές**, ὥσπερ καὶ τὸ μυθολογεῖν 95 a 5; τοῦτο δ' ἔσται ἐκ τοῦ ἀνάλογον · εἰ δὲ μή, ἀπρεπὲς φανεῖται διὰ τὸ παρ' ἄλληλα τὰ ἐναντία μάλιστα φαίνεσθαι 05 a 12; ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν 05 a 30; καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές, ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ τὸ αἰσχρόν, τοὔνομα λέγειν 07 b 29; διὸ πρεσβυτέρῳ λέγειν [ταῖς ὑπερβολαῖς] ἀπρεπές 13 b 1; εἰσὶν γὰρ καὶ μεταφοραὶ **ἀπρεπεῖς**, αἱ μὲν διὰ τὸ γελοῖον, ... αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν 06 b 6; εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, **ἀπρεπέστερον** 04 b 16; ἐν δὲ λόγῳ, τὰ μὲν [ἐπίθετα] **ἀπρεπέστερα**, τὰ δὲ... ἐξελέγχει 06 a 13.

ἅπτεσθαι, s'attacher à, atteindre : καὶ μᾶλλον **ἁπτόμενοι** κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν 58 a 8; ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ **ἁπτόμενα** 06 b 34; ἐν τούτοις **ἥψατο** πρῶτον τοῦ εὐηθεστάτου 18 b 22.

ἁπτός, ή, όν, tangible, relatif au toucher : καὶ αἱ [ἄλογοι ἐπιθυμίαι] περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ **ἁπτά** 70 a 24.

ἀπωθεῖν, chasser, rejeter : Αἴσωπος... ἔφη ἀλώπεκα διαβαίνουσαν ποταμὸν **ἀπωσθῆναι** εἰς φάραγγα 93 b 24.

ἄπωθεν, de loin : καὶ οἱ συνήθεις καὶ οἱ πολῖται [οἴονται ἀληθεύειν μᾶλλον] τῶν ἄπωθεν 71 a 12; οἱ δ' ἄπωθεν καὶ περὶ τοιούτων πιστότατοι 76 a 16; ἀλλὰ τοὺς μὲν γνωρίμους τὰ πρὸς ἀλήθειαν δοκοῦντα, τοὺς δ' ἄπωθεν τὰ πρὸς τὸν νόμον 84 b 26.

ἀπώμοτος, ος, ον, qu'on jure de ne pas faire, qu'on repousse avec serment : « χρημάτων δ' ἄελπτον οὐθέν ἐστιν οὐδ' ἀπώμοτον » 18 b 29 (= Archiloque, *fr.* 74 Bergk).

ἆρα; est-ce que? « ποιήσαντι δ' ἆρ' οὐ δώσετε; » 97 b 36; ἆρ' ἢ θεὸς ἢ θεοῦ ἔργον; 98 a 16.

ἄρα, puis, alors, à savoir : ληπτέον ἄρα 69 b 28; ἀνάγκη ἄρα 78 a 14; Οἰνεὺς δ' ἄρ' οὐχὶ... 97 b 26 (poét.); οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα καὶ τὸ καὶ τό 01 a 4*; δεῖ ἄρα 10 b 35; ἀναγκαῖα ἄρα μόρια 14 b 7; καὶ ὁ δεῖνα ἄρα 16 a 24; « ὡς ἄρ' ἔφη » 17 b 5 (= *Odyssée*, XIX, 361).

ἀργία (ἡ), paresse, oisiveté : « χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν **ἀργίας** » 94 a 33 (= Euripide, *Médée*, 296).

ἀργός, ός, όν, inactif, paresseux : « ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ οὔτ' ἀργὸν εἶναι » 94 b 31 ; « ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν παρ' αὐτοῦ » 10 a 29 ; « τί ἂν ἔπαθες δεινόν, εἰ ἄνδρ' εἶδες ἀργόν ; » 10 b 1.

Ἄργος (τὸ), Argos (ville) : « ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον » 65 a 27 (= Simonide, *fr.* 163 Bergk) ; οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος τεθῇ καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη 75 a 5.

ἀργύριον (τὸ), pièce d'argent, argent : καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ 76 a 20.

ἀργυρογνώμων (ὁ), vérificateur de l'argent : καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν 75 b 5.

Ἄρειος πάγος (ὁ), la colline d'Arès, l'Aréopage : οἱ δὲ καὶ χρῶνται καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν Ἀρείῳ πάγῳ 54 a 23 ; εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια 98 b 28.

ἀρέσκειν, plaire à, donner satisfaction à : « οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον » 95 a 31.

ἀρετή (ἡ), valeur, capacité, puissance, vertu : θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 6 ; σώματος δὲ ἀρετὴ ὑγίεια 61 b 3 ; μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν 61 b 18 ; ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ τάχους 61 b 21 ; πλοῦτος · ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν 62 b 18 ; καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων 64 a 32* ; ἀρετὴ δ' ἐστὶ μὲν δύναμις ὡς δοκεῖ ποριστικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα 66 a 36 ; ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐστὶν ἡ ἀρετὴ δύναμις εὐεργετική 66 b 3-4 ; ἔστι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι' ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι 66 b 9 ; σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει 66 b 14 ; μεγαλοψυχία δὲ ἀρετὴ μεγάλων ποιητικὴ εὐεργετημάτων 66 b 17 ; μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική 66 b 18 ; φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν 66 b 20 ; ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια 78 a 8 ; καὶ ἀρετὴ ὑβριζομένη δύναμιν ἔχουσα 82 b 1 ; ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ τοῦ καλοῦ 89 a 35 ; ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι 04 b 1 ; αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή 04 b 37 ; τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις ἄλλη ἤθους ἀρετή ; 14 a 22 ; εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως 14 a 23 ; τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς 55 b 5 ; ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς 60 b 14 ; περὶ δὲ ἀρετῆς... ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον 62 a 13 ; 64 a 32 (*supra*) ; μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας 66 a 23 ; μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία 66 b 1 (cf. 60 b 23) ; περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου... εἴρηται 66 b 23 ; φανερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά (πρὸς ἀρετὴν γάρ) καὶ τὰ ἀπ' ἀρετῆς γινόμενα, τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς καὶ τὰ ἔργα 66 b 26*-27* ; αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ 67 a 23 ; ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν 67 b 7 ; ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως 67 b 26 ; ἔστιν δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς 67 b 27 ; ταῦτα δ' ἐστὶν τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς καὶ κακίας 74 a 21 ; ὁ μὲν γὰρ λο-

γισμὸς τοῦ συμφέροντος, τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν 90 a 17 ; « ὅπως δὲ μάρτυρες ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα » 99 b 29 (= Antiphon, *Méléagre*) ; ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς 11 a 35 ; τούς τε πρώτους γνωρίμους ἢ ἐπ' **ἀρετῇ** ἢ πλούτῳ ἢ ἄλλῳ τῳ τῶν τιμωμένων 60 b 36 ; ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας... τὸ δὲ « τῇ ἀρετῇ τῆς ἐλευθερίας » ἀντίθεσίν τινα ἔχει 11 a 33 & 35 ; τιμήν, εὐτυχίαν, **ἀρετήν**, κ. τ. α. 60 b 23 ; ἀγαθὴ δὲ [νεότης] κατ' ἀρετὴν σώματος, οἷον μέγεθος, κάλλος, ἰσχύν, κ. τ. α. 61 a 2 ; ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν 66 a 28 ; 66 b 26 (*supra*) ; ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι 66 a 35 ; ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα 67 b 35 ; ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν 68 a 26 ; οὕτως δὲ δι' ἀρετὴν ἂν εἴη, ἀλλ' οὐ δι' ἐπιορκίαν τὸ μή 77 a 18 ; κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν 78 b 36 ; οἵ τ' ἀγαθοὶ κατ' ἀρετὴν καὶ οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις 81 a 26 ; οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ 87 a 11 ; ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρετήν 90 b 22 ; παραδιηγεῖσθαι δὲ ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει 17 a 3 ; ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρεία νέου **ἀρεταί** 61 a 4 ; ἀρεταὶ γὰρ ψυχῆς 62 b 13 ; ἀρεταὶ γὰρ σώματος 62 b 15 ; καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους 64 a 34 ; καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ καλλίους καὶ τὰ ἔργα 67 a 17 ; αἱ δ' ἀρεταὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται 10 b 2 ; ἔστιν δὲ καὶ ἐκ τῶν τοῦ σώματος **ἀρετῶν** καὶ τύχης [ἡ εὐγηρία] 61 b 29 ; πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν 61 b 33 ; ἐν μόνῃ γὰρ ταύτῃ τῶν ἀρετῶν οὐκ ἀεὶ τὸ δικαίως καλόν 66 b 32 ; καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς **ἀρεταῖς** ὄντας 67 b 2 ; καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ περὶ τὰς **ἀρετάς** 56 a 23 ; ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν, κάλλος, ἰσχύν, κ. τ. α. 60 b 21 ; καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι 62 b 2 (cf. 66 a 35) ; ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας 66 b 3 ; καὶ κατὰ τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως 66 b 34 ; τὰ μὲν ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων 68 b 25 ; ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον 78 a 16 ; ἀνάγκη τάς τε ἀρετὰς εἶναι τοιαύτας 88 b 11 ; λέγω δὲ πάθη μὲν... ἕξεις δὲ ἀρετὰς καὶ κακίας 88 b 34 ; Ἰσοκράτης δὲ ψέγει ὅτι τὰς μὲν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν 14 b 34. — Voir κακία.

Ἄρης (ὁ), Arès : οἷον εἰ ἡ φιάλη ἀσπὶς Διονύσου, καὶ τὴν ἀσπίδα ἁρμόττει λέγεσθαι φιάλην **Ἄρεως** 07 a 18 ; « ἡ ἀσπίς, φαμέν, ἐστὶ φιάλη Ἄρεως » 13 a 1 ; ἔστι γὰρ εἰκάσαι τὴν ἀσπίδα φιάλῃ Ἄρεως 13 a 6.

ἀριθμητική (ἡ), l'arithmétique : οἷον... ἀριθμητικὴ περὶ ἀριθμῶν, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν 55 b 30.

ἀριθμός (ὁ), nombre : περαίνεται δὲ **ἀριθμῷ** πάντα · ὁ δὲ τοῦ σχήματος τῆς λέξεως **ἀριθμὸς** ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά 08 b 28-29 ; ἔστιν δὲ τῆς ῥητορικῆς εἴδη τρία τὸν **ἀριθμόν** 58 a 36 ; περὶ ὧν βουλεύονται πάντες... τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα 59 b 21 ; εἰσὶν δὲ πέντε τὸν ἀριθμόν [αἱ ἄτεχνοι πίστεις] 75 a 24 ; ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον 09 b 5 ; τὰ μέτρα... ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται 09 b 7 ; οἷον... ἀριθμητικὴ περὶ **ἀριθμῶν** 55 b 30.

ἀριστεῖον (τὸ), prix de la valeur, de la bravoure : « εὐθὺς μὲν τῶν **ἀριστείων** ἠξιώθησαν » 10 a 9 (= Isocrate, *Panég.*, § 72).

Ἀριστείδης (ὁ), Aristide : γελοῖον ἂν φανείη, εἰ πρὸς **Ἀριστείδην** κατηγοροῦντα τοῦτό τις ἂν εἴπειεν ἄλλος πρὸς ἀπιστίαν τοῦ κατηγόρου 98 a 10 ; οἷον ὅτι δεῖ τοὺς ἀγαθοὺς τιμᾶν, διὸ καὶ αὐτὸς Ἀριστείδην ἐπαινεῖ 14 b 37.

ἀριστεύειν, exceller, se distinguer : οἷον ὅτι... τοὺς πρὸς τὸν βάρβαρον **ἀριστεύσαντας** καὶ συμμαχεσαμένους ἠνδραποδίσαντο 96 a 19.

'Ἀρίστιππος (ὁ), Aristippe (de Cyrène) : ἢ ὥσπερ 'Ἀρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο 98 b 30.

'Ἀριστογείτων (ὁ), Aristogiton : « τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς 'Ἁρμοδίου καὶ **'Ἀριστογείτονος** ἢ τὰ σά » 98 a 22 ; ὁ γὰρ 'Ἁρμοδίου καὶ 'Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον "Ἵππαρχον 01 b 11 ; καὶ γὰρ 'Ἁρμοδίῳ καὶ **'Ἀριστογείτονι** οὐδὲν πρότερον ὑπῆρχεν γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι 98 a 19 ; καὶ 'Ἁρμόδιον καὶ **'Ἀριστογείτονα** τὸ ἐν ἀγορᾷ σταθῆναι 68 a 18.

ἀριστοκρατία (ἡ), aristocratie : εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία 65 b 30 ; ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν 65 b 33 ; **ἀριστοκρατίας** δὲ [τέλος] τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα 66 a 5 ; οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις ἐν τῇ **ἀριστοκρατίᾳ** ἄρχουσιν 65 b 36.

ἄριστος, η, ον, excellent, le meilleur : « εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης » 95 a 14 (= *Iliade*, XII, 243) ; οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν **ἄριστον** τῶν Τρώων 96 b 16 ; ὅτι διὰ τὸ ἄριστον ὑπολαμβάνειν τὸν 'Ὀδυσσέα 16 b 13 ; καὶ ὅτι τὸ γνώμῃ τῇ **ἀρίστῃ** τοῦτ' ἐστὶν τὸ μὴ παντελῶς χρῆσθαι τοῖς γεγραμμένοις 75 a 30 ; τό τε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ὅτι... 75 b 17 ; ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν καὶ τοῦτ' ἐστὶ τὸ γνώμῃ τῇ ἀρίστῃ 76 a 19 ; τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν 02 b 33 ; οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ **ἄριστον** δοκεῖ εἶναι 62 b 16 ; « ἄριστον μὲν ὕδωρ » 64 a 28 (= Pindare, *Ol.*, I, 1) ; « ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ » 94 b 13 (= Épicharme, *fr.* B 19, D-K, I, p. 201) ; ἀνάγκη δὲ τούτους φαίνεσθαι **ἀρίστους**, ὅθεν καὶ τοὔνομα εἴληφεν τοῦτο [ἡ ἀριστοκρατία] 65 b 36 ; τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ... **ἄριστα** τῶν τραγικῶν 06 b 16. — Voir ἀγαθός, ἀμείνων, βελτίων, κακός.

'Ἀριστοφάνης (ὁ), Aristophane : ὥσπερ καὶ ὁ 'Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις 05 b 30.

'Ἀριστοφῶν (ὁ), Aristophon : ᾧ ἐχρήσατο 'Ἰφικράτης πρὸς **'Ἀριστοφῶντα**... « σὺ μὲν ὢν 'Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν 'Ἰφικράτης ; » 98 a 6 & 8.

'Ἁρμόδιος (ὁ), Harmodios : **'Ἁρμοδίου** 98 a 22 ; 01 b 11 ; **'Ἁρμοδίῳ** 98 a 19 ; **'Ἁρμόδιον** 68 a 18 : voir 'Ἀριστογείτων (*supra*). — Un autre, descendant du précédent : οἷον ὡς 'Ἰφικράτης ἐν τῇ πρὸς 'Ἁρμόδιον 97 b 35.

ἁρμονία (ἡ), accord, ajustement, harmonie : τρία γάρ ἐστι περὶ ἃ σκοποῦσιν · ταῦτα δ' ἐστὶ μέγεθος, ἁρμονία, ῥυθμός 03 b 31 ; τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνός, ἀλλὰ λεκτικῆς **ἁρμονίας** δεόμενος 08 b 33.

ἁρμόττειν (ἁρμόζειν), ajuster, s'adapter, être en harmonie : καὶ τἄλλα δὲ ὅσα **ἁρμόττει**, ἐπιπολῆς ἰδεῖν ἔστιν 76 b 14 ; ἅπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχέσαιτο, ταῦτα ἁρμόττει 76 b 17 ; καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ 77 a 19 ; ἀλλά τις ἔστιν ἀναλογία καὶ τὸ ἁρμόττον, οἷον ὅπλων κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει, ἀλλὰ τῷ ἀνδρείῳ 87 a 27-28 ; περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν 94 a 20 ; πόσα τε εἴδη γνώμης, καὶ περὶ ποῖον ἕκαστον ἁρμόττει 94 b 28 ; ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη 94 b 34 ; ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων, περὶ δὲ τούτων ὧν ἔμπειρός τίς ἐστιν 95 a 2 ; καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ καὶ δεινώσει 95 a 8 ;

ἡδονή (ἡ), plaisir, agrément : ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία 65 b 12 ; εἰ δ' ἐστὶν ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν... λυπηρόν 69 b 35 ; καὶ ἐν ταῖς πλείσταις ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή 70 b 16 ; καὶ ἐν πένθεσι καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή · ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πῶς ἐκεῖνον καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν 70 b 26* ; ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή 78 a 21 ; ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ 78 b 8 ; τὰ μὲν γὰρ [ἡδέα καὶ τὰ καλὰ] **ἡδονῆς** ποιητικά 62 b 8 ; οἷον ἡ ὑγίεια [ποιητικὴ] καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν 62 b 16-17 ; εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων 63 b 38 ; αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον 78 b 27 ; « οἰκονόμος τῆς τῶν ἀκουόντων ἡδονῆς » 06 a 27 ; πρᾶοί εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, κ. τ. α. ὅλως ἐν ἀλυπίᾳ καὶ **ἡδονῇ** μὴ ὑβριστικῇ καὶ ἐν ἐλπίδι ἐπιεικεῖ 80 b 4 ; καὶ τὴν **ἡδονὴν** ἀγαθὸν εἶναι · πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς τῇ φύσει 62 b 6 ; καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος · τὴν γὰρ ἡδονὴν πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέγονται 64 b 23 ; καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά 65 b 9 ; ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν, ἀλλὰ δι' ἡδονήν 69 b 11 ; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, λύπην δὲ τοὐναντίον 69 b 33 ; ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν 70 b 17 ; καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι 78 b 1 ; ἡ οὖν τότε γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων 78 b 10 ; εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ **ἡδοναὶ** ἅμα μεμνημένοις καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις 70 a 31 ; γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες, τῶν ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ λῦπαι καὶ αἱ ἡδοναί 81 a 7 ; συμβέβηκε... τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων **ἡδονῶν** 69 a 14 ; σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς **ἡδονὰς** τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει 66 b 14 ; καὶ ἄδικοί εἰσιν, οἷον... ὁ δ' ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς 68 b 17.

ἡδύς, **ἡδεῖα**, **ἡδύ**, agréable, qui cause du plaisir, qui procure de l'agrément : καὶ τὸ κολακεύεσθαι καὶ ὁ κόλαξ ἡδύς 71 a 23 ; διὸ καὶ ἡ δικανικὴ καὶ ἡ ἐριστικὴ **ἡδεῖα** τοῖς εἰθισμένοις καὶ δυναμένοις 71 a 7 ; ἡδεῖα δ' ἡ τοιαύτη [περίοδος] καὶ εὐμαθής · ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ, καὶ ὅτι ἀεί τι οἴεται ἔχειν ὁ ἀκροατής 09 b 1-2 ; ἡδεῖα δὲ ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παρ' ἄλληλα μᾶλλον γνώριμα 10 a 20 ; ἀλλ' ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον **ἡδὺ** ἢ λυπηρόν 54 b 11 ; οὐ γὰρ μόνον ἡδύ, ἀλλὰ καὶ βέλτιον φαίνεται 63 a 38 ; ἥδιον δὲ τό τε ἀλυπότερον καὶ τὸ πολυχρονιώτερον ἡδύ 64 b 26 ; τὸ γὰρ καλόν ἐστιν ἤτοι τὸ ἡδὺ ἢ τὸ καθ' αὑτὸ αἱρετόν 64 b 27 ; ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι ἀγαθόν 66 a 34 ; εἰ δ' ἐστὶν ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως 70 a 1 ; ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ 70 a 3 ; οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ 70 a 14 ; καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, καὶ ἅπαν ἡδύ 70 a 17 ; « ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων » 70 b 4 (= Euripide, *Andromède*, *fr.* 133) ; τούτου

δ' αἴτιον ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν 70 b 7 ; διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ 70 b 11 ; καὶ τὸ τιμωρεῖσθαι ἡδύ 70 b 30 ; οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ 70 b 31 ; καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις, ἀλλὰ πᾶσιν 70 b 32 ; ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι τὰς μαχητικὰς καὶ τὰς ἐριστικάς 70 b 35* ; τό τε γὰρ φιλεῖν ἡδύ... καὶ τὸ φιλεῖσθαι ἡδύ 71 a 18 & 19 ; καὶ τὸ θαυμάζεσθαι ἡδὺ δι' αὐτὸ τὸ τιμᾶσθαι 71 a 22 ; καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ · τὸ γὰρ σύνηθες ἡδὺ ἦν 71 a 25* ; καὶ τὸ μεταβάλλειν ἡδύ · εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν 71 a 26 ; καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ 71 a 31 ; διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν, καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶν τοὺς πλησίον, καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν 71 b 2-3 ; ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μιμητικόν 71 b 5-6 ; κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον 71 b 8 ; καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ 71 b 12-13 ; ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν 71 b 18 ; καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν ἡδύ 71 b 25 ; καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον, καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδύ · ἀρχικὸν γὰρ τὸ φρονεῖν 71 b 27 ; ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ ἄρχειν 71 b 30 ; καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον 72 b 11 ; καὶ οἷς ἂν τοὐναντίον τὸ μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δὲ ἡδὺ καὶ ὠφέλιμον ὕστερα καὶ χρονιώτερα 72 b 14 ; καὶ τοὺς ἐχθροὺς καὶ τοὺς φίλους · τοὺς μὲν γὰρ ῥᾴδιον, τοὺς δὲ ἡδύ 73 a 5 ; ἔχει γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλόν 73 a 15 ; ἐὰν ᾖ τὸ ἐσόμενον ἡδύ 78 a 4 ; ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται 78 b 2 ; ἡδὺ δὲ τὸ θαυμαστόν ἐστιν 04 b 11 ; καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά 05 a 8 ; τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσιν ἐστί 10 b 10 ; διὸ ἧττον ἡδύ, ὅτι μακροτέρως 10 b 18 ; διὸ μαθόντι ἡδύ 12 b 1 ; ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ **ἡδείας** ᾖ σημεῖα φωνῆς 05 a 31 ; εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ **ἡδέος** καὶ μεῖζον ἀγαθόν 63 b 37 ; καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος 64 b 23 ; περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν 69 b 30 ; ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ὄρεξις 70 a 17 ; **ἡδὺν** ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν 61 b 9 ; ἡδὺν δ' εἶναι δοκεῖ μετὰ φοβερότητος 61 b 12 ; τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι **ἡδεῖαν** δεῖ εἶναι καὶ μεγαλοπρεπῆ, περίεργον 14 a 20 ; τὸ δὲ ἡδεῖαν εἶναι ποιήσει δηλονότι τὰ εἰρημένα 14 a 22 ; καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ, τὸ εἰωθὸς καὶ ξενικόν 14 a 26 ; περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ **ἡδεῖς** 81 b 14 ; αἱ μὲν γὰρ [παιδιαὶ] **ἡδεῖαι** γίγνονται, ἄν τις ᾖ συνήθης, αἱ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θηρευτική 71 a 4-5 ; ὥστε καὶ τὰ **ἡδέα** καὶ τὰ καλὰ ἀνάγκη ἀγαθὰ εἶναι 62 b 7 ; τῶν δὲ καλῶν τὰ μὲν ἡδέα, τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν 62 b 9 ; τιμή, δόξα · καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν 62 b 20 ; δι' ἐπιθυμίαν δὲ πράττεται ὅσα φαίνεται ἡδέα 69 b 16 ; ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα 69 b 20* & 23* ; ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα 69 b 28 ; τὰ δ' ἐναντία ἡδέα 70 a 14 ; ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα 70 a 32 ; τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο 70 b 1-2* ; διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστίν, καὶ ἄνθρωποι καὶ πράγματα 71 a 29 ; 71 b 6 (*supra*) ; 71 b 13 (*supra*) ; ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους 71 b 22 ; καὶ τὰ εὖ ᾐνιγμένα διὰ τὸ αὐτὸ ἡδέα 12 a 25 ; παραδιηγεῖσθαι δέ... ὅσα ἡδέα τοῖς δικασταῖς 17 a 7 ; περὶ τῶν **ἡδέων**... περὶ τῶν αὐτῶν τούτων 69 a 23 ; πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν 69 b 17 ; ... καὶ αἱ

παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων 70 a 16; καὶ ὁ φίλος τῶν ἡδέων 71 a 17; καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων 71 a 35; ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, καὶ ὁ γέλως τῶν ἡδέων, ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι 71 b 35-36*; περὶ μὲν οὖν ἡδέων εἰρήσθω ταῦτα 72 a 2; ἔστιν δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς **ἡδέσιν** 69 b 17; τίθημι γὰρ καὶ τὴν τῶν κακῶν... ἀπαλλαγὴν... ἐν τοῖς ἡδέσι 69 b 27; προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν 15 b 2; ἔτι δὲ τοὺς **ἡδεῖς** συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι 81 a 29; **ἡδείας** 70 b 35 (*supra*). — Voir ἥδιστος, ἡδίων.

ἥδυσμα (τὸ), assaisonnement : διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται · οὐ γὰρ ὡς **ἡδύσματι** χρῆται, ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις οὕτω πυκνοῖς καὶ μείζοσι καὶ ἐπὶ δήλοις 06 a 18.

ἠθικός, ή, όν, propre à l'expression des caractères, moral, éthique : τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ **ἠθικὴ** καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον 08 a 11; καὶ ἠθικὴ δὲ αὕτη ἡ ἐκ τῶν σημείων δεῖξις, ὅτι ἀκολουθεῖ ἡ ἁρμόττουσα ἑκάστῳ γένει καὶ ἕξει 08 a 25; ἡ μὲν γὰρ [ἀγωνιστικὴ λέξις] ἠθική, ἡ δὲ παθητική 13 b 10; οὐδ' ὅταν **ἠθικὸν** τὸν λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα 18 a 15; γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν πίστει · ἠθικὸν γάρ 18 a 18; ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' **ἠθικοῦ** 66 a 10; **ἠθικὴν** δὲ χρὴ τὴν διήγησιν εἶναι 17 a 16; ἄλλα δ' **ἠθικὰ** τὰ ἑπόμενα ἑκάστῳ ἤθει 17 a 22; οἷον περὶ φυσικῶν εἰσι προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν **ἠθικῶν** 58 a 19; πῶς τε καὶ διὰ τίνων τοὺς λόγους **ἠθικοὺς** ποιητέον 91 b 21; ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν 91 b 25; ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους [τὸ γνωμολογεῖν] 95 b 12.

ἠθικῶς, avec un caractère moral : ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς · ἐὰν δὲ μὴ ἔχῃς ἐνθυμήματα, ἠθικῶς 18 a 38-39.

ἦθος (τὸ), caractère, comportement, habitude : ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος 56 a 13; τὸ μὲν γὰρ ἑκάστης [πολιτείας] ἦθος πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι 66 a 13; κἀκεῖνα δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος 66 a 26; τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος 89 b 13; καὶ μᾶλλον ζῶσιν [οἱ πρεσβύτεροι] κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος · ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος, τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν 90 a 16-17; οἱ δ' ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν 90 a 28; εὐγενείας μὲν οὖν ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν 90 b 16; ἓν δὲ ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι 91 b 2; οἷον πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνάτου 91 b 6; ὅταν ᾖ τὸ ἦθος φαίνεσθαι μέλλῃ βέλτιον 95 a 22; τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ... φιλεῖν ὡς μισήσοντας 95 a 26; ἦθος δὲ ἔχουσιν οἱ λόγοι ἐν ὅσοις δήλη ἡ προαίρεσις 95 b 13; ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος 08 a 31; ἠθικὴν δὲ χρὴ τὴν διήγησιν εἶναι · ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ · ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν, ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην 17 a 17-18; οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις 18 a 17; εἰς δὲ τὸ ἦθος... ἕτερον χρὴ λέγοντα ποιεῖν 18 b 23; διὰ μὲν οὖν τοῦ **ἤθους** [ἡ πίστις] ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα 56 a 5; αἱ μαρτυρίαι... αἱ μὲν περὶ τοῦ πράγματος, αἱ δὲ περὶ τοῦ ἤθους 76 a 25; ἀλλὰ περὶ τοῦ ἤθους ἢ αὐτοῦ εἰς ἐπιείκειαν ἢ τοῦ ἀμφισβητοῦντος εἰς φαυλότητα 76 a 28; ἀπὸ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακιῶν 84 a 7; καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι 86 b 10; καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ 86 b 11; καὶ ἔστιν τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα, τὰ δ' ἐναντία τοῦ ἐναντίου 86 b 31; τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις

ἄλλη ἤθους ἀρετή; 14 a 22; δηλοῖ γὰρ θρασύτητα καὶ ἀγροικίαν ἤθους 17 a 24; αἱ μὲν γὰρ [πίστεις] εἰσὶν ἐν τῷ **ἤθει** τοῦ λέγοντος, αἱ δὲ... αἱ δὲ... 56 a 2; τῷ γὰρ ἤθει ζῶσιν [οἱ νέοι] μᾶλλον ἢ τῷ λογισμῷ 89 a 33; ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους 90 a 25; τῷ αὐτῷ ἤθει καὶ τόνῳ εἰπεῖν 13 b 31; ἄλλα δ' ἠθικὰ τὰ ἑπόμενα ἑκάστῳ ἤθει 17 a 22; τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ **ἤθη** καὶ περὶ τὰς ἀρετὰς καὶ τρίτον τοῦ περὶ τὰ πάθη 56 a 23; ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας 56 a 26; ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς 59 b 10; καὶ τὰ ἑκάστης [πολιτείας] ἤθη 65 b 24 *var.*; δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς 66 a 12; τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν 66 a 15; ἀλλ' οἱ μὲν διὰ ἤθη καὶ πάθη χρηστά, οἱ δὲ διὰ τἀναντία 69 a 18; καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων 69 a 29; καὶ τοὺς ὁμοίους ἐλεοῦσιν κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις κ. τ. α. 86 a 26; τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς τύχας 88 b 31; οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοὶ 89 a 3; οἱ δὲ πρεσβύτεροι... σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη 89 b 15; τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα 90 a 24; καὶ τὰ ἤθη ποιὰ ἄττα συμβαίνει τοῖς ἀνθρώποις 90 b 15; ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη 90 b 28; τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἔστιν ἰδεῖν ἅπασιν 90 b 32; διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη 91 a 15; ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη 91 a 21; φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέστεροί εἰσιν τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων 91 a 23; ἡ δ' εὐτυχία κατὰ μόριά τε τῶν εἰρημένων ἔχει τὰ ἤθη 91 a 30; διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν 17 a 20; ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας **ἠθῶν** καὶ νομίμων 66 a 19; ποίων ἠθῶν ἕκαστόν ἐστιν 90 b 12; περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται 91 b 4; περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν... εἴρηται πρότερον 91 b 19; καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων 96 b 31; πλὴν οὐχ οἱ αὐτοί, ἀλλ' οἱ ἐναντίοι τοῖς **ἤθεσιν** 72 b 8. — Voir ἔθος, πάθος.

ἥκειν, arriver, venir, aboutir à : οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος **ἥξει** εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα 60 a 26; προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει 08 b 24; « ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι **ἥξουσι** πένητες » 94 a 1 (Ésope).

ἥκιστα, très peu, le moins, pas du tout : ὅσων δὲ ἥκιστα, μείζω κακά 64 b 30; τὰ δὲ μάλιστα κακὰ ἥκιστα αἰσθητά 82 a 11; φιλοχρήματοι δὲ ἥκιστα [οἱ νέοι] 89 a 14; ἥκιστα φιλόλογοι ὄντες [Λακεδαιμόνιοι] 98 b 15; ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι 14 a 16; φύσει δὲ ἥκιστα ἔχει 15 b 34; ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησίς ἐστιν 17 b 12; ἢ παθητικὸν ποιεῖν, ἀλλ' ἥκιστα πάντων, ἐὰν μὴ ἐξιστῇ 18 a 29.

Ἠλεῖοι (οἱ), les Éléens : τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς **Ἠλείους** · οὐδὲν γὰρ προεξαγκωνίσας, οὐδὲ προανακινήσας, εὐθὺς ἄρχεται · « Ἦλις, πόλις εὐδαίμων » 16 a 2.

ἠλίθιος, α, ον, stupide, sot : οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν **ἠλίθιον** χρηστὸν ἢ τὸν ἀνάλγητον πρᾶον 67 a 35; τὸ γνωμολογεῖν... καὶ τὸ μυθολογεῖν, περὶ δὲ ὧν ἄπειρος, ἠλίθιον καὶ ἀπαίδευτον 95 a 6; « οὐδὲν **ἠλιθιώτερον** τεκνοποιΐας » 95 b 9.

ἡλικία (ἡ), âge, saison, temps : τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς **ἡλικίας** 99 a 36; τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ **ἡλικίᾳ** καὶ δόξῃ φθονοῦσιν 88 a 6; ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων 95 a 3;

κάλλος δὲ ἕτερον καθ' ἑκάστην **ἡλικίαν** ἐστίν 61 b 7 ; εἰ γὰρ παρὰ δύναμιν καὶ παρὰ ἡλικίαν καὶ παρὰ τοὺς ὁμοίους 65 a 22 ; τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίεργον 69 a 8 ; καὶ τοὺς ὁμοίους ἐλεοῦσιν κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κ. τ. α. 86 a 25 ; περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται 91 b 4 ; λέγω δὲ γένος μὲν καθ' ἡλικίαν, οἷον παῖς ἢ ἀνὴρ ἢ γέρων 08 a 27 ; καὶ οἱ καιροὶ καὶ αἱ **ἡλικίαι** καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα 65 a 20 ; διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε 79 a 28 ; ἡλικίαι δέ εἰσι νεότης καὶ ἀκμὴ καὶ γῆρας 88 b 36 ; καὶ φιλόφιλοι καὶ φιλέταιροι [οἱ νέοι] μᾶλλον τῶν ἄλλων **ἡλικιῶν** διὰ τὸ χαίρειν τῷ συζῆν 89 b 1 ; ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, καθ' **ἡλικίας**, κατὰ ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα 87 b 27 ; τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς τύχας 88 b 32.

ἡλικιώτης (ὁ), qui est du même âge, contemporain : ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, **ἡλικιώτας**, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου 84 a 10.

ἡλίκος, η, ον, si grand, de si grande importance : ἢ ἐὰν μὴ **ἡλίκον** βούλει ὑπολαμβάνωσιν 15 b 36 ; ἄλλος [τόπος] ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο 16 a 36 ; ἢ τηλικαῦτα **ἡλίκα** βούλει 17 a 2 ; δήλων ὄντων καὶ οἷα καὶ ἡλίκα 19 b 24.

ἧλιξ (ὁ, ἡ), qui est du même âge : ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς « ἧλιξ **ἥλικα** τέρπει » 71 b 15*.

Ἦλις (ἡ), Élis : « Ἦλις, πόλις εὐδαίμων » 16 a 3 (Gorgias). — Voir Ἠλεῖοι.

ἡμεῖς, nous : voir ἐγώ.

ἡμέρα (ἡ), jour, journée : « νέμων ἑκάστης **ἡμέρας** πλεῖστον μέρος » 71 b 33 (= Euripide, *Antiope*, *fr.* 183) ; τῇ γὰρ πρώτῃ **ἡμέρᾳ** μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα 89 a 23 ; καὶ φιλόζωοι, καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν 89 b 33.

ἡμέτερος, α, ον, notre, le nôtre : καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, « τῆς γυναικὸς τῆς **ἡμετέρας** » · ἐὰν δὲ συντόμως, τοὐναντίον, « τῆς ἡμετέρας γυναικός » 07 b 37*.

ἡμίθεος (ὁ), demi-dieu : λέγω δὲ κοινὰ μὲν τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος καὶ ὅτι τῶν **ἡμιθέων** καὶ ὅτι ἐπὶ τὸ Ἴλιον ἐστρατεύσατο 96 b 12.

ἡμιόλιος, α, ον, formé d'un entier et demi, sesquialtère : ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος · οὗτος δ' ἐστὶν ὁ παιάν 09 a 6.

ἡμίονος (ὁ, ἡ), mulet, mule : καὶ ὁ Σιμωνίδης... οὐκ ἤθελε ποιεῖν, ὡς δυσχεραίνων εἰς **ἡμιόνους** ποιεῖν 05 b 25.

ἥμισυς, εια, υ, demi, qui forme la moitié ; **τὸ ἥμισυ**, la moitié : ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ **ἥμισυ** οὐκ εὐδαιμονοῦσιν 61 a 11 ; καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ ἥμισυ, καὶ εἰ ἥμισυ, διπλάσιον 92 b 4-5.

ἡμιωβέλιον (τὸ), demi-obole : οἷον ὁ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία **ἡμιωβέλια** ἱερὰ τοὺς ναοποιούς... ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν 74 b 26 & 28.

ἠνεκέως, tout au long : « αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὖ γῆς » 73 b 17 (= Empédocle, fr. B 135, D-K, I, p. 366).

ἠνεμόεις, όεσσα, όεν, battu des vents : « ἔστι τις ἠνεμόεις ὀλίγος λόφος » 08 a 3 (= Antimaque, *Thébaïde*, *fr.* 2).

ἤπειρος (ἡ), continent, terre ferme : « πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης » 10 a 11 (= Isocrate, *Panég.*, § 89).

Ἥρα (ἡ), Héra : « ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι · ἐγὼ γὰρ Ἥραν... » (= Euripide, *Troyennes*, 971).

Ἡρακλεῖδαι (οἱ), les descendants d'Héraclès, les Héraclides : εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἢ τὴν ἐν Μαραθῶνι μάχην ἢ τὰ ὑπὲρ τῶν **Ἡρακλειδῶν** πραχθέντα 96 a 14.

Ἡράκλειος, ος ou **α, ον**, d'Héraclès [les « Colonnes d'Hercule »] : οὐδὲ [φιλοτιμοῦνται] πρὸς τοὺς ἐφ' **Ἡρακλείαις** στήλαις 88 a 11.

Ἡράκλειτος (ὁ), Héraclite : οὐδ' ἃ μὴ ῥᾴδιον διαστίξαι, ὥσπερ τὰ **Ἡρακλείτου.** Τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος · φησὶ γὰρ « τοῦ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίγνονται » · ἄδηλον γὰρ τὸ ἀεί, πρὸς ποτέρῳ δεῖ διαστίξαι 07 b 13-14.

ἠρέμα, doucement, paisiblement : φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον 70 b 34.

ἠρέμησις (ἡ), apaisement, repos, calme, tranquillité : ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς 80 a 9 (syn. ἠρεμία).

Ἡρόδικος (ὁ), Hérodicos : πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων 61 b 5 ; ἄλλος [τόπος] ἀπὸ τοῦ ὀνόματος, οἷον... καὶ Ἡρόδικος Θρασύμαχον ἀεὶ θρασύμαχος εἶ, καὶ Πῶλον ἀεὶ σὺ πῶλος εἶ, καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι, ἀλλὰ δράκοντος 00 b 21. — Voir Πρόδικος 15 b 15 (*var.* Ἡρόδικος).

Ἡρόδοτος (ὁ), Hérodote : « ὁ δὲ ἀπεκρίνατό μοι ὅτι οὗ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία », — ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαί φησιν ὁ Ἡρόδοτος 17 a 7 (= Hér., II, 30) ; ἡ μὲν οὖν εἰρομένη λέξις ἡ ἀρχαία ἐστίν · « Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδεξις » 09 a 28. — Voir l'*index* des auteurs.

ἡρῷος, ος, ον, de héros, héroïque : τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνός, ἀλλὰ λεκτικῆς ἁρμονίας δεόμενος 08 b 32.

ἡσθῆναι, éprouver du plaisir : 74 a 15. — Voir ἥδεσθαι.

Ἡσιόνη, Hésioné : τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ · ἡ γὰρ Ἡσιόνη ἀδελφή 16 b 2.

ἡσυχία (ἡ), calme, tranquillité : καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι **ἡσυχίαν** ἄγειν, ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον 11 a 22.

ἤτοι, ou en vérité : 64 b 27 ; 19 a 10.

ἡττᾶσθαι, avoir le dessous, être vaincu : χρήσιμος δέ ἐστιν ἡ ῥητορικὴ διά τε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων, ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι 55 a 23 ; καὶ ἀνδρείου τὸ μὴ ἡττᾶσθαι 67 a 22 ; ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον **ἡττημένον** ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι 13 a 9.

ἥττων, ων, ον, moindre, plus petit, inférieur ; **ἧττον**, moins : κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ μουσικὸς τῷ δικαίῳ 87 b 1 ; ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν 99 b 31 ; περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχνολογεῖν, ὅτι **ἧττόν** ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ὅτι κοινότερον 54 b 27-28 ; πιθανοὶ μὲν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί 56 b 24 ; οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος 58 a 14 ;

οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν 63 a 30 ; καὶ τὸ ἧττον προσδεόμενον θατέρου ἢ ἑτέρων · αὐταρκέστερον γάρ · ἧττον δὲ προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον 64 a 5-6 ; καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος 64 b 23 ; καὶ τὸ κάλλιον τοῦ ἧττον καλοῦ 64 b 27 ; καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα · ἧττον γὰρ αὐτοῦ 67 a 4 ; οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει ἢ οὐκ ὀργίζονται ἢ ἧττον 70 b 15 ; ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον 71 b 20 ; οὐδὲν γὰρ ἧττον ἀναγκαζόμενοι τὰ ψευδῆ λέγουσιν ἢ τἀληθῆ 77 a 3 ; καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται 80 a 35 ; ἀγανακτοῦσιν γὰρ ἧττον κολαζόμενοι καὶ οἱ δοῦλοι 80 b 19 ; καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν · καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἧττον εὐπόρων 83 b 26* ; καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον 83 b 29 ; οὔτε διαβεβαιοῦνται οὐδὲν [οἱ πρεσβύτεροι], ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ 89 b 17 ; οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς 91 b 10 ; εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον 92 b 16 ; ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα καὶ ἧττον κοινά 96 b 10 ; ἄλλος [τόπος] ἐκ τοῦ μᾶλλον καὶ ἧττον 97 b 14 ; εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ἧττον 97 b 16 ; εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον... εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει · τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον 97 b 18-19-20 ; ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει, ἢ ᾧ ἧττον εἰ ὑπάρχει 97 b 22 ; ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον 97 b 23 ; ἢ ταῦτα μέν, ἀλλὰ μᾶλλον καὶ ἧττον 05 b 16 ; διὸ ἧττον ἡδύ, ὅτι μακροτέρως 10 b 18 ; καὶ τὸν **ἥττω** τῷ κρείττονι ἀμφισβητεῖν 87 a 31 ; καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἔστιν 02 a 24 ; εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ **ἥττους** κατώρθωσαν 63 a 33 ; καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσιν 79 b 8 ; φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ δ' ἥττους φοβοῦνται 80 a 23* ; ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν 82 b 4 ; καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ [οἱ νέοι] 89 a 10 ; προσήκειν δὲ οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν **ἡττόνων** κατὰ γένος, κ. τ. α. 78 b 36 ; καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ μὲν ὡς ἡττόνων, οἱ δ' ὡς παρὰ ἡττόνων 79 b 9-10 ; προσήκει δὲ τοῖς **ἥττοσι** μὴ ὀλιγωρεῖν 79 b 12 ; καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμενοι 82 b 17 ; καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι 83 a 32 ; καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον 92 b 10 ; ὅπως πρὸς μὲν τοὺς **κρείττους** εἰρηνεύηται, πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν 60 a 1 ; καὶ ἐπὶ τὸ ἥττους ὄντας 95 a 15. — Voir κρείττων.

ἠώς (ἡ), aurore : διαφέρει δ' εἰπεῖν, οἷον ῥοδοδάκτυλος ἠὼς μᾶλλον ἢ φοινικοδάκτυλος 05 b 19.

* * *

θάλαττα (ἡ), mer : « κυανόχρων τὸ τῆς **θαλάττης** ἔδαφος » 06 a 4 (Alcidamas) ; « εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον » · « πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης » 10 a 10 & 11 (= Isocrate, *Panég.*, § 72 & 89) ; οἷον τὸ φάναι Ἀθηναίοις τὴν τῆς θαλάττης ἀρχὴν μὴ ἀρχὴν εἶναι τῶν κακῶν 12 b 5 ; ὥσπερ ἐν τοῖς κατὰ **θάλατταν** κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα 83 a 30.

θάνατος (ὁ), mort, trépas : τούτῳ δὲ ὁ μὲν τοιοῦτος θάνατος κάλλιον, τὸ δὲ ζῆν συμφέρον 59 a 5 ; Αἴσωπος δὲ ἐν Σάμῳ δηγηγορῶν κρινομένου δημαγωγοῦ περὶ **θανάτου** ἔφη... 93 b 23 ; « καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον »

12 b 18 (Anaxandride); ... « μὴ θανάτου ἄξιον ὄντα », ἢ · « μὴ ποιοῦντα θανάτου ἄξια » 12 b 20-21; διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ καταγνῶναι **θάνατον** 80 b 13; ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ **θάνατοι** καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας κ. τ. α. 86 a 8.

θανατοῦν, condamner à mort, mettre à mort : καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι ὅτι **θανατοῦνται** πολλάκις, οὐδ' οἱ σοφισταί 97 b 31.

θάπτειν, ensevelir, rendre les honneurs funèbres : ὅτι δίκαιον ἀπειρημένον **θάψαι** τὸν Πολυνείκη 73 b 10; ἀπολογεῖται γὰρ ὅτι **ἔθαψε** παρὰ τὸν τοῦ Κρέοντος νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον 75 a 34; καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα **ἔθαψαν** καὶ τιμῶσι ἔτι καὶ νῦν 98 b 16.

θαρραλέος, α, ον, confiant, qui reprend assurance, qui rend assurance : τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ φόβῳ καὶ τὸ **θαρραλέον** τῷ φοβερῷ 83 a 17; θαρραλέον γὰρ ἡ ὀργή 83 b 6; τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν 89 a 28; φανερὸν ἐκ τούτων καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα **θαρραλέοι** εἰσὶ καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν 83 a 15-16; αὐτοὶ δ' οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἂν πολλὰ κατωρθωκέναι οἴωνται καί... 83 a 25; ἔστι δὲ **θαρραλέα** τά τε δεινὰ πόρρω ὄντα ἢ τὰ σωτήρια ἐγγύς 83 a 19; καὶ περὶ μὲν τῶν φοβερῶν καὶ **θαρραλέων** εἴρηται 83 b 10.

θαρρεῖν, avoir confiance, reprendre assurance : φανερὸν ἐκ τούτων καὶ τὸ θαρρεῖν τί ἐστι 83 a 15; θυμώδεις γὰρ [οἱ νέοι] καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι, τὸ δὲ θαρρεῖν ποιεῖ 89 a 26; καὶ τοὺς μὴ φοβερούς, καὶ οὓς **θαρροῦμεν** · οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ 81 b 33; ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος **θαρροῦσι** τὰ μέλλοντα 83 a 30; οἱ δ' ἀκμάζοντες... οὔτε σφόδρα **θαρροῦντες** (θρασύτης γὰρ τὸ τοιοῦτον), οὔτε λίαν φοβούμενοι 90 a 30.

θάρρος, θάρσος, confiance, assurance (recouvrée) : τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ φόβῳ καὶ τὸ θαρραλέον τῷ φοβερῷ 83 a 16; καὶ οἱ μήτε ἐν ἀνδρείας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ **θάρρει** 85 b 30.

θάτερον, l'un des deux : 57 b 30; 58 b 10; 64 a 8; 92 b 3, 4; 95 a 30; 99 a 33; 00 b 16; **θατέρου** 57 b 30; 63 b 30; 64 a 5; 17 a 5; 19 b 16; **θατέρῳ** 97 a 23 & 24; **θάτερα** 07 a 16. — Voir ἕτερος.

θᾶττον, plus vite, plus promptement : τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον 56 a 7; καὶ ῥᾳδίως καταψευδόμενοι ὡς παυσόμενοι θᾶττον 77 a 5; ἡ μάθησις διὰ μὲν τὸ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν ὀλίγῳ θᾶττον γίνεται 12 b 25. — Voir ταχύς.

θαυμάζειν, admirer, éprouver un sentiment d'admiration : καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ · ἐν μὲν γὰρ τῷ θαυμάζειν τὸ ἐπιθυμεῖν ἐστιν, ὥστε τὸ θαυμαστὸν ἐπιθυμητόν 71 a 31-32; ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μιμητικόν 71 b 5; **θαυμάζει** 84 a 26 (*infra*); καὶ ὅσα οὓς **θαυμάζουσι** προαιροῦνται πράττειν 63 a 24; πρὸς οὓς φιλοτιμοῦνται, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ οὓς αἰσχύνονται 79 b 24-25; 84 a 28 (*infra*); ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσιν 88 b 20*; ἦσαν δ' οὗτοι ἢ θαυμαζόμενοι ἢ **θαυμάζοντες** ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι 84 b 29-30*; λόγον δὲ ἔχει τῶν **θαυμαζόντων**, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεσθαι θαυμάζεσθαι 84 a 25-26*; καὶ οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὐτῶν ἢ ἐν τοῖς **θαυμάζουσιν** αὐτούς 81 a 27-28; καὶ τοὺς πρὸς αὐτοὺς σπουδαίως πως ἔχοντας, οἷον **θαυμάζοντας** αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας 81 b 11; « πολλάκις **ἐθαύμασα** τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων » 09 b 34 (= Isocrate, *Panég.*, § 1); καὶ

τὸ **θαυμάζεσθαι** ἡδὺ δι' αὐτὸ τὸ τιμᾶσθαι 71 a 22 ; 79 b 25 ; 84 a 26 & 84 b 30 (*supra*) ; περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς 81 b 14 ; θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ τούτων καὶ θαυμάζουσι τούτους ὅσοι τι ἔχουσιν ἀγαθὸν τῶν τιμίων 84 a 28* ; « ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες » 14 b 32 (Gorgias) ; διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ **θαυμαζόμενον** ὑπ' αὐτῶν 91 a 5 ; καὶ ἐν οἷς μηδὲν ἀποτετυχήκασιν · ὥσπερ γὰρ **θαυμαζόμενοι** διάκεινται 84 b 12 ; 84 b 29 (*supra*) ; καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ **θαυμαζομένοις** ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί 73 a 16 ; 81 a 27 (*supra*).

θαυμαστής (ὁ), admirateur : φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστίν 71 a 23 ; **θαυμασταὶ** γὰρ οἱ ζηλωταί 85 a 1 ; θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν, ἡδὺ δὲ τὸ θαυμαστόν ἐστιν 04 b 11.

θαυμαστός, ή, όν, admirable, étonnant, extraordinaire : ὥστε τὸ **θαυμαστὸν** ἐπιθυμητόν 71 a 33 ; θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν, ἡδὺ δὲ τὸ θαυμαστόν ἐστιν 04 b 12 ; « ἐρῶ γὰρ ὑμῖν οἷον οὐδεπώποτε ἀκηκόατε δεινὸν ἢ οὕτω θαυμαστόν » 15 b 15 ; καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων · πάντα γὰρ **θαυμαστὰ** ταῦτα 71 b 11 ; ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔστιν δ' ἡ σοφία πολλῶν καὶ **θαυμαστῶν** ἐπιστήμη 71 b 28 ; προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς **θαυμαστοῖς**, τοῖς ἡδέσιν 15 b 2.

θεά (ἡ), déesse : « μῆνιν ἄειδε, **θεά**... » 15 a 16 (= *Iliade*, I, 1) ; « καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει **θεᾶς** » 00 b 26 (= Euripide, *Troyennes*, 990) ; καὶ ὃ τῶν φρονίμων τις... προέκρινεν, οἷον Ὀδυσσέα Ἀθηνᾶ καὶ Ἑλένην Θησεὺς καὶ Ἀλέξανδρον αἱ **θεαὶ** καὶ Ἀχιλλέα Ὅμηρος 63 a 19 ; καὶ περὶ Ἀλεξάνδρου ὃν αἱ θεαὶ προέκριναν 99 a 3 ; « εἰ ταῖς μὲν σεμναῖς **θεαῖς** καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια, Μιξιδημίδῃ δ' οὔ » 98 b 27 ; « ταῖς **θεαῖσι** πρῶτα σύμμαχος γενήσομαι » 18 b 20 (= Euripide, *Troyennes*, 969) ; voir 00 b 8, 01 a 18 & 05 a 22 : θεός, *déesse*.

θέα (ἡ), regard, point de vue : ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα 14 a 10. — Voir ὄψις.

Θεαγένης (ἡ), Théagène : καὶ γὰρ Πεισίστρατος... ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε, καὶ Θεαγένης ἐν Μεγάροις 57 b 33.

θεᾶσθαι, considérer, contempler, être spectateur : καὶ τοῖς ἢ ἀκούουσι περὶ αὐτῶν ἢ **θεωμένοις** τὰ αὐτῶν φαῦλα · ὅμοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς · οἱ γὰρ φίλοι συναλγοῦσιν, **θεώμενοι** δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν 79 b 21-22 ; πολλὰ γὰρ καὶ **θεάσασθαι** καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες 70 a 26 ; τοιοῦτοι δὲ οἱ ἄρτι βουλόμενοι φίλοι εἶναι · τὰ γὰρ βέλτιστα **τεθέανται** 84 b 15.

θεῖος α, ον, divin : τὸ δὲ **θεῖον** ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις 83 b 7 ; φιλόθεοί εἰσιν [οἱ εὐτυχοῦντες] καὶ ἔχουσιν πρὸς τὸ θεῖόν πως 91 b 3 ; ἤρετο [ὁ Σωκράτης] εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι 19 a 11.

θέλειν, consentir, accepter : δεινόν τε τὸ μὴ θέλειν αὐτόν, ὑπὲρ ὧν ἐκείνους ἀξιοῖ ὀμόσαντας δικάζειν 77 a 24 ; ὅτι εὐσεβὲς τὸ θέλειν τοῖς θεοῖς ἐπιτρέπειν 77 a 26 ; καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι περὶ ὧν ἄλλους ἀξιοῦσιν ὀμνύναι 77 a 28 ; « **θέλω** τι εἰπῆν, ἀλλά με κωλύει αἰδώς » 67 a 10 (Alcée) ; διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως, οἷον εἰ **θέλεις** Ἀχιλλέα ἐπαινεῖν 16 b 27 ; οἷον εἰ αὐτὸς μὲν **θέλει** λαμβάνειν, διδόναι δὲ μή, καὶ εἰ δίδωσι μέν, λαμβάνειν δὲ μὴ θέλει, καὶ εἰ λαμβάνειν καὶ διδόναι θέλει, εἴτε μηδέτερον 77 a 31-32 & 77 b 1 ; καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν **θέλωσιν** 01 b 26.

θεμέλιος (ὁ), fondement : καὶ εἰ τὸ ἕνεκα τούτου γέγονε, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία 93 a 7.

Θεμιστοκλῆς (ὁ), Thémistocle : περὶ δὲ τῶν ἐσομένων καὶ οἱ χρησμολόγοι [μάρτυρες], οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων 76 a 1.

Θεοδάμας (ὁ), Théodamas : καὶ ὡς Θεοδάμας εἴκαζεν Ἀρχίδαμον Εὐξένῳ γεωμετρεῖν οὐκ ἐπισταμένῳ ἐν τῷ ἀνάλογον · ἔσται γὰρ καὶ ὁ Εὔξενος Ἀρχίδαμος γεωμετρικός 06 b 30.

Θεοδέκτεια (τὰ), ouvrage de Théodecte ou d'Aristote sur (ou à partir de) Théodecte : αἱ δ' ἀρεταὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς **Θεοδεκτείοις** ἐξηρίθμηνται 10 b 3.

Θεοδέκτης (ὁ), Théodecte : καὶ Θεοδέκτης ἐν τῷ Νόμῳ 99 b 1 ; ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ **Θεοδέκτου** 97 b 3 ; καὶ πάλιν ἐκ τοῦ Νόμου τοῦ Θεοδέκτου 98 b 6 ; παράδειγμα ἐκ τοῦ Σωκράτους τοῦ Θεοδέκτου 99 a 9 ; καὶ τὸ ἐκ τοῦ Αἴαντος τοῦ Θεοδέκτου 99 b 30 ; καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ 00 a 29 ; ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου 01 a 36.

Θεόδωρος (ὁ), Théodore (de Byzance) : καὶ ὃ λέγει Θεόδωρος, τὸ καινὰ λέγειν · γίγνεται δὲ ὅταν παράδοξον ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς τὴν ἔμπροσθεν δόξαν, ἀλλ' ὥσπερ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα 12 a 26 ; ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον **Θεοδώρου** τέχνη 00 b 17 ; τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα, οἷον τὸ Θεοδώρου εἰς Νίκωνα τὸν κιθαρῳδόν · « Θρᾷττ' εἶ σύ » 12 a 34 ; ἔσται οὖν, ἄν τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ ἐποίουν οἱ περὶ **Θεόδωρον**, διήγησις ἕτερον καὶ ἐπιδιήγησις καὶ προδιήγησις, καὶ ἔλεγχος καὶ ἐπεξέλεγχος 14 b 14.

Θεόδωρος (ὁ), Théodore (acteur tragique) : καὶ οἷον ἡ **Θεοδώρου** φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν · ἡ μὲν γὰρ τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀλλότριαι 04 b 22.

θεός (ὁ, ἡ), dieu, déesse, être de nature divine : ἆρ' ἢ θεὸς ἢ θεοῦ ἔργον ; 98 a 17* ; « τὸν νοῦν ὁ Θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ » 11 b 12 ; ἢ κλέψαι μέν, ἀλλ' οὐχ ἱεροσυλῆσαι, οὐ γὰρ **θεοῦ** τι 74 a 4 ; οὐδὲν δὲ διαφέρει περὶ Λακεδαιμονίων ἢ Ἀθηναίων ἢ ἀνθρώπου ἢ θεοῦ τὸ αὐτὸ τοῦτο δρᾶν 96 a 24 ; ἄλλος [τόπος] ἐξ ὁρισμοῦ, οἷον τί τὸ δαιμόνιόν ἐστιν ; ἆρ' ἢ θεὸς ἢ θεοῦ ἔργον ; καίτοι ὅς τις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι 98 a 17**-18 ; « ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν Ὀλύμπιοι » 01 a 18 (= Pindare, *Parthénées*, *fr.* 96 Snell, 111 Turyn) ; ἐπαινεῖν πολλάκις οὐ μόνον ἄνθρωπον ἢ **θεόν**, ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ τυχόν 66 a 30 ; καὶ Ἡγησίπολις ἐν Δελφοῖς ἠρώτα τὸν θεόν 98 b 33 ; οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 8 ; οὐ γὰρ ἂν μητραγύρτην αὐτὸν καλεῖν, ἀλλὰ δᾳδοῦχον · ἄμφω γὰρ περὶ θεόν, ἀλλὰ τὸ μὲν τίμιον, τὸ δὲ ἄτιμον 05 a 22 ; εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν 18 a 37 ; ἄλλος [τόπος] ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οἷον εἰ μηδ' οἱ **θεοὶ** πάντα ἴσασιν, σχολῇ οἵ γε ἄνθρωποι 97 b 15 ; ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν · οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν · ἀπέθνησκον γὰρ ἄν 98 b 29 ; οἷον ἱέρεια οὐκ εἴα τὸν υἱὸν δημηγορεῖν · ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποι σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. Δεῖ μὲν οὖν δημηγορεῖν · ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι 99 a 24-25 ; « τίνας **θεῶν** οὐ τετίμηκεν ὧν ἡ πό-

λις νομίζει ; » 99 a 9 (Théodecte, *Socrate*) ; καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν 00 b 20 ; καὶ τὸ κοινωνικὸν φάναι τὸν 'Ερμῆν εἶναι μάλιστα τῶν θεῶν 01 a 22 ; οἷον Σωκράτης, Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι, ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δέ · « ἔστιν οὖν, ἔφη, ὅστις θεῶν μέν παῖδας οἴεται, θεοὺς δὲ οὔ ; » 19 a 9-10-11-12 ; ὅτι εὐσεβὲς τὸ θέλειν τοῖς **θεοῖς** ἐπιτρέπειν 77 a 26 ; ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν 86 b 14 ; ἢ οἷς μὴ καλὸν ἐναντία κρίνειν, οἷον θεοῖς ἢ πατρὶ ἢ διδασκάλοις 98 b 26 ; καὶ ὅλως ἂν πρὸς τοὺς **θεοὺς** αὐτοῖς καλῶς ἔχῃ, τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων 83 b 5 ; 98 a 18 (*supra*) ; οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν · ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε 99 b 7-9 ; 19 a 9 & 11 (*supra*). — Voir δαιμόνιος, δαίμων, θεά, θεῖος (τὸ θεῖον : le divin, la divinité).

θεραπεύειν, soigner (un malade), traiter (une maladie) : ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως **θεραπεῦσαι** καλῶς 55 b 14.

θεράπων (ὁ), serviteur : ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον **θεράποντας** καὶ φίλους τούτων 84 b 22.

θερίζειν, moissonner, récolter : « σὺ δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ **ἐθέρισας** » 06 b 10 (Gorgias).

θερμός, ή, όν, chaud, ardent, chaleureux : ἐναντίως γὰρ διάκεινται τοῖς νέοις [οἱ πρεσβύτεροι] · κατεψυγμένοι γάρ εἰσιν, οἱ δὲ **θερμοί** 89 b 31. — Voir διάθερμος.

θετέον, il faut poser, établir : ἔτι οὐχ ὁμοίως ἔχον σημαίνει τόδε καὶ τόδε, ὥστε καὶ οὕτως ἄλλου ἄλλο κάλλιον καὶ αἴσχιον θετέον 05 b 14.

Θετταλίσκος (ὁ), Thessaliscos : 'Ισμηνίου καὶ Στίλβωνος ἀμφισβητούντων ἡ Δωδωνὶς ἀπέδειξεν 'Ισμηνίου τὸν υἱόν, καὶ διὰ τοῦτο **Θετταλίσκον** 'Ισμηνίου ἐνόμιζον 98 b 5.

Θετταλός, ή, όν, de Thessalie, Thessalien : ὥσπερ ἔφη 'Ιάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν 73 a 26 ; λέγω δὲ γένος μὲν... καὶ γυνὴ ἢ ἀνήρ, καὶ Λάκων ἢ Θετταλός 08 a 28.

θεωρεῖν, voir (en pensée), considérer, contempler : δι' ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν καὶ οἱ ἀπὸ τοῦ αὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται 54 a 10 ; ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές 54 b 10 ; δῆλον δ' ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν ἐκ τίνων καὶ πῶς γίνεται συλλογισμός, οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα 55 a 10 ; ἡ δὲ ῥητορικὴ περὶ τοῦ δοθέντος ὡς εἰπεῖν δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθανόν 55 b 32 ; εἰς δ' ἀσφάλειαν ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν 60 a 18 ; περὶ δ' ἔχθρας καὶ τοῦ μισεῖν φανερὸν ὡς ἐκ τῶν ἐναντίων ἐστὶ θεωρεῖν 82 a 2 ; οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου 12 a 13 ; καὶ εὐθὺς εἴσαγε καὶ σεαυτὸν ποιόν τινα, ἵνα ὡς τοιοῦτον **θεωρῶσιν** 17 b 8 ; χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων **θεωροῦντι** ἀλλὰ καὶ... 60 a 32 ; οὐδὲ ἡ ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδοξον **θεωρήσει** 56 b 34 ; ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ **θεωρῆσαι** τὸ ἐνδεχόμενον πιθανόν 55 b 25 ; ταύτας [τὰς πίστεις] ἐστὶν λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ περὶ τὰς ἀρετάς 56 a 22 ; καὶ ὅτι οὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι 76 a 23 ; ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους **τεθεωρηκέναι**, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων 60 a 4 ; καὶ οὐ κακοήθεις [οἱ νεοί], ἀλλ' εὐήθεις, διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας 89 a 17 ; τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη

ὅσα **τεθεώρηται** ἐν τοῖς περὶ Ποιήσεως 04 b 27 ; ἔστω οὖν ἐκεῖνα **τεθεωρημένα** καὶ ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι 04 b 1. — Voir ἰδεῖν, ὁρᾶν.

θεώρημα (τὸ), spectacle, objet de contemplation, principe, théorème : πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ [τῇ ῥητορικῇ] τῶν οἰκείων **θεωρημάτων** 59 b 8.

θεωρός (ὁ), spectateur : ὁ δὲ περὶ τῆς δυνάμεως [κρίνων] ὁ θεωρός 58 b 6 ; ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ **θεωρὸν** εἶναι ἢ κριτήν 58 b 2 ; ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν 91 b 16.

Θηβαῖοι (οἱ), les Thébains : καὶ πάλιν πρὸς τὸ **Θηβαίους** διεῖναι Φίλιππον εἰς τὴν Ἀττικήν 97 b 38.

Θήβησιν, à Thèbes : καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ κελεύει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν 97 b 11 ; τοῦτο μὲν γὰρ Ἀθήνησι... τοῦτο δὲ Θήβησιν... ἡ Δωδωνὶς ἀπέδειξεν Ἰσμηνίου τὸν υἱόν 98 b 3 ; καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις 98 b 18.

θήγειν, aiguiser : « ἀκράτῳ τῆς διανοίας ὀργῇ **τεθηγμένον** » 06 a 10 (Alcidamas).

θῆλυς, εια, υ, féminin, de sexe ou de genre féminin : ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ **θήλεα** καὶ ἄρρενα 61 a 5 ; ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη 07 b 7 ; **θηλειῶν** δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ συφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 5*.

θήρ (ὁ), bête, animal (sauvage) : καὶ « ἔγνω δὲ θὴρ **θῆρα** » 71 b 16* (prov.) ; « οὐχ ἵνα κτάνωσι θῆρ', ὅπως δὲ μάρτυρες ἀρετῆς γένωνται » 99 b 28 (= Antiphon, *Méléagre*, *fr.* 2 Nauck p. 792, Snell p. 195).

θηρεύειν, faire la chasse, pourchasser : ὃ δὲ λέγω, δῆλον ἔσται ὧδε, ἅμα δὲ καὶ πῶς δεῖ αὐτὰς [τὰς γνώμας] θηρεύειν 95 b 4.

θηρευτικός, ή, όν, qui concerne la chasse : αἱ δ' εὐθὺς ἡδεῖαι [παιδιαί], οἷον κυνηγία καὶ πᾶσα **θηρευτική** [sc. τέχνη] 71 a 5.

θηρίον (τὸ), bête (sauvage), animal : οὐδεὶς γὰρ παιδία καὶ **θηρία** αἰσχύνεται 84 b 24 ; ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ **θηρίων**, οὐδὲν μέλει τῆς τούτων τιμῆς 71 a 15.

θηριώδης, ης, ες, sauvage, bestial : καὶ τὸ **θηριωδέστερον** ἀδίκημα μεῖζον 75 a 6.

θησαυρός (ὁ), trésor : οἷον εἰ... οἱ ἄλλοι μὴ εἶδον τὸν **θησαυρόν**, ὁ δ' εὗρεν 62 a 9.

Θησεύς (ὁ), Thésée : καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν, οἷον... Ἑλένην Θησεύς 63 a 18 ; καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος 97 b 27 ; καὶ περὶ τῆς Ἑλένης ὡς Ἰσοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινεν 99 a 2.

θητικός, ή, όν, qui convient à un mercenaire : οὐ γάρ ἐστιν κομῶντα ῥᾴδιον οὐδὲν ποιεῖν ἔργον **θητικόν** 67 a 31.

θλίβειν, serrer, presser, comprimer : ὁ δὲ θλίβειν καὶ κατέχειν [δυνάμενος] παλαιστικός 61 b 24.

θνῄσκειν, mourir ; **τεθνάναι**, être mort : « τὴν μὲν **θανεῖν** ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν » 97 b 8 (= Théodecte, *Alcméon*, Nauck *fr.* 2, p. 801 = Snell 72 F 2, p. 231) ; ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς **τεθνεῶτος** 80 b 29 ; καὶ ὅσα **τεθνεῶτι** ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι 67 a 1 ; οἷον Διοπείθει τὰ παρὰ βασιλέως τεθνεῶτι κατεπέμφθη 86 a 14 ; καὶ τὸ κερδαίνειν... ἀπὸ ἀδυνάτων, οἷον πενήτων ἢ **τεθνεώτων** 83 b 23 ; οὔτε τοῖς ἄλλοις ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς **τεθνεῶ**-

σιν ἔτι, ὡς πεπονθόσι τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθησομένοις 80 b 26 ; διὸ καὶ τοὺς περὶ τοὺς **τεθνεῶτας** τοιούτους πάντες φιλοῦσιν 81 b 26 ; πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας ἢ πρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδεὶς [φιλοτιμεῖται] 88 a 11 ; καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις 06 b 33. — Voir ἀποθνήσκειν.

θνητός, ή, όν, mortel : « ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν » 94 b 23 (*tragic. adesp.*, Nauck *fr.* 79, p. 854) ; τὸ μὲν γὰρ φάναι « μὴ δεῖν φυλάττειν » γνώμη, τὸ δὲ προσκείμενον « **θνητὸν** ὄντα » τὸ διὰ τί 94 b 25 ; « **θνατὰ** χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν » 94 b 26** (= Épicharme, *fr.* B 20, D-K I, p. 201).

θορυβεῖν, faire du tumulte, causer du trouble, se livrer à des manifestations bruyantes, applaudir : ἐὰν γὰρ οὕτως ἀποκρίνηται... **θορυβοῦσιν** ὡς ἀποροῦντος 19 a 16 ; διὸ πολλοὶ καταπλήττουσι τοὺς ἀκροατὰς **θορυβοῦντες** 08 a 25 ; οἷον Ἀνδροκλῆς... ἐπεὶ **ἐθορύβησαν** αὐτῷ εἰπόντι 00 a 11 ; πάντων δὲ... συλλογισμῶν **θορυβεῖται** μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι μὴ τῷ ἐπιπολῆς εἶναι 00 b 33 ; **θορυβοῦνται** δὲ μᾶλλον οἱ ἐνθυμηματικοὶ [λόγοι] 56 b 24.

Θούριος, α, ον, de Thourioi (ou Thurium) : « Ἡροδότου **Θουρίου** (*var.* Ἁλικαρνασσῆος) ἥδ' ἱστορίης ἀπόδεξις » 09 a 29 (= Hérodote I, 1).

Θρᾷξ (ὁ), habitant de la Thrace : εἰ μὴ ὑπολαμβάνει **Θρᾷκα** εἶναι, οὐ δόξει ἀστεῖον εἶναι 12 b 2.

θρασύβουλος, ος, ον, « qui a de hardis desseins » : καὶ ὡς Κόνων Θρασύβουλον **θρασύβουλον** ἐκάλει 00 b 21.

Θρασύβουλος (ὁ), Thrasybule : κατηγορήσαντος **Θρασυβούλου** ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει 00 a 34 ; **Θρασύβουλον** 00 b 21 : voir θρασύβουλος ; πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε · συντίθησι γάρ 01 a 35.

θρασύμαχος, ος, ον, hardi dans le combat : καὶ Ἡρόδικος Θρασύμαχον · « ἀεὶ θρασύμαχος εἶ » 00 b 22.

Θρασύμαχος (ὁ), Thrasymaque : ἐγκεχειρήκασιν δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς [sc. τῆς ὑποκριτικῆς] εἰπεῖν τινές, οἷον Θρασύμαχος ἐν τοῖς Ἐλέοις 04 a 14 ; ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι 13 a 8 ; λείπεται δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ **Θρασυμάχου** ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν 09 a 2 ; **Θρασύμαχον** 00 b 21 : voir θρασύμαχος.

θρασύς, εῖα, ύ, hardi, audacieux, téméraire : καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν **θρασὺν** ἀνδρεῖον καὶ τὸν ἄσωτον ἐλευθέριον 67 b 2 ; οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ ὑβρισταὶ καὶ ὀλίγωροι καὶ **θρασεῖς** 83 a 2.

θρασύτης (ἡ), hardiesse, audace : οἱ δ' ἀκμάζοντες... οὔτε σφόδρα θαρροῦντες (θρασύτης γὰρ τὸ τοιοῦτον) οὔτε λίαν φοβούμενοι 90 a 30 ; οἷον ὅτι « ἅμα λέγων ἐβάδιζε » · δηλοῖ γὰρ **θρασύτητα** καὶ ἀγροικίαν ἤθους 17 a 23.

Θρᾷττα (ἡ), fille de Thrace : « Θρᾷττ' εἶ σύ », προσποιεῖται γὰρ λέγειν τὸ « θράττει σε » καὶ ἐξαπατᾷ 12 a 35.

θράττειν, causer du trouble : « **θράττει** σε » 12 a 35-12 b 1 : voir Θρᾷττα.

θρηνεῖν, chanter des thrènes, des lamentations : οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσιν τῇ Λευκοθέᾳ καὶ **θρηνῶσιν** ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ **θρηνεῖν**, εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 7-8.

θρῆνος (ὁ), lamentation, chant funèbre, thrène : καὶ ἐν πένθεσι καὶ **θρήνοις** ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή 70 b 25.

θρυλεῖν, répéter, redire, ressasser : ἄκος δ' ἐπὶ πάσῃ ὑπερβολῇ τὸ **θρυλούμενον** · δεῖ γὰρ αὐτὸν αὐτῷ προεπιπλήττειν 08 b 2 ; εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ **τεθρυλημένου** πολλοῖς, ὥστε συγγνώμην ἔχειν 15 a 2 ; χρῆσθαι δὲ δεῖ καὶ ταῖς **τεθρυλημέναις** καὶ κοιναῖς γνώμαις, ἐὰν ὦσι χρήσιμοι 95 a 10.

θυγάτηρ (ἡ), fille : καὶ ὡς Ἀρχίλοχος ψέγει · ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς **θυγατρὸς** ἐν τῷ ἰάμβῳ 18 b 28 ; καὶ ὁ Σιμωνίδης... ἐποίησε · « Χαίρετ' ἀελλοπόδων **θύγατρες** ἵππων · » καίτοι καὶ τῶν ὄνων **θυγατέρες** ἦσαν 05 b 27-28 (Simonide, *fr.* 7 Bergk = 37 Page) ; καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν **θυγατέρων** πρὸς τὸν γάμον ἐγχρονιζουσῶν 11 a 19.

θύειν, offrir un sacrifice : εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 9 ; Ἐλεάταις ἐρωτῶσιν εἰ **θύωσι** τῇ Λευκοθέᾳ 00 b 7 (voir θρηνεῖν) ; οἷον παρακαλοῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ **θυσαμένους** 95 a 13.

θυμικός, ή, όν, ardent, irascible, bouillant : καὶ **θυμικοὶ** [οἱ νέοι] καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ 89 a 9.

θυμός (ὁ), volonté, cœur, désir, colère, ardeur, emportement : « θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων » 79 a 5 (= *Iliade*, II, 196) ; ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ **θυμοῦ** 70 b 11 ; περὶ μὲν οὖν θυμοῦ ῥηθήσεται ἐν τοῖς περὶ τὰ πάθη 73 b 36 ; διὸ καλῶς εἴρηται περὶ θυμοῦ 78 b 5 ; καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ [οἱ νέοι] 89 a 10 ; πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λογισμόν, διὰ **θυμόν**, δι' ἐπιθυμίαν 69 a 7 ; διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά 69 b 11 ; ὁμοίως δὲ καὶ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίαν 90 b 2 ; καὶ οἱ **θυμοὶ** [τῶν πρεσβυτέρων] ὀξεῖς μέν, ἀσθενεῖς δέ εἰσιν 90 a 11.

θυμοῦσθαι, s'irriter : πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι παυόμεθα **θυμούμενοι** 80 a 19.

θυμώδης, ης, ες, ardent, emporté : καὶ ἀνδρειότεροι [οἱ νέοι] · **θυμώδεις** γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι, τὸ δὲ θαρρεῖν ποιεῖ 89 a 25.

θύρα (ἡ), porte : καὶ ἡ παροιμία δὲ τὸ « ἐπὶ **θύραις** τὴν ὑδρίαν » 63 a 7 ; « τοὺς σοφοὺς γάρ, ἔφη [ὁ Σιμωνίδης], ἔστιν ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας » 91 a 11.

θυσία (ἡ), sacrifice, cérémonie rituelle : μέρη δὲ τιμῆς **θυσίαι**, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, κ. τ. α. 61 a 34.

* * *

ἰαμβεῖον (τὸ), mètre iambique, vers iambique (trimètre) : ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων 04 a 31 ; καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν 11 a 19 ; διὸ μάλιστα πάντων τῶν μέτρων **ἰαμβεῖα** φθέγγονται λέγοντες 08 b 35 ; δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα 09 b 9 ; ἡ μεταφορὰ δὲ [χρησιμωτάτη] τοῖς **ἰαμβείοις**, τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται 06 b 4.

ἴαμβος (ὁ), iambe, rythme iambique : τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνός, ... ὁ δ' ἴαμβος αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πολλῶν · διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες 08 b 33 ; ποιεῖ γὰρ [ὁ Ἀρχίλοχος]

τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ... καὶ τὸν Χάρωνα τὸν τέκτονα, ἐν τῷ ἰάμβῳ οὗ ἀρχὴ · « οὔ μοι τὰ Γύγεω » 18 b 28 & 30.

ἰᾶσθαι, soigner, guérir (métaph. : réparer, corriger) : καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως **ἰασόμενοι** 73 a 25.

ἴασις (ἡ), guérison, remède : [ἀδίκημα δὲ μεῖζον]... καὶ οὗ μή ἐστιν ἴασις · χαλεπὸν γὰρ καὶ ἀδύνατον. Καὶ οὗ μὴ ἔστιν δίκην λαβεῖν τὸν παθόντα · ἀνίατον γάρ · ἡ γὰρ δίκη καὶ κόλασις ἴασις 74 b 31 & 33.

Ἰάσων (ὁ), Jason (héros) : ἡ δὲ [Μήδεια] ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν **Ἰάσονα** ἂν ἀπέκτεινεν 00 b 15.

Ἰάσων (ὁ), Jason de Thessalie : ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν 73 a 26.

ἰατός, ή, όν, guérissable : καὶ τὸ μὲν [sc. ἡ ὀργὴ] **ἰατὸν** χρόνῳ, τὸ δ' ἀνίατον [sc. τὸ μῖσος] 82 a 7.

ἰατρεύματα (τὰ), remèdes préventifs (c. à d. précautions oratoires) : τὰ δὲ ἄλλα εἴδη οἷς χρῶνται, ἰατρεύματα καὶ κοινά 15 a 25.

ἰατρικός, ή, όν, propre à la médecine ; **ἰατρικὴ τέχνη**, l'art de guérir : τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὑτῇ ὑποκείμενόν ἐστιν διδασκαλικὴ καὶ πειστική, οἷον ἰατρικὴ περὶ ὑγιεινῶν καὶ νοσερῶν 55 b 28 ; οὐδεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον, οἷον ἡ ἰατρικὴ τί Σωκράτει τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε ἢ τοῖς τοιοῖσδε 56 b 31 ; οὐδὲ γὰρ **ἰατρικῆς** τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν 55 b 12.

ἰατρός (ὁ), médecin : οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ **ἰατροῦ** ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι 75 b 22.

Ἴδα (ἡ), le mont Ida : οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος · ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ **Ἴδῃ** διέτριβεν καθ' αὑτόν 01 b 21.

εἰ δὲ τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι 66 a 35 ; οὐκ ἀεὶ τὸ δικαίως καλόν, ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως 66 b 32 ; διὸ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη καλόν 67 a 19 ; τὸ δὲ δίκαιον καλόν 67 a 21 ; καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια καλά, καὶ ὅσα σημεῖά ἐστιν τῶν παρ' ἑκάστοις ἐπαινουμένων, οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν · ἐλευθέρου γὰρ σημεῖον 67 a 28-29 ; εἰ γὰρ οὗ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν 67 b 5 ; καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ γε δοκεῖ γειτνιᾶν 67 b 11 ; εὐδαιμονικὸν γὰρ καὶ καλὸν καὶ τὸ προσεπικτᾶσθαι τιμήν 67 b 14 ; δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν · αὐξητικὸν γὰρ καὶ καλόν, εἰ σπουδαίων βελτίων 68 a 22 ; ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο 70 b 3 ; ἔχει γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλόν, καὶ ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνεται 73 a 15 ; καὶ πρὸς τὸ συμφέρον ζῶσιν [οἱ πρεσβύτεροι], ἀλλ' οὐ πρὸς τὸ καλόν, μᾶλλον ἢ δεῖ διὰ τὸ φίλαυτοι εἶναι · τὸ μὲν γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς 89 b 37-90 a 1 ; καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον [οἱ ἀκμάζοντες], οὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω 90 a 33 ; καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι 92 a 13 ; τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον 93 a 15 ; ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες εἴ τι καλὸν ἢ αἰσχρὸν ὑπάρχει 96 a 28 ; ἢ οἷς μὴ καλὸν ἐναντία κρίνειν, οἷον θεοῖς ἢ πατρὶ ἢ διδασκάλοις 98 b 25 ; ἄμφω μὲν γὰρ τὸ καλὸν ἢ τὸ αἰσχρὸν σημαίνουσιν, ἀλλ' οὐχ ᾗ καλὸν ἢ οὐχ ᾗ αἰσχρόν · ἢ ταῦτα μέν, ἀλλὰ μᾶλλον καὶ ἧττον 05 b 14-15 ; καὶ ὡς 'Αλκιδάμας ...τὴν 'Οδύσσειαν « καλὸν ἀνθρωπίνου βίου κάτοπτρον » 06 b 12 ; « καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον » 12 b 18 (Anaxandride) ; ἢ ἀντικαταλλάττεσθαι ἀδικοῦντα, εἰ βλαβερόν, ἀλλ' οὖν καλόν, εἰ λυπηρόν, ἀλλ' ὠφέλιμον 16 a 13 ; φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν, ἀγαθοῦ δ' ἐν τῷ τὸ καλόν 17 a 28 ; **καλοῦ** (neut.) 64 b 27 (*supra*) ; μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας καὶ καλοῦ καὶ αἰσχροῦ 66 a 24 ; ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ τοῦ καλοῦ 89 a 35 ; διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος, [οἱ πρεσβύτεροι] ὀλιγωροῦσι τοῦ δοκεῖν 90 a 3 ; ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων περὶ ἀγαθοῦ ἢ κακοῦ ἢ καλοῦ ἢ αἰσχροῦ ἢ δικαίου ἢ ἀδίκου 96 b 30 ; ὥστε καὶ τὰ ἡδέα καὶ τὰ **καλὰ** ἀνάγκη ἀγαθὰ εἶναι 62 b 7 ; οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά 65 b 9 ; ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά 66 b 26 ; ἐπεὶ δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ἅ ἐστιν ἀγαθοῦ ἔργα ἢ πάθη καλά, ἀνάγκη ὅσα τε ἀνδρείας ἔργα ἢ σημεῖα ἀνδρείας ἢ ἀνδρείως πέπρακται καλὰ εἶναι 66 b 29-30 ; καὶ ἐφ' ὅσοις τὰ ἆθλα τιμή, καλά 66 b 35 ; 67 a 28 (*supra*) ; ἅπαντα γὰρ ταῦτα καλά 68 a 12 ; καὶ αἰσχυντηλοὶ [οἱ νέοι] · οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον 89 a 28 ; καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων 89 a 33 ; φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινοῦσι μάλιστα 99 a 31 ; ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολὺ ὅτι καλὰ καὶ ὠφέλιμα ἡ αὔξησις ἔσται 17 b 31 ; τῶν δὲ **καλῶν** τὰ μὲν ἡδέα, τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν 62 b 8 ; ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων καὶ τῶν ἐναντίων 65 a 23 ; ἀνδρεία δὲ [ἀρετὴ] δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις 66 b 12 ; « αἰ δ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν » 67 a 11 (Sappho) ; καὶ νίκη καὶ τιμὴ τῶν καλῶν 67 a 22 ; ἡ δ' ὑπεροχὴ τῶν καλῶν 68 a 24 ; καὶ ἐπὶ τούτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν... μὴ μετέχειν 84 a 9 ; ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν ἐπαινοῦσι πάντες 96 a 15 ; καὶ ἀπὸ καλῶν [δεῖ μεταφέρειν] 05 b 6 ; τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον, ἀπὸ καλῶν ἢ τῇ φωνῇ ἢ τῇ δυνάμει ἢ τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει 05 b 17. — Voir κάλλιστος, καλλίων. — Opp. à αἰσχρός.

Καλυδών (ἡ), Calydon : καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα · « Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονός... » (= Euripide, *Méléagre*, *fr.* 515, Nauck p. 525) · τοὐναντίον γάρ ἐστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν **Καλυδῶνα** εἶναι τῆς Πελοποννήσου 09 b 10-12.

καλῶς, bien, comme il convient, conformément au beau ou au bien : χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας 54 b 4 ; ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς 55 b 14 ; πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν 65 b 23 ; διὸ καὶ καλῶς εἴρηται περὶ θυμοῦ 78 b 5 ; καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ 83 b 5 ; καὶ οὔτε σφόδρα θαρροῦντες... οὔτε λίαν φοβούμενοι, καλῶς δὲ πρὸς ἄμφω ἔχοντες 90 a 31 ; εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι 97 a 24 ; καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι 97 a 27 ; εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια 98 b 28 ; καὶ δοκεῖ φορτικὸν εἶναι, καλῶς ὑπολαμβανόμενον 04 a 1. — Voir εὖ.

κάμνειν, se fatiguer, être fatigué ou malade : προορῶντες γὰρ τὸ πέρας οὐ **κάμνουσι** πρότερον 09 a 35 ; μάλιστα μὲν [ὀργίζονται] πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον **κάμνων** μὲν τοῖς πρὸς τὴν νόσον 79 a 20 ; διὸ **κάμνοντες**, πενόμενοι, ... ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσί 79 a 17 ; ὀξεῖαι γὰρ αἱ βουλήσεις [τῶν νέων] καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν **καμνόντων** δίψαι καὶ πεῖναι 89 a 8. — Voir νοσεῖν.

καμπτήρ (ὁ), courbure, borne de stade : τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν · διόπερ ἐπὶ τοῖς **καμπτῆρσιν** ἐκπνέουσι καὶ ἐκλύονται 09 a 34. — Voir τέρμα.

καμπύλος, η, ον, courbe, recourbé : οὔτε περὶ πάντων [ἡ γνώμη], οἷον ὅτι τὸ εὐθὺ τῷ **καμπύλῳ** ἐναντίον, ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί 94 a 24.

κἂν (= καὶ ἄν, καὶ ἐάν), même si le cas échéant, et si éventuellement : κἂν... ποιήσειε 54 a 25 ; κἂν ἀληθὲς ᾖ 57 b 13 & 20 ; 63 a 30 *var.* ; κἂν ἀποστερήσειεν 63 b 33 ; κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος 64 a 3 ; κἂν ᾖ ἀρχή, ..., κἂν ᾖ αἴτιον 64 a 10* ; τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται 65 b 3 ; κἂν μὴ καθ' αὑτὸν εὐπορῇς 68 a 19 ; διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους 68 a 24 ; κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον 71 b 8 ; κἂν πολύφιλοι ὦσιν, κἂν πλούσιοι 72 a 13* ; κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι 72 a 15 ; κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ 73 b 8 ; κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν χεῖρα ἢ πατάξῃ 74 a 35 ; κἂν ὁτιοῦν ἀδικήσειεν 74 b 29 ; ἐκ γὰρ τῶν αὐτῶν κἂν ἕτερόν τις κἂν ἑαυτὸν κατασκευάσειε τοιοῦτον 78 a 17* ; κἂν ὁτιοῦν ἄλλο ὀλιγωρῇ τις 79 a 23 ; 83 b 24 *var.* ; κἂν μικρὰ ὑπηρετήσωσιν 85 a 26 ; ὃ κἂν αὐτὸς προσδοκήσειεν ἂν παθεῖν ἢ τῶν αὑτοῦ τινα 85 b 14 ; κἂν οἴωνταί τινας εἶναι τῶν ἐπιεικῶν 85 b 34 ; καὶ ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι 87 b 1 ; κἂν ἀδικῶσιν 91 a 28 ; κἂν ᾖ ἐπιζήμιον 99 b 38 ; κἂν μὴ ὑπαρχῇ 00 a 32 ; κἂν ἔνοχος ὤν, οἷον ἂν ἰσχυρὸς ὤν 02 a 19 ; κἂν ᾖ ὑπάρχοντα 03 a 3 ; κἂν μηθὲν λέγῃ 08 a 24 ; κἂν μὴ εὐθὺς ὥσπερ Εὐριπίδης, ἀλλ' ἐν τῷ προλόγῳ γέ που 15 a 19. — Voir ἄν, καί.

κανών (ὁ), règle, type, modèle, principe : ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι **κανόνι**, τοῦτον ποιήσειε στρεβλόν 54 a 26.

καπηλεῖον (τὸ), boutique, taverne : ὁ Κύων δὲ τὰ **καπηλεῖα** [ἐκάλει] τὰ Ἀττικὰ φιδίτια 11 a 24.

Καρκίνος (ὁ), Carcinos : οἷον ἐν τῇ **Καρκίνου** Μηδείᾳ οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς · ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων · ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας,

ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν 00 b 11 ; οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν 17 b 18.

Καρπάθιος (ὁ), habitant de Carpathos : οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, « ὡς ὁ Καρπάθιός, φασιν, τὸν λαγώ » 13 a 19.

κάρπιμος, ος, ον, fertile, fructueux, productif : ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ **κάρπιμα**, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν · κάρπιμα δὲ λέγω ἀφ' ὧν αἱ πρόσοδοι, ἀπολαυστικὰ δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον 61 a 17*.

Καρχηδόνιοι (οἱ), les Carthaginois : τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς **Καρχηδονίους** 72 b 28 *var.* : voir Χαλκηδόνιοι.

κατά, κατ', καθ', du haut de, contre, selon, du point de vue de, etc. :

1° **avec le génitif** : 55 b 4-5 (κατὰ πάντων τῶν ἀγαθῶν... καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων) ; 64 b 15 (κατὰ τῶν ἄλλων) ; 75 b 32 (καὶ Κλεοφῶν κατὰ Κριτίου) ; 70 a 10 (κατὰ Χάρητος ὁ Πλάτων εἶπε), 27 (κατὰ τοῦ πράγματος) ; 77 a 2 (καθ' ὅλου τοῦ γένους τῶν βασάνων) ; 98 a 4 (ἐκ τῶν εἰρημένων καθ' αὑτοῦ) ; 06 b 15 (κατ' αὐτοῦ) ;

2° **avec l'accusatif** :

a) **κατὰ μέρος** : 54 b 5 ; 57 b 1, 18 ; 58 a 28 ; 76 b 7 ; 95 b 3, 6 ; 02 b 2, 18 ; 16 b 18 ;

b) **καθ' ἕκαστον** : 56 a 18 ; 56 b 30, 32, 33 ; 57 b 2, 11 ; 31 (καθ' ἕκαστον γένος) ; 59 b 2 ; 70 a 22 (καθ' ἕκαστον εἶδος) ; 77 a 29 ; 78 a 33 ; 80 b 21 ; 82 a 5 (τὰ καθ' ἕκαστα) ; 93 a 13 (καθ' ἕκαστον τῶν λόγων), 18 (τὰ καθ' ἕκαστα) ; 94 a 22 ;

c) **κατὰ φύσιν** : 69 b 3 ; 70 a 3, 5 ; 71 a 34 ; 71 b 12 ; 73 b 6 ; 75 a 32 ; 03 b 18 ; 19 b 20 ; 20 b 1 ;

d) **κατ' ἀναλογίαν** : 11 a 2 ; 11 b 3 ; 12 a 5 ;

e) **autres emplois** : 55 a 22, 26 ; 55 b 19*-20-21* ; 57 b 5, 9 ; 58 a 5*, 6 (κατ' ἄλλας τέχνας), 9 ; 58 b 18 ; 59 a 21 (καθ' αὑτά) ; 59 b 4 & 5 ; 61 a 2, 8*, 9, 10 ; 61 b 7 (καθ' ἑκάστην ἡλικίαν), 19 ; 62 a 19 ; 62 b 3, 9 (καθ' ἑαυτὰ αἱρετά), 10 (καθ' ἕν), 11 (καθ' αὑτὸ αἱρετόν : *id.* 27 ; 64 a 1* ; 64 b 28) ; 62 b 19 (καθ' αὑτὸν αἱρετός) ; 63 a 6 (κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ... [λίποιεν] = *Iliade*, II, 160 & 176, i.e. καταλίποιεν δ' ἄν...) ; 63 a 29 ; 64 b 14 ; 65 b 27, 34, 37 ; 66 a 2, 15, 26 ; 66 b 20 (καθ' ἥν), 24, 33 ; 67 a 36 ; 67 b 12, 22 ; 68 a 19 (καθ' αὑτὸν) ; 68 b 8 (καθ' ὅν) ; 69 a 8, 17 ; 70 a 5 ; 72 b 32 ; 73 b 32 (καθ' αὑτά) ; 74 a 21, 36 ; 74 b 1 ; 76 b 9, 12 ; 78 a 1 ; 78 b 36** ; 79 a 13 ; 81 a 1, 26 ; 83 a 29 ; 85 a 17 (καθ' ἥν) ; 86 a 25*-26*** ; 86 b 29 (κατ' ἀξίαν) ; 87 b 26*-27*** ; 88 b 31 ; 89 b 23 ; 90 a 13*, 16*, 32 ; 90 b 21, 22, 25 ; 91 a 30, 32 ; 91 b 4, 19 ; 97 b 18 (καθ' ὁπότερον) ; 99 b 24 (οὐ κατ' εὔνοιαν φρενῶν : *tragic. adespot.*) ; 01 b 22 (καθ' αὑτόν) ; 02 a 15 (τὸ κατὰ τί) ; 03 a 10 ; 03 b 34 (κατὰ τοὺς πολιτικοὺς ἀγῶνας) ; 04 a 17 ; 05 a 30 (κατ' ἀξίαν) ; 05 b 35 (κατὰ τὴν λέξιν) ; 08 a 28 (καθ' ἡλικίαν : *cf.* 69 a 8 ; 86 a 25 ; 91 b 4 ; 08 a 27) ; 08 a 29* (καθ' ἅς... καθ' ἅπασαν) ; 09 a 31 (καθ' αὑτήν), 37 (*id.*) ; 10 b 27 & 28 (κατὰ μὲν οὖν τὴν διάνοιαν... κατὰ δὲ τὴν λέξιν). — Voir καθάπερ, καθόλου.

καταβλάπτειν, nuire à : οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα, ἀλλ' ἀναμιγνύναι · εἰ δὲ μή, καταβλάπτει ἄλληλα 18 a 7.

καταγελᾶν, se moquer de : ὀργίζονται δὲ τοῖς τε **καταγελῶσι** καὶ χλευάζουσιν καὶ σκώπτουσιν · ὑβρίζουσι γάρ 79 a 32.

καταγιγνώσκειν, condamner : ὃ συνέβη ἐπὶ Ἐργοφίλου · μᾶλλον γὰρ χαλεπαί-

νοντες ἢ Καλλισθένει ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ **καταγνῶναι** θάνατον 80 b 13.

καταδικάζειν, condamner : οὐ δίδωσιν μὲν οὖν, ὅτι ῥᾳδίως ἐπιορκοῦσιν, καὶ διότι ὁ μὲν ὀμόσας οὐκ ἀποδίδωσιν, τοὺς δὲ μὴ ὀμόσαντος οἴεται καταδικάσειν 77 a 13.

καταδουλοῦσθαι, réduire en esclavage : ὡς δ' οὐκ ἄδικον τοὺς ἀστυγείτονας καταδουλοῦσθαι καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν φροντίζουσιν 58 b 36 ; οἷον ὅτι τοὺς Ἕλληνας **κατεδουλώσαντο**, καὶ τοὺς πρὸς τὸν βάρβαρον ἀριστεύσαντας καὶ συμμαχεσαμένους ἠνδραποδίσαντο 96 a 18.

καταθαρρεῖν, faire preuve d'assurance : [οἱ δὲ δειλοὶ καὶ εὐλαβεῖς πρὸ τοῦ τὰς ἀνάγκας ἰδεῖν αὐτῶν **καταθαρροῦσιν** 77 a 7-8].

καταισχύνειν, déshonorer : καὶ ὅταν ἔχωσιν ἃ **καταισχύνουσιν** ἔργα καὶ πράγματα ἢ αὐτῶν ἢ προγόνων ἢ ἄλλων τινῶν πρὸς οὓς ὑπάρχει αὐτοῖς ἀγχιστεία τις 85 a 2.

κατακόπτειν, couper, détruire : καὶ ἡ Περικλέους [εἰκὼν]... εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις · τούς τε γὰρ πρίνους ὑφ' αὑτῶν **κατακόπτεσθαι**, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους 07 a 5.

κατακορής, ής, ές, excessif, employé à satiété : τὰ μὲν [ἐπίθετα] ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ **κατακορῆ**, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησίς ἐστιν [ὁ λόγος] 06 a 13.

κατακόρως, à satiété, à l'excès : πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι 08 a 33.

καταλαμβάνειν, saisir, trouver : τὰ δὲ κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας, τὰς δ' οὔπω **κατειλημμένας** 58 a 7.

καταλείβεσθαι, couler goutte à goutte : « ὅς τε πολὺ γλυκίων μέλιτος **καταλειβομένοιο** » 70 b 12 & 78 b 6 (= *Iliade*, XVIII, 109).

καταλείπειν, laisser, abandonner : μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι 54 a 33 ; περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι, ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι ἀνάγκη ἐπὶ τοῖς κριταῖς καταλείπειν 54 b 15 ; « νήπιος ὃς πατέρα κτείνας υἱοὺς **καταλείπει** » 76 a 7 & 95 a 18 (= Stasinos, *Cypria*) ; « ἢ ζῶντας ἕξειν ἢ τελευτήσαντας **καταλείψειν** » 10 a 17 (= Isocrate, *Panég.*, § 186) ; « τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δ' ἱκανὴν τὴν οἴκοι **κατέλιπον** » 10 a 4 (= Isocrate, *Panég.*, § 35).

καταλλαγή (ἡ), règlement, traité : « ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ **καταλλαγαί**, τότε καταλλάττεσθαι » 18 b 37. — Voir διαλλαγή, καταλλάττεσθαι.

καταλλακτικός, ή, όν, capable de réconcilier, d'esprit conciliant : οἷον εἰ εὐτυχῶν μὲν μέτριος, ἀτυχῶς δὲ μεγαλόψυχος, ἢ μείζων γιγνόμενος βελτίων καὶ **καταλλακτικώτερος** 67 b 17.

καταλλάττεσθαι, échanger, changer d'avis, se réconcilier : καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττεσθαι 67 a 20 ; ἐνθυμηματικῶς δέ · « εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι » 18 b 38* ; καὶ τοὺς μὴ δεινοὺς εἰπεῖν ἢ πρᾶξαι · ἢ γὰρ οὐκ ἐγχειροῦσιν ἐπεξιέναι, ἢ **καταλλάττονται**, ἢ οὐδὲν περαίνουσιν 73 a 6.

καταλύειν, détruire, renverser (un régime) : « Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν **καταλύσει** » 07 a 39 (oracle) ; πάλιν τὸ Πολυκράτους εἰς Θρασύ-

βουλον, ὅτι τριάκοντα τυράννους **κατέλυσε** · συντίθησι γάρ 01 a 36 ; οἷον εἴ τις λέγοι · « ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες · ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον » 01 b 11.

καταμαντεύεσθαι, conjecturer, augurer de : ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα **καταμαντευόμενοι** κρίνομεν 68 a 31. — Voir μαντεύεσθαι.

καταντικρύ, tout droit à l'opposé : παραβάλλειν δὲ ἢ ὅσα περὶ τὸ αὐτὸ ἄμφω εἶπον, ἢ μὴ καταντικρύ, ... ἢ ἐξ εἰρωνείας, ... ἢ ἐξ ἐρωτήσεως 19 b 35.

καταπαύεσθαι, cesser, faire cesser : ἐπὶ μικρῷ τε γὰρ διαλύονται καὶ ῥᾳδίως **καταπαύονται** [οἱ ξένοι καὶ αὐτουργοί] 73 a 9.

καταπέμπειν, envoyer : καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν, οἷον Διοπείθει τὰ παρὰ Βασιλέως τεθνεῶτι **κατεπέμφθη** 86 a 14.

καταπίνειν, avaler : καὶ ὡς Δημοκράτης εἴκασεν τοὺς ῥήτορας ταῖς τίτθαις αἳ τὸ ψώμισμα **καταπίνουσαι** τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν 07 a 9.

καταπλήττειν, étonner, frapper vivement : διὸ πολλοὶ **καταπλήττουσι** τοὺς ἀκροατὰς θορυβοῦντες 08 a 24.

καταπραΰνειν, adoucir, ramener au calme : δῆλον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις ἐκ τούτων τῶν τόπων λεκτέον 80 b 30.

κατασιωπᾶν, garder le silence : τὸ μὲν γάρ ἐστιν ἑλληνίζειν ἐπίστασθαι, τὸ δὲ μὴ ἀναγκάζεσθαι κατασιωπᾶν ἄν τι βούληται μεταδοῦναι τοῖς ἄλλοις, ὅπερ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν 13 b 7.

κατασκευάζειν, organiser, mettre en certaine disposition, construire (une argumentation) : ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην [= τὴν ῥητορικήν], μὴ καθάπερ ἂν δυνάμεις ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων 59 b 14 ; πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας 76 b 3 ; ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὑτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν 77 b 24 ; δῆλον δ' ὅτι δέοι ἂν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν 80 a 2 ; ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν 01 b 3 ; ἐξ ὧν δὲ δεῖ τοῦτο κατασκευάζειν, εἴρηνται οἱ τόποι πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους 19 b 18-19 ; δεῖ γὰρ σκοπεῖν εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, ἀναιροῦντα μὲν εἰ μὴ ὑπάρχει, **κατασκευάζοντα** δὲ εἰ ὑπάρχει 97 a 9 ; ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων · ἔκ τε τοῦ πρὸς ἑαυτὸν **κατασκευάσαι** εὖ τὸν ἀκροατὴν καὶ τὸν ἐναντίον φαύλως 19 b 11 ; ἐκ γὰρ τῶν αὐτῶν κἂν ἕτερόν τις κἂν ἑαυτὸν **κατασκευάσειε** τοιοῦτον 78 a 18 ; ἔντεχνα δὲ ὅσα διὰ τῆς μεθόδου καὶ δι' ἡμῶν **κατασκευασθῆναι** δυνατόν 55 b 38 ; καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ **κατεσκευάσθη** 68 a 16.

κατασκευαστικός, ή, όν, propre à la démonstration, à la confirmation : οὐδὲ τὰ λυτικὰ ἐνθυμήματος εἶδός τί ἐστιν [ἄλλο τῶν **κατασκευαστικῶν**] 03 a 23.

κατάσκοπος (ὁ), espion : ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν **κατασκόπων** 16 b 4.

κατάστασις (ἡ), retour au juste milieu, apaisement, restauration : ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς 80 a 9 ; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ **κατάστασιν** ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν... τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας **καταστάσεως** ποιητικὸν λυπηρόν 69 b 34-70 a 2.

καταστρέφειν, retourner, tresser, impliquer : 09 a 26, 35 : voir κατεστραμμένη λέξις.

καταφεύγειν, chercher refuge : ὥσπερ Ἀρχύτας ἔφη ταὐτὸν εἶναι διαιτητὴν καὶ βωμόν · ἐπ' ἄμφω γὰρ τὸ ἀδικούμενον **καταφεύγει** 12 a 15.

καταφρονεῖν, mépriser, dédaigner : ὅ τε γὰρ καταφρονῶν ὀλιγωρεῖ (ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν) καὶ ὁ ἐπηρεάζων φαίνεται καταφρονεῖν 78 b 15, 17 & 18 ; καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ μὲν ὡς ἡττόνων, οἱ δ' ὡς παρὰ ἡττόνων 79 b 8 ; καταφρονοῦσιν δὲ τῶν ἐναντίων · ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν 88 b 22-23 ; ἐπεὶ ὧν τις πολὺ **καταφρονεῖ**, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς 71 a 15 ; λόγον δὲ ἔχει τῶν θαυμαζόντων, ... καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης 84 a 27 ; ὧν γοῦν πολὺ **καταφρονοῦμεν**, οὐκ αἰσχυνόμεθα 80 a 21 ; **καταφρονοῦσιν** 78 b 17 (*supra*) ; ὅλως δὲ οὐκ αἰσχύνονται οὔθ' ὧν πολὺ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν 84 b 23 ; 88 b 22 (*supra*) ; διὸ πολλάκις καταφρονοῦσιν τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη 88 b 27 ; **καταφρονῶν** 78 b 15 (*supra*) ; καὶ πρὸς οὓς οὕτως ἔχουσιν ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς δόξαν, μὴ **καταφρονοῦντες** 81 b 20 ; καὶ τοῖς κακῶς λέγουσι καὶ **καταφρονοῦσι** περὶ ὧν αὐτοὶ μάλιστα σπουδάζουσιν [ὀργίζονται] 79 a 36 ; καὶ τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν [ὀργίζονται] · καὶ γὰρ ὑπὸ τούτων οἴονται **καταφρονεῖσθαι** 79 b 6 ; καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας [πρᾶοί εἰσιν] · δοκεῖ γὰρ σπουδάζεσθαι, ἀλλ' οὐ καταφρονεῖσθαι 80 a 27.

καταφρόνησις (ἡ), mépris : τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις 78 b 15 ; ἡ δ' ἀναισχυντία ὀλιγωρία καὶ καταφρόνησις · ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα 80 a 21 ; καταφρονοῦσιν δὲ τῶν ἐναντίων · ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν 88 b 23.

καταφρονητικός, ή, όν, enclin au mépris : **καταφρονητικὸν** γὰρ ἡ εἰρωνεία. Καὶ τοῖς τῶν ἄλλων εὐποιητικοῖς, ἐὰν μὴ καὶ αὐτῶν · καὶ γὰρ τοῦτο καταφρονητικόν 79 b 31-32 ; καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶν τοῖς προγόνοις αὐτῶν [ἡ εὐγένεια], διότι πόρρω ταὐτὰ μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ εὐαλαζόνευτα 90 b 19 ; ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας ἢ ζηλοῦσθαι, **καταφρονητικοὺς** εἶναι τούτων τε καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν 88 b 25.

καταψεύδεσθαι, mentir, faire un faux témoignage : καὶ ῥᾳδίως **καταψευδόμενοι** ὡς παυσόμενοι θᾶττον 77 a 4.

κατάψυξις (ἡ), refroidissement : καὶ γὰρ ὁ φόβος κατάψυξίς ἐστιν 89 b 32.

καταψύχειν, refroidir : ἐναντίως γὰρ διάκεινται τοῖς νέοις [οἱ πρεσβύτεροι] · **κατεψυγμένοι** γάρ εἰσιν, οἱ δὲ θερμοί 89 b 31.

κατειπεῖν, parler contre, dénoncer : ὥστε οἱ συνειδότες πεποιηκότι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν 82 b 7 ; καὶ ὅτι οὐ **κατεῖπε** τῶν κατασκόπων 16 b 4.

κατελθεῖν, revenir, rentrer : οἷον τόδε τὸ ἐνθύμημα · « εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως **κατέλθωμεν**, **κατελθόντες** δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα » 99 b 17*.

κατεστραμμένη λέξις, style périodique, implexe (*syn.*. : ἡ ἐν περιόδοις, *opp.* : ἡ εἰρομένη) : ἡ μὲν οὖν εἰρομένη τῆς λέξεώς ἐστιν ἥδε, κατεστραμμένη δὲ

ἡ ἐν περιόδοις 09 a 36; τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην καὶ τῷ συνδέσμῳ μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί, ἢ **κατεστραμμένην** καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις 09 a 26.

κατευορκεῖν, jurer la vérité, se tenir à son serment : « ἐπιορκήσαντας καὶ **κατευορκήσαντας** » 05 b 38 (Gorgias, *fr.* 82 B 15, D-K, t. II, p. 304).

κατέχειν, retenir, contenir, occuper : ὁ δὲ [δυνάμενος] θλίβειν καὶ κατέχειν παλαιστικός 61 b 24; Στησίχορος... εἶπεν αὐτοῖς λόγον ὡς ἵππος **κατεῖχε** λειμῶνα μόνος 93 b 13; « ὣς ἄρ' ἔφη · γρηὺς δὲ **κατέσχετο** χερσὶ πρόσωπα » 17 b 5 (= *Odyssée*, XIX, 361).

κατηγορεῖν, accuser (devant un tribunal) : πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν 54 a 6; ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι... ταῦτ' ἐστίν 77 b 17; ἄλλος [τόπος]... ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν 99 a 13; ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι 00 b 10; ἐκεῖ γὰρ αὐτῶν δεδωκέναι λόγον, ἢ δώσειν εἰ βούλεται κατηγορεῖν 16 a 35; ἄλλος [τόπος] ἐκ τοῦ διαβολῆς κατηγορεῖν 16 a 36; περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν **κατηγορεῖ**, ὁ δὲ ἀπολογεῖται 58 b 16; δεῖ οὖν ἀποροῦντα τοῦτο ποιεῖν ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι καὶ Ἰσοκράτης, καὶ γὰρ συμβουλεύων κατηγορεῖ 18 a 31; ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι **κατηγοροῦσι** καὶ ἀπολογοῦνται 96 a 21 & 23; ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ κατηγοροῦσι καὶ ἀπολογοῦνται · ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν 00 a 2-3; οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς 00 b 12; τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή, ὥσπερ ὁ Λεωδάμας **κατηγορῶν** ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν 64 a 19; ὅλως γὰρ βούλεται ὁ κατηγορῶν βελτίων εἶναι τοῦ φεύγοντος 98 a 12; οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου 00 a 11; ποιεῖ γὰρ φαίνεσθαι... ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται 01 b 7; διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν · ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν διὰ εἰκότων ἀποδείκνυσιν... ὁ δὲ κριτὴς οἴεται κ. τ. α. 02 b 25-26; δῆλον γὰρ ὡς τῷ μὲν **κατηγοροῦντι** πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον 68 b 29; ἀπολογουμένῳ μὲν γὰρ πρῶτον τὰ πρὸς διαβολήν, κατηγοροῦντι δ' ἐν τῷ ἐπιλόγῳ 15 a 30; πρῶτον μὲν οὖν περὶ νόμων εἴπωμεν, πῶς χρηστέον καὶ προτρέποντα καὶ ἀποτρέποντα καὶ **κατηγοροῦντα** καὶ ἀπολογούμενον 75 a 26; καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ καὶ ἐπαινοῦντα καὶ ψέγοντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον ὑπὲρ αὐτοῦ τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον 96 a 26; εἰ δὲ μή, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριστείδην κατηγοροῦντα τοῦτό τις ἂν εἴπειεν ἄλλος πρὸς ἀπιστίαν τοῦ κατηγόρου 98 a 10; 02 b 25 (*supra*); ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής, ὅς γ' ἐποίησε κελεύων ἐπιορκεῖν 16 a 30; ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ **κατηγοροῦντες** καὶ ἀπολογούμενοι οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται 59 a 18; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι 91 b 32; 96 a 21 (*supra*); ἵν' ἐκ τούτων λέγωμεν... κατηγοροῦντες δ' ἢ ἀπολογούμενοι εἴ τι δίκαιον ἢ ἄδικον 96 a 29; διὸ τὰ ἐλάχιστα μέγιστα, οἷον ὁ Μελανώπου Καλλίστρατος **κατηγόρει**, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς 74 b 26; οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, **κατηγορήσαντος** Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει 00 a 34.

κατηγορία (ἡ), accusation (devant un tribunal) ; catégorie : δίκης δὲ τὸ μὲν κατηγορία, τὸ δ' ἀπολογία · τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας 58 b 11 ; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τότε γίνεται ὅταν ἀντιλογία ᾖ · καὶ γὰρ ἥ κατηγορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ἡ συμβουλή 14 b 3 ; περὶ δὲ **κατηγορίας** καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν 68 b 1 ; καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον · ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσόνδε ἢ τοιόνδε ἢ πότε ἢ ποῦ 85 b 5.

κατήγορος (ὁ), accusateur : εἰ δὲ μή, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριστείδην κατηγοροῦντα τοῦτό τις ἂν εἴπειεν ἄλλος πρὸς ἀπιστίαν τοῦ **κατηγόρου** 98 a 11.

κατοικτείρειν, s'apitoyer, se prendre de pitié : ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτήν (sc. τὴν ἀλώπεκα), **κατοικτείραντα** ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς, τὴν δὲ οὐκ ἐᾶν 93 b 27 (Ésope).

κατόμνυσθαι, prêter serment : οὐ λαμβάνει δ', ὅτι ἀντὶ χρημάτων ὅρκος, καὶ ὅτι εἰ ἦν φαῦλος, **κατωμόσατο** ἄν 77 a 16.

κάτοπτρον (τὸ), miroir : καὶ ὡς Ἀλκιδάμας... τὴν Ὀδύσσειαν « καλὸν ἀνθρωπίνου βίου κάτοπτρον » 06 b 13.

κατορθοῦν, tenir droit, redresser, réussir : « συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν » 10 a 9 (= Isocrate, *Panég.*, § 48) ; ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ **κατορθοῦντες** ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι 79 a 19 ; καὶ ὧν ἢ κεκτημένων ἢ **κατορθούντων** ὄνειδος αὐτοῖς 88 a 18 ; καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ **κατορθώσειν** οἴωνται [θαρραλέοι εἰσίν] 83 b 9 ; καὶ πρὸς ἃ εὐφυεῖς εἰσιν καὶ ἔμπειροι · ῥᾷον γὰρ **κατορθῶσαι** οἴονται 63 a 36 ; εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους **κατώρθωσαν** 63 a 33 ; αὐτοὶ δ' οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἂν πολλὰ **κατωρθωκέναι** οἴωνται καὶ μὴ πεπονθέναι 83 a 26 ; καὶ εἰ πολλάκις τὸ αὐτὸ **κατώρθωκεν** · μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης, ἀλλὰ δι' αὐτὸν ἂν δόξειεν 68 a 14.

κατόρθωσις (ἡ), réussite, succès : πρᾶοί εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημερίᾳ, ἐν **κατορθώσει**, κ. τ. α. 80 b 4.

κάτωθεν, en bas, d'en bas : ἢ εἴ τις φαίη ἄγκυραν καὶ κρεμάθραν τὸ αὐτὸ εἶναι · ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν καὶ κάτωθεν 12 a 17.

Καύνιος ἔρως (ὁ), amour semblable à celui de Caunos (amour malheureux) : ἢ κατὰ μέρος ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες 02 b 3.

κἀχθές, hier (= καὶ ἐχθές) : 73 b 12 & 75 b 1 : voir ἐχθές.

καχύποπτος, ος, ον, soupçonneux, défiant : ἔτι δὲ **καχύποπτοί** εἰσιν [οἱ πρεσβύτεροι] διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ δι' ἐμπειρίαν 89 b 22.

κε, κεν, le cas échéant, éventuellement : « ἦ κεν γηθήσαι Πρίαμος » 62 b 36 (= *Iliade*, I, 255) ; « κάδ' δὲ κεν εὐχωλὴν Πριάμῳ » 63 a 6 (= *Iliade*, II, 176) ; « αἰδώς κέν σε οὐκ εἶχεν ὄμματ', ἀλλ' ἔλεγες περὶ τῶ δικαίω » 67 a 13 (Sappho).

κείρειν, tondre, couper les cheveux : καὶ οἷον ἐν τῷ Ἐπιταφίῳ, διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων **κείρασθαι** τὴν Ἑλλάδα, ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας 11 a 32 (*cf.* Lysias, *Oraison funèbre*, § 60).

κεῖσθαι, être établi, être en usage (coutume, loi) : καὶ ὅτι οὐδὲν διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαι [τὸν νόμον] 75 b 20 ; παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου **κειμένην** 65 b 35 ; ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς

κείμενοι ὦσιν, ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον 76 b 18 ; τούτων δὲ **κειμένων**, ἀνάγκη τάς τε λήψεις τῶν ἄγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς 62 a 34 ; μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς **κειμένους** νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς 54 a 32.

κελεύειν, ordonner, inviter à : **κελεύει** δὲ τὸ αὑτῆς ἑκάστη [τῶν ἐπιστημῶν] 64 b 9 ; καὶ ὡς ὁ νόμος κελεύει 66 b 12 ; οὕτως ἔχουσιν ὡς ὁ νόμος κέλευει 66 b 15 ; καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ, οἷον ἐνίοτε ὁ μὲν κελεύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον 75 b 9 ; καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ κελεύει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν 97 b 11 ; ἐν δὲ τοῖς δημηγορικοῖς ἢ ὡς οὐκ ἔσται ἀμφισβητήσειεν ἄν τις, ἢ ὡς ἔσται μὲν ἃ κελεύει, ἀλλ' οὐ δίκαια ἢ οὐκ ὠφέλιμα ἢ οὐ τηλικαῦτα 17 b 35 ; ἵνα γὰρ εὐμαθὴς ῇ, **κελεύουσι** πολλάκις εἰπεῖν 19 b 30 ; ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής, ὅς γ' ἐποίησε **κελεύων** ἐπιορκεῖν 16 a 30 ; καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι **ἐκέλευεν** μὴ πολλὰς ποιήσωσιν τὰς συνδρομάς 11 a 28 ; ἄλλος [τόπος] ἐκ τῶν πρὸς ἄλληλα · εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, καὶ εἰ **κελεῦσαι**, καὶ τὸ πεποιηκέναι 97 a 25 ; καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν **ἐκέλευσε**, τὴν λήμην του Πειραιέως 11 a 15.

κενολογεῖν, parler pour ne rien dire, dire des riens : τὸ δὲ παρὰ ταῦτα ἔτι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς κενολογεῖν ἐστιν 93 a 17.

κενός, ή, όν, vide, vain, futile : δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι · εἰ δὲ μή, γίνεται **κενὸν** καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ, ἐπούρωσιν ὀνομάζων καὶ ἀποπλάνησιν καὶ ὄζους 14 b 17.

κεραμεύς (ὁ), potier : καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας, ἐὰν μὴ παρενοχλῶσι μηδ' ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος · γίγνεται γὰρ οὕτω τὸ « **κεραμεὺς κεραμεῖ** » 81 b 16* ; ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιστα τούτοις φθονεῖν, διόπερ εἴρηται « καὶ κεραμεὺς κεραμεῖ » 88 a 17* (prov.).

κερδαίνειν, gagner, faire du profit : ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι 82 b 5 ; καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων, ὅθεν καὶ ἡ παροιμία τὸ ἀπὸ νεκροῦ φέρειν · ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας 83 b 22.

κέρδος (τὸ), gain, profit, avantage : καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον 72 b 12 ; ὥστε οὔτ' ἐπιθυμητικοὶ οὔτε πρακτικοὶ [οἱ πρεσβύτεροι] κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος 90 a 14 ; « τούτῳ μὲν γὰρ περίεστι τὸ κέρδος, ἐμοὶ δὲ τὸ δίκαιον » 18 a 21 ; ἢ δοῦναι μέν, ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ **κέρδους** αὐτοῖς ἢ ὧν κήδονται 72 a 8 ; καὶ τοὺς αἰσχυντηλοὺς [ἀδικοῦσι] · οὐ γὰρ μαχητικοὶ περὶ κέρδους 72 b 31 ; διὸ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι · αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι καὶ δουλεύουσι τῷ **κέρδει** 90 a 15 ; καὶ οἷς τὰ μὲν **κέρδη** φανερὰ ἢ μεγάλα ἢ ἔγγυς, αἱ δὲ ζημίαι μικραὶ ἢ ἀφανεῖς ἢ πόρρω 72 a 36.

κεφάλαιον (τὸ), résumé, point capital : καὶ τοῦτ' ἐστὶν ἐν **κεφαλαίῳ** εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ μόρια αὐτῆς 60 b 6 ; καὶ ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος πλούτου ἐστίν 91 a 13 ; ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν **κεφάλαια** λέγειν 01 a 9.

κεφαλαιωδῶς, sommairement, par têtes de chapitres : οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν

15 b 8 ; ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις, ἐνταῦθα δὲ δι' ὧν δέδεικται, κεφαλαιωδῶς 19 b 32.

κεφαλή (ἡ), tête : ἵνα ἔχῃ ὥσπερ σῶμα **κεφαλήν** 15 b 9 : voir κεφαλαιωδῶς.

κεφαλίς (ἡ), couvre-chef, chapeau (ou partie supérieure d'une chaussure?) : εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλίς 92 a 29-31.

κήδεσθαι, prendre soin, avoir souci de : ἢ δοῦναι μέν, ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους αὐτοῖς ἢ ὧν **κήδονται** 72 a 9 ; καὶ πρὸς οὓς ἔχουσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς προγόνους ἢ ὧν κήδονται 73 a 2 ; καὶ [φιλοῦσιν] τοὺς πεποιηκότας εὖ φιλοῦσιν ἢ αὐτοὺς ἢ ὧν κήδονται 81 a 11 ; παράδειγμα τὸ ἐκ τῆς 'Αντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ **ἐκήδετο** ἢ ἀνδρὸς ἢ τέκνων 17 a 30.

κῆρυξ (ὁ), héraut : ὥσπερ οὖν τῶν **κηρύκων** προλαμβάνουσι τὰ παιδία τὸ « τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος ; » — « Κλέωνα » 08 b 24.

Κηφισόδοτος (ὁ), Céphisodote : καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν 'Ολυνθιακὸν πόλεμον, ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἄγχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι 11 a 6 ; καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει μύλωνας ποικίλους 11 a 23 ; καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευεν μὴ πολλὰς ποιήσωσιν τὰς συνδρομάς 11 a 28 ; καὶ ὡς 'Αντισθένης **Κηφισόδοτον** τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει 07 a 10.

κίβδηλος, ος, ον, falsifié, mensonger, faux : καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ **κίβδηλον** δίκαιον καὶ τὸ ἀληθές 75 b 6.

κιθαρῳδός (ὁ), citharède, chanteur qui s'accompagne sur la cithare : οἷον τὸ Θεοδώρου εἰς Νίκωνα τὸν **κιθαρῳδόν** · « Θρᾶττ' εἶ σύ » 12 a 35.

Κίμων (ὁ), Cimon : ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη, ... τὰ δὲ στάσιμα εἰς ἀβελτερίαν καὶ νωθρότητα, οἷον οἱ ἀπὸ **Κίμωνος** καὶ Περικλέους καὶ Σωκράτους 90 b 30.

κινδυνεύειν, être en danger, affronter un risque : οἷον παρακαλοῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ θυσαμένους 95 a 13 ; καὶ γὰρ ὁ **κινδυνεύων** ἐπιθυμεῖ καὶ ὁ λυπούμενος 85 a 24 ; **κινδυνεύοντος** γὰρ αὐτοῦ ἱκετεύει ἡ εἰκών, τὸ ἄψυχον δὴ ἔμψυχον 11 b 9.

κινδυνευτικός, ή, όν, enclin à s'exposer au danger : εἰ γὰρ οὗ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν 67 b 4.

κίνδυνος (ὁ), danger, risque : καὶ ὡς οὗτος ὁ κίνδυνος κρείττων ὁ ἐν τοῖς δικασταῖς · τοῖς μὲν γὰρ πιστεύει, τῷ δ' οὔ 77 a 14 ; τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός 82 a 31 ; καὶ τούτων οἱ μὲν [μάρτυρες] μετέχοντες τοῦ **κινδύνου**, οἱ δ' ἐκτός 75 b 28 ; καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι ψεύδεσθαι 76 a 12 ; καὶ [τῶν ἡδέων] αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν **κινδύνων** · πάντα γὰρ θαυμαστὰ ταῦτα 71 b 11 ; ἀνδρεία δὲ [ἀρετή] δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς **κινδύνοις**, καὶ ὡς ὁ νόμος κελεύει 66 b 12 ; ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι 82 b 5 ; ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα 83 a 30 ; [δεήσεις δέ εἰσιν] καὶ αἱ [ἐπιθυμίαι] ἐν ταῖς τοῦ σώματος κακώσεσιν καὶ ἐν κινδύνοις 85 a 24 ; 11 b 5 (*infra*) ; καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ... ὁ δὲ δειλὸς περὶ τοὺς **κινδύνους** 68 b 18 ; καὶ τὸ φάναι παρακαλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά 11 b 5*.

κινεῖν, mettre en mouvement, mouvoir : ἰσχὺς δ' ἐστὶ μὲν δύναμις τοῦ κινεῖν

ἕτερον ὡς βούλεται, ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα 65 b 15-16 ; ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός 61 b 23 ; ἤρξαντο μὲν οὖν **κινῆσαι** τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί 04 a 20 ; **κινούμενα** γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια κίνησις 12 a 10.

κίνησις (ἡ), mouvement : ἄλλος [τόπος] ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς Τοπικοῖς ποία κίνησις ἡ ψυχή · ἥδε γὰρ ἢ ἥδε 99 a 8 ; κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια κίνησις 12 a 10 ; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν **κίνησίν** τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν 69 b 33 ; ἐκκρούουσι γὰρ αἱ **κινήσεις** ἀλλήλας αἱ ἅμα, καὶ ἢ ἀφανίζουσιν ἢ ἀσθενεῖς ποιοῦσιν 18 a 14 ; ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς **κινήσεις** διὰ τὴν ὑπερβολὴν 61 b 20.

κλάδος (ὁ), rameau, branche arrachée : (διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται) · ... καὶ οὐ « **κλάδοις** », ἀλλὰ « τοῖς τῆς ὕλης κλάδοις » 06 a 27-28.

κλαίειν, pleurer : καὶ ἡ Περικλέους εἰς Σαμίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχεται μέν, **κλαίοντα** δέ 07 a 4.

κλεινός, ή, όν, glorieux, illustre : « Οἰνεὺς δ' ἄρ' οὐχὶ **κλεινὸν** ἀπολέσας γόνον ; » 97 b 26 (*fr. tragic. adespot.*).

Κλεοφῶν, Cléophon : καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία 75 b 31 ; εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν · ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν « πότνια συκῆ » 08 a 15.

κλέπτειν, voler, dérober, dissimuler : « ἕτεροι ἥξουσι πένητες, οἵ ὑμῖν ἀναλώσουσι τὰ λοιπὰ **κλέπτοντες** » 94 a 1 (Ésope) ; οἷον λαβεῖν μέν, ἀλλ' οὐ **κλέψαι**... ἢ κλέψαι μέν, ἀλλ' οὐχ ἱεροσυλῆσαι 74 a 2 & 4 ; οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, **ἔκλεψεν**, ἀλλ' εἰ ἐπὶ βλάβῃ 74 a 15 ; ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ **κλέψας** κἂν ὁτιοῦν ἀδικήσειεν 74 b 29 ; « οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας » 13 b 23 ; διὸ ἔξεστι λέγειν τὸν ἀδικήσαντα μὲν ἁμαρτάνειν, τὸν δ' ἁμαρτάνοντα ἀδικῆσαι, καὶ τὸν **κλέψαντα** καὶ λαβεῖν καὶ πορίσασθαι 05 a 27 ; **κλέπτεται** δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων συντιθῇ 04 b 24 ; ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι · οὕτω γὰρ κλέπτεται ὁ ἀκροατής 08 b 5 ; ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν · οὐ **κέκλεπται** οὖν 05 a 30.

κλέπτης (ὁ), voleur : ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος · πονηρὸς γάρ · ἀσυλλόγιστον γὰρ δὴ τοῦτο · οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός 01 b 12-14* ; τὸν γὰρ **κλέπτην** μισεῖ καὶ τὸν συκοφάντην ἅπας 82 a 6.

Κλέων, Cléon : ... « ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ ἀξιῶν » 07 a 27 ; ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι, οἷον **Κλέωνι**, ἀλλ' οὐκ ἀνθρώπῳ 78 a 34 ; ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία τὸ « τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος ; » — « **Κλέωνα** » 08 b 26.

κλῆρος (ὁ), tirage au sort : ἔστιν δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ **κλήρῳ** διανέμονται τὰς ἀρχάς 65 b 32.

κληροῦν, désigner par tirage au sort : ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς **κληροίη** μὴ οἳ δύνανται ἀγωνίζεσθαι, ἀλλ' οἳ ἂν λάχωσιν, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν **κληρώσειεν**, ὡς οὐ δέον τὸν ἐπιστάμενον, ἀλλὰ τὸν λαχόντα 93 b 6-7.

κληρουχία (ἡ), clérouquie (établissement de colons *clérouques*) : ὥσπερ Κυδίας περὶ τῆς Σάμου **κληρουχίας** ἐδημηγόρησεν 84 b 32.

κληρωτός, ή, όν, tiré au sort, désigné par le sort : παραβολὴ δὲ τὰ Σωκρατικά, οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ **κληρωτοὺς** ἄρχειν 93 b 5.

κλοπή (ἡ), vol, larcin : διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία 74 a 7 ; ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή 74 a 13.

κοινῇ (adv.), en commun, en public, au regard de la communauté : 58 b 10 ; 60 b 4 ; 61 a 8 ; 62 b 28 ; 92 a 1 ; 10 a 15 (Isocrate) ; 14 a 29. — Voir κοινός.

κοινός, ή, όν, commun, public ; **κοινῇ** (adv.), en commun, en public ; **τὰ κοινά**, les notions communes : νόμος δ' ἐστὶν ὁ μὲν ἴδιος, ὁ δὲ κοινός 68 b 7 ; καὶ ὅτι τὸ μὲν ἐπιεικὲς ἀεὶ μένει καὶ οὐδέποτε μεταβάλλει, οὐδ' ὁ κοινὸς [νόμος] (κατὰ φύσιν γάρ ἐστιν), οἱ δὲ γεγραμμένοι πολλάκις 75 a 32 ; ἄλλος [τόπος] κοινὸς καὶ τοῖς ἀμφισβητοῦσιν καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα 99 b 33 ; μόνος γὰρ καλεῖται « κοινὸς Ἑρμῆς » 01 a 22 ; κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν 16 a 37 ; τοῦτό γε **κοινόν** ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς 55 b 4 ; ἔστι δὲ τοῦτο κοινὸν καὶ κατὰ τῶν ἄλλων 64 b 14 ; ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβουλαί 67 b 36 ; φύσει κοινὸν δίκαιον καὶ ἄδικον 73 b 7 ; ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνούντων ἃ δεῖ πράττειν καὶ μὴ πράττειν 73 b 19 ; ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς τὸ κοινόν 73 b 23 ; ὁ δὲ μὴ στρατευόμενος [ἀδικεῖ] τὸ κοινόν 73 b 24 ; καὶ τῶν μὲν ὄντων πρὸς τὸ κοινόν, τῶν δὲ πρὸς ἄλλον καὶ πρὸς ἄλλους 73 b 26 ; ὥστ' ἀνάγκη πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοινὸν ἢ πρὸς τὸ ἴδιον εἶναι 73 b 34 ; ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων 91 b 30 ; οἷον ψόφῳ καὶ χρώματι τὸ μὲν ἰδὼν οὐ κοινόν, τὸ δ' αἰσθόμενος κοινόν 07 b 20-21 ; τὸ δ' εὐκαίρως ἢ μὴ εὐκαίρως χρῆσθαι κοινὸν ἁπάντων τῶν εἰδῶν ἐστιν 08 b 1 ; οὐθὲν γὰρ κοινὸν ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ 14 b 28 *var.* ; ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ 15 b 10 ; κοινὸν δὲ τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ 16 b 9 ; καὶ τὸ μετέχειν τῆς **κοινῆς** εἰρήνης ποιεῖν τὸ προσταττόμενον 99 b 13 ; φανερὸν γὰρ ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι, τῷ **κοινῷ** [νόμῳ] χρηστέον καὶ τοῖς ἐπιεικεστέροις καὶ δικαιοτέροις 75 a 28 ; ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες καὶ οἱ **κοινῇ** δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν 58 b 10 ; σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν 60 b 4 ; ὁμοίως δὲ καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας 61 a 8 ; καὶ τὸ δίκαιον · συμφέρον γάρ τι κοινῇ ἐστιν 62 b 28 ; τούτων δὲ διορισθέντων περὶ τῶν ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν 92 a 1 ; « ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας » 10 a 15 (= Isocrate, *Panég.*, § 181) ; περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος 14 a 29 ; εὐτεκνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα · ἔστιν δὲ τῷ **κοινῷ** μέν... ἰδίᾳ δέ... 60 b 39 ; λέγω δὲ ἴδιον μὲν [νόμον] καθ' ὃν γεγραμμένον πολιτεύονται, **κοινὸν** δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ 68 b 8 ; λέγω δὲ νόμον τὸν μὲν ἴδιον, τὸν δὲ κοινόν · ἴδιον μέν..., κοινὸν δὲ τὸν κατὰ φύσιν 73 b 4 & 6 ; « καὶ τὴν τοῖς ἄλλοις **κοινὴν** εἰρήνην νομιζόντων τοῖς αὑτῶν ἰδίοις πόλεμον » 10 b 30 (*cf.* Isocrate, *Philippe* ; § 73) ; οὗτοι δ' εἰσὶν οἱ **κοινοὶ** [τόποι] περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει, οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος 58 a 12 ; εἰσὶ δ' αἱ **κοιναὶ** πίστεις δύο τῷ γένει, παράδειγμα καὶ ἐνθύμημα · ἡ γὰρ γνώμη μέρος ἐνθυμήματός ἐστιν 93 a 24 ; ἀμφότεραι γὰρ [ἡ ῥητορικὴ καὶ ἡ διαλεκτική] περὶ τοιούτων τινῶν εἰσιν ἃ **κοινὰ** τρόπον τινὰ ἁπάντων ἐστὶ γνωρίζειν καὶ οὐδεμιᾶς

ἐπιστήμης ἀφωρισμένης 54 a 2 ; ποῖα μὲν οὖν δυνατὰ φαίνεται καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον ῥηθήσεται · κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων 72 a 10 ; διὰ τὸ γὰρ εἶναι κοινά, ὡς ὁμολογούντων πάντων [sc. τὰς γνώμας], ὀρθῶς ἔχειν δοκοῦσιν 95 a 11 ; οἱ μὲν γὰρ τὰ κοινὰ καὶ καθόλου λέγουσιν, οἱ δ' ἐξ ὧν ἴσασι, καὶ τὰ ἐγγύς 95 b 30 ; ὅσῳ ἐγγύτερον, τοσούτῳ οἰκειότερα καὶ ἧττον κοινά · λέγω δὲ κοινὰ μὲν τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος καὶ ὅτι τῶν ἡμιθέων, κ. τ. α. ..., ἴδια δὲ... 96 b 10-11 ; τὰ δὲ ἄλλα εἴδη οἷς χρῶνται, ἰατρεύματα καὶ κοινά 15 a 26 ; πρὸς δὲ τούτοις σκοπεῖν εἰ ἐναντία ἐστί τινι τῶν γεγραμμένων νόμων ἢ τῶν **κοινῶν** 76 b 25 ; λοιπὸν δὲ περὶ τῶν **κοινῶν** πίστεων ἅπασιν εἰπεῖν, ἐπεί περ εἴρηται περὶ τῶν ἰδίων · εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει 93 a 23-24 (voir *supra*) ; ἀνάγκη διὰ τῶν **κοινῶν** ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως 55 a 27 ; ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων, ἐκ δὲ τῶν κοινῶν ἐλάττω 58 a 28 ; ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς 68 a 26 ; λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν 91 b 27 ; ἔστιν δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεκτικοῖς, ..., τὸ δὲ γεγονός..., τὸ δὲ δυνατὸν καὶ ἐσόμενον... 92 a 4 ; χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ **κοιναῖς** γνώμαις, ἐὰν ὦσι χρήσιμοι · διὰ τὸ γὰρ εἶναι κοινά, ὡς ὁμολογούντων πάντων, ὀρθῶς ἔχειν δοκοῦσιν 95 a 11* (voir *supra*) ; λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς **κοινοὺς** ὁμοίως πάντων 58 a 32 ; ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ὅτι **κοινότερον** 54 b 29. — Opp. ἴδιος.

κοινωνεῖν, être, avoir ou agir en communauté : ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν **κοινωνούντων** ἃ δεῖ πράττειν καὶ μὴ πράττειν 73 b 20.

κοινωνικός, ή, όν, disposé à mettre en commun, sociable : καὶ τὸ **κοινωνικὸν** φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν · μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς 01 a 21.

κοινωνία (ἡ), communauté, communication : ἔστι γὰρ ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη 73 b 8.

κοινωνός, ός, όν, associé, compagnon, complice : κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ **κοινωνοί** 72 a 16.

κολάζειν, châtier, punir : σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως · τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον **κολάζομεν**, πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι παυόμεθα θυμούμενοι 80 a 18-19 ; καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὐτὸν μεγάλως **ἐκόλασεν** · ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι 74 b 34-35 ; **κολάζεσθαι** 80 a 19 (*supra*) ; καὶ τὸ ἐνταῦθα οὗ **κολάζονται** οἱ ἀδικοῦντες, ὅπερ ποιοῦσιν οἱ ψευδομαρτυροῦντες 75 a 11 ; διὸ δεῖ τῷ λόγῳ προκολάζειν · ἀγανακτοῦσιν γὰρ ἧττον **κολαζόμενοι** καὶ οἱ δοῦλοι 80 b 19 ; **κολασθῆναι** 74 b 35 (*supra*).

κολακεία (ἡ), flatterie, adulation : τὸ δ' ἐπαινεῖν παρόντας **κολακείας**, καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν, τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα, καὶ τἆλλα πάντα ὅσα τοιαῦτα · κολακείας γὰρ σημεῖα 83 b 30-32.

κολακεύειν, flatter, aduler : καὶ τὸ **κολακεύεσθαι** καὶ ὁ κόλαξ ἡδύς 71 a 22. — Voir κόλαξ.

κόλαξ (ὁ), flatteur : καὶ τὸ κολακεύεσθαι καὶ ὁ κόλαξ ἡδύς · φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστὶν 71 a 23-24.

κόλασις (ἡ), châtiment, punition : διαφέρει δὲ τιμωρία καὶ κόλασις · ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ 69 b 12-13 ; ἡ γὰρ δίκη καὶ κόλασις ἴασις 74 b 33 ; σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν **κολάσεως** 80 a 17 : voir κολάζειν.

κολλᾶν, coller (appliquer une ventouse) : οἷον ἐν τῷ αἰνίγματι τῷ εὐδοκιμοῦντι · « ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι **κολλήσαντα** » 05 b 1 (Cléoboulina? énigme : *fr.* 1).

κόλλησις (ἡ), collage, soudure (application de ventouses) : **κόλλησιν** τοίνυν εἶπεν τὴν τῆς σικύας προσβολήν 05 b 3.

κολοβός, ή, όν, tronqué, écourté, incomplet : οὗτος δὲ [ὁ παιὰν] τελευτὴν ποιεῖ · ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι ποιεῖ **κολοβόν** 09 a 19.

κολοιός (ὁ), choucas [et non pas *geai* = κίττα] : ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ γὰρ **κολοιὸς παρὰ κολοιόν**, καὶ ὅσα ἄλλα τοιαῦτα 71 b 17* (prov.).

κομᾶν, porter les cheveux longs : οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν · ἐλευθέρου γὰρ σημεῖον · οὐ γάρ ἐστιν **κομῶντα** ῥᾴδιον οὐδὲν ποιεῖν ἔργον θητικόν 67 a 29-30 ; ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι 13 a 10.

κόνις (ἡ), poussière : « οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψαμαθός τε κόνις τε » 13 a 32 (= *Iliade*, IX, 385).

Κόνων (ὁ), Conon : Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπών, ὡς Εὐαγόραν ἦλθεν 99 a 5 ; καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει 00 b 21.

Κόραξ (ὁ), Corax : ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ **Κόρακος** τέχνη συγκειμένη 02 a 18.

κορδακικός, ή, όν, qui convient à la danse du *cordax*, propre à cette danse : ὁ δὲ τροχαῖος **κορδακικώτερος** · δηλοῖ δὲ τὰ τετράμετρα · ἔστι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα 08 b 36.

Κορίνθιος, α, ον, Corinthien : καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ **Κορινθίῳ** [μάρτυρι ἐχρήσαντο] πρὸς Σιγειεῖς 75 b 31 ; διὸ λελοιδορῆσθαι ὑπέλαβον **Κορίνθιοι** ὑπὸ Σιμωνίδου ποιήσαντος « **Κορινθίοις** δ' οὐ μέμφεται τὸ Ἴλιον » 63 a 15-16.

κοσμεῖν, parer, orner (le discours) : καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφοράν 05 a 14 ; οὕτω καὶ τῶν ὀνομάτων ἀφείκασιν ὅσα παρὰ τὴν διαλεκτόν ἐστιν, οἷς δ' οἱ πρῶτοι **ἐκόσμουν** 04 a 34 ; μὴ ταπεινὴν δὲ ἀλλὰ **κεκοσμημένην** [τὴν λέξιν] τἆλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ Ποιητικῆς 04 b 7.

κόσμιος, α, ον, honnête, modéré, modeste : καὶ ὡς ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ **κοσμίους** οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν 98 a 24.

κόσμος (ὁ), ornement (de style) : τὸ δ' ἀνάλογόν ἐστιν ἐὰν μήτε... μήτε... μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος 08 a 14 ; τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ **κόσμου** χάριν, ὡς αὐτοκάβδαλα φαίνεται ἐὰν μὴ ἔχῃ 15 b 39.

κότος (ὁ), ressentiment, rancune : « ἀλλά τε καὶ μετόπισθεν ἔχει **κότον** » 79 a 7 (= *Iliade*, I, 82).

κοττάβιον (τὸ), prix du vainqueur au jeu du cottabe : ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι **κοττάβια** ἀνδραποδισαμένῳ 73 a 23.

κούρη (ἡ), fille : « **κούρην** δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο » 13 a 33 (= *Iliade*, IX, 388).

κρᾶσις (ἡ), mélange, composition (d'un mélange) : ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ χρώμασιν ἢ **κράσεσιν**, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον 73 a 31.

κρατεῖν, avoir l'avantage, l'emporter : οἴονται δὲ ὧν **κεκρατήκασιν** ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων 83 a 33 ; ἄλλως δὲ μὴ ἐγχειρεῖν · ἐὰν γὰρ ἐνστῇ, **κεκρατῆσθαι** δοκεῖ 19 a 17.

Κράτης (ὁ), Cratès : 18 a 24 *var.*

κράτιστος, η, ον, le meilleur, le plus autorisé : καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ **κράτιστοι** ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν 64 b 13.

Κράτυλος (ὁ), Cratyle : καὶ ὡς περὶ **Κρατύλου** Αἰσχίνης, ὅτι διασίζων, τοῖν χεροῖν διασείων 17 b 1.

κραυγή (ἡ), cri : οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις « **κραυγὴν** Καλλιόπης » τὴν ποίησιν 05 a 33.

κρείττων, meilleur, plus fort, préférable, supérieur, ayant plus d'autorité ou plus de poids : ὡς οὗτος ὁ κίνδυνος κρείττων ὁ ἐν τοῖς δικασταῖς 77 a 14 ; **κρεῖττον** γὰρ ἂν ἕνεκά του φαῦλον εἶναι ἢ μηδενός 77 a 16 ; πρὸς τὴν γυναῖκα τὴν 'Ιέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν 91 a 10 ; καὶ τὸν ἥττω τῷ **κρείττονι** ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ 87 a 31 ; εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ μουσικὸς τῷ δικαίῳ 87 b 1 ; καὶ τὸ τὸν ἥττω δὲ λόγον **κρείττω** ποιεῖν τοῦτ' ἔστιν 02 a 24 ; ταύτην τε δὴ ἔχει μίαν χρῆσιν τὸ γνωμολογεῖν, καὶ ἑτέραν **κρείττω** 95 b 12 ; καὶ οὓς φοβοῦνται οἱ **κρείττους** αὐτῶν, διὰ ταὐτό 82 b 16 ; ἢ ἂν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω 83 a 25 ; καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι 83 a 33 ; ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι 92 a 27 ; χρήσιμος δέ ἐστιν ἡ ῥητορικὴ διά τε τὸ φύσει εἶναι **κρείττω** τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων 55 a 21 ; οἴονται δὲ ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν **κρειττόνων** ἢ τῶν ὁμοίων 83 a 34 ; καὶ οἱ τοῖς **κρείττοσιν** αὐτῶν φοβεροί 82 b 14 ; καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τοὺς **κρείττους** εἰρηνεύηται, πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν 59 b 39 ; πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους 60 a 17 ; μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτούς, εἰ καὶ τοὺς κρείττους 82 b 16 ; καὶ οἱ τοὺς κρείττους αὐτῶν ἀνῃρηκότες 82 b 17.

κρεμάθρα (ἡ), corbeille suspendue (?), croc : ἢ εἴ τις φαίη ἄγκυραν καὶ **κρεμάθραν** τὸ αὐτὸ εἶναι · ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν καὶ κάτωθεν 12 a 15.

κρέμασθαι, être en suspens : ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστιν τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ ἦν ὁ λόγος καὶ μὴ **κρέμηται** ἡ διάνοια 15 a 13.

Κρέων (ὁ), Créon : ὅθεν εἴρηται τὰ ἐν τῇ Σοφοκλέους 'Αντιγόνῃ · ἀπολογεῖται γὰρ ὅτι ἔθαψε παρὰ τὸν τοῦ **Κρέοντος** νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον 75 a 34.

Κρής (ὁ), Crétois : ἐκεῖ δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη 'Επιμενίδης ὁ Κρής · ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων μὲν ἀδήλων δέ 18 a 24.

κρίνειν, juger (au tribunal), décider : ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν καὶ τοῦτ' ἐστὶ τὸ γνώμῃ τῇ ἀρίστῃ 76 a 18 ; διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους 89 b 2 ; ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν, οἷον τοῖς κυρίοις, ἢ οἷς μὴ καλὸν ἐναντία κρίνειν, οἷον θεοῖς ἢ πατρὶ ἢ διδασκάλοις 98 b 25-26 ; « μέλλετε δὲ κρίνειν οὐ περὶ 'Ισοκρά-

τους, ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν » 99 b 10 (*cf. Sur l'Échange*, § 173) ; οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων · τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν 02 b 32-33 ; ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ οἰκείων **κρίνει** 54 b 30 ; ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι **κρίνομεν** 68 a 31 ; ὁ δ' ἐκκλησιαστὴς καὶ δικαστὴς ἤδη περὶ παρόντων καὶ ἀφωρισμένων **κρίνουσιν** 54 b 8 ; καὶ πρὸς χάριν ἀκροώμενοι διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ' οὐ κρίνουσιν 55 a 1 ; καὶ ὃ οἱ ἀμφισβητοῦντες ἢ οἱ ἐχθροὶ ἢ οἱ κρίνοντες ἢ οὓς οὗτοι κρίνουσιν 65 a 2-3 ; καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι καὶ ἡ δίκη κρίσις ἐστὶν 77 b 21 ; δεύτερον δέ, ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν · κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσι 87 b 9 ; ἔστιν δ' ὁ μὲν περὶ τῶν μελλόντων **κρίνων** οἷον ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον ὁ δικαστής, ὁ δὲ περὶ τῆς δυνάμεως ὁ θεωρός 58 b 4 ; ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων 91 b 17 ; εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία, ὥστε τὸ μὲν κύριον καὶ τὸ **κρῖνον** τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 31 ; **κρίνοντες** 65 a 2 (*supra*) ; δεῖ δὲ ἔχειν ἐπαναφέρειν ἐπὶ τοιαῦτα γεγενημένα παραδείγματα ἃ ἴσασιν οἱ κρίνοντες 77 a 6 ; οὔτε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον [= οἱ ἀκμάζοντες] 90 a 32 ; ἢ σοφοὶ ἢ πάντες ἢ οἱ πλεῖστοι, ἢ ἀγαθοί, καὶ αὐτοὶ οἱ κρίνοντες ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες 98 b 24* ; ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι, πείθονται πάντες 03 b 11 ; καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς **κρίνουσι** 54 a 33 ; ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων, ἀλλ' ἐκ τῶν ὡρισμένων λεκτέον, οἷον ἢ τοῖς κρίνουσιν ἢ οὓς ἀποδέχονται 95 b 32 ; αἱ δὲ κρίσεις ἐξ ὑπογυίου, ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς **κρίνοντας** 54 b 4 ; καὶ περὶ τῆς 'Ελένης ὡς 'Ισοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς **ἔκρινεν** 99 a 3 ; καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁπλῶς ἢ ᾗ κατὰ τὴν φρόνησιν **ἔκριναν** 64 b 11-12-14 ; « τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν » 97 b 8 (= Théodecte, *Alcméon*, Nauck *fr.* 2, p. 801 = Snell 72 F 2, p. 231) ; « εἴρηκα, ἀκηκόατε, ἔχετε, **κρίνατε** » 20 b 4 ; **κρίνειαν** 64 b 11 (*supra*) ; περὶ ὧν γὰρ ἴσμεν καὶ **κεκρίκαμεν**, οὐδὲν ἔτι δεῖ λόγου 91 b 8 ; **κεκρίκασιν** 64 b 12 (*supra*) ; πρόσφατοι δὲ [μάρτυρες] ὅσοι γνώριμοί τι κεκρίκασιν 76 a 8 ; ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν · οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν 98 b 30 ; καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν **κρίνεσθαι** ἢ ἔργῳ 74 b 19 ; καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ κέλευει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν 97 b 12 ; ὁτὲ μὲν δὴ οὕτω τὸ μεῖζον, ὁτὲ δ' ἐκ τοῦ βλάβους **κρίνεται** 74 b 30 ; Αἴσωπος δὲ ἐν Σάμῳ δημηγορῶν **κρινομένου** δημαγωγοῦ περὶ θανάτου ἔφη... 93 b 23 ; ἐπεὶ γὰρ δικαίως **ἐκρίθησαν** ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν 97 b 10 ; αἱ δ' ἐνστάσεις... τετραχῶς · ἢ γὰρ ἐξ ἑαυτοῦ ἢ ἐκ τοῦ ὁμοίου ἢ ἐκ τοῦ ἐναντίου ἢ ἐκ τῶν **κεκριμένων** 02 a 36.

κρίσις (ἡ), jugement, décision : τὸ δὲ πάντων μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις οὐ κατὰ μέρος, ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστὶν 54 b 5 ; ἐν δὲ τοῖς δικανικοῖς... περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις, ὥστε πρὸς τὸ αὑτῶν σκοπούμενοι καὶ πρὸς χάριν ἀκροώμενοι διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ' οὐ κρίνουσιν 54 b 33 ; καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι καὶ ἡ δίκη κρίσις ἐστὶν 77 b 22 ; ἔστιν δὲ τῶν κοινῶν... τὸ δὲ γεγονὸς [οἰκειότατον] τοῖς δικανικοῖς · περὶ τούτων γὰρ ἡ κρίσις 92 a 6 ; καὶ ὁ ἀγὼν ἄπεστιν, ὥστε καθαρὰ ἡ κρίσις 14 a 14 ; ἄλλος [τόπος], εἰ γέγονεν κρίσις 16 a 29 ; ἐκεῖ μὲν οὖν [sc. ἐν τῷ προοιμίῳ] δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρί-

σις 19 b 31 ; ἐπεὶ δὲ ἕνεκα **κρίσεώς** ἐστιν ἡ ῥητορικὴ 77 b 21 ; ἄλλος [τόπος] ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ ἢ ὁμοίου ἢ ἐναντίου, μάλιστα μὲν εἰ πάντες καὶ ἀεί 98 b 21 ; ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές, ἀλλ' ἐπισκοτεῖν τῇ **κρίσει** τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν 54 b 11 ; οἷον, εἰ ὅτι οὐ γέγονεν ἀμφισβητεῖται, ἐν τῇ κρίσει δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν φέρειν 17 b 24 ; καὶ ὅτι οὐδὲν δεῖ αὐτὸν ἄλλων δικαστῶν δεῖσθαι · τούτῳ γὰρ δίδωσι **κρίσιν** 77 a 28 ; τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν 78 a 2 ; ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστί (περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου) 91 b 7 ; αἱ δὲ **κρίσεις** ἐξ ὑπογυίου [γίνονται], ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας 54 b 3 ; ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι 55 a 23 ; τὰ γὰρ πολλὰ περὶ ὧν αἱ κρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως ἔχειν 57 a 23 ; λέγω δὲ παλαιοὺς μὲν [μάρτυρας] τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶν κρίσεις φανεραί 75 b 29 ; πρόσφατοι δὲ [μάρτυρες] ὅσοι γνώριμοί τι κεκρίκασιν · χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν 76 a 9 ; αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν 02 b 8 ; ὥστ' εἰ περὶ πάσας ἦν τὰς **κρίσεις** καθάπερ ἐν ἐνίαις γε νῦν ἐστι τῶν πόλεων... οὐδὲν ἂν εἶχον ὅ τι λέγωσιν 54 a 19 ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες 56 a 15 ; ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις 78 a 20 ; ἔφη γὰρ αὐτὸν ἀδικεῖν τὰς ἐκ τοῦ Διονυσιακοῦ ἀγῶνος κρίσεις εἰς τὰ δικαστήρια ἄγοντα 16 a 34 ; ἄλλος [τόπος] ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο, ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι 16 a 37.

κριτέον, il faut juger : ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον, παραλογιζόμενος 02 b 31.

κριτής (ὁ), juge, celui qui apprécie, qui décide : ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ οἰκείων κρίνει, ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξαι ὅτι οὕτως ἔχει ὥς φησιν ὁ συμβουλεύων 54 b 29 ; ὁ γὰρ κριτὴς ὑπόκειται εἶναι ἁπλοῦς 57 a 11 ; καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον καὶ τὸ ἀληθές 75 b 5 ; οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς · ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς εἰπεῖν ἁπλῶς κριτής 91 b 11-12 ; ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν, ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων 91 b 15-17 ; ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον, παραλογιζόμενος 02 b 30 ; ἡ δὲ δικανικὴ ἀκριβεστέρα, ἔτι δὲ μᾶλλον ἡ ἑνὶ **κριτῇ** 14 a 12 ; περὶ μὲν οὖν τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιεῖν κύριον τὸν **κριτήν**, περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι, ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι ἀνάγκη ἐπὶ τοῖς κριταῖς καταλείπειν 54 b 13-15 ; οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν 54 b 20 ; ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ θεωρὸν εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶν μελλόντων 58 b 3* ; ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὑτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν 77 b 24 ; 91 b 15 (*supra*) ; ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος · ἐκεῖ δ' αὐτοὶ οἱ **κριταὶ** τοῦτο τηροῦσιν ἱκανῶς 55 a 3 ; οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν 72 a 20 ; καὶ ὅσοις μὴ λανθάνουσιν ἔστιν δίωσις δίκης ἢ ἀναβολὴ χρόνου ἢ διαφθοραὶ **κριτῶν** 72 a 34 ; **κριταῖς** 54 b 15 (*supra*) ; καὶ ἐὰν φίλοι ὦσιν τοῖς ἀδικουμένοις ἢ τοῖς κριταῖς · οἱ μὲν γὰρ φίλοι ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι 72 a 18 ; ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς, καὶ ὅσα ἄλλα τοιαῦτα 76 b 29 ; καὶ τοὺς

διαβεβλημένους ἢ εὐδιαβόλους · οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται ἐπεξιέναι, φοβούμενοι τοὺς **κριτάς** 72 b 36 ; ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος 87 b 19.

Κριτίας (ὁ), Critias : καὶ Κλεοφῶν κατὰ **Κριτίου** τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία · οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων · « εἰπεῖν μοι **Κριτίᾳ** πυρρότριχι πατρὸς ἀκούειν » 75 b 32-34 ; ἐὰν δὲ **Κριτίαν** [θέλῃς ἐπαινεῖν], δεῖ [λέγειν τὰς πράξεις] · οὐ γὰρ πολλοὶ ἴσασιν 16 b 29.

Κροῖσος (ὁ), Crésus : « Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει » 07 a 39 (oracle).

κρύπτειν, cacher, dissimuler : καὶ τὰ ῥᾴδια **κρύψαι** · τοιαῦτα δὲ ὅσα ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα 73 a 29.

κρύψις (ἡ), dissimulation, action ou moyen de cacher : καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόποις ἢ διαθέσεις εὔποροι 72 a 32.

κτᾶσθαι, acquérir, se rendre propriétaire : πολλὰ γὰρ καὶ θεάσασθαι καὶ **κτήσασθαι** ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες 70 a 26 ; ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν [οἱ πρεσβύτεροι] ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν 89 b 29 ; ὅρος δὲ ἀσφαλείας μὲν τὸ ἐνταῦθα καὶ οὕτω **κεκτῆσθαι** ὥστ' ἐφ' αὑτῷ εἶναι τὴν χρῆσιν αὐτῶν 61 a 20 ; ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι 61 a 23 ; εὐγενείας μὲν οὖν ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν **κεκτημένον** αὐτήν 90 b 17 ; αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα **κεκτημένοι** 87 b 7 ; φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες · οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι ζηλωτοί 88 b 15 ; καὶ ὧν ἢ **κεκτημένων** ἢ κατορθούντων ὄνειδος αὐτοῖς 88 a 18 ; καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ **κεκτημένοις** ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντό ποτε 88 a 21-22 ; διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους 91 a 15 ; **κέκτηντο** 88 a 22 (*supra*).

κτείνειν, tuer, mettre à mort : καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον 73 b 14 ; « δίκαιόν ἐστιν, ἥ τις ἂν **κτείνῃ** πόσιν » 01 a 38 (= Théodecte, *Oreste*, *fr.* 5, Nauck p. 803 = Snell 72 F 5, p. 232) ; « τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ **κτανεῖν** » 97 b 8 (= Théodecte, *Alcméon*, *fr.* 2, Nauck p. 801 = Snell 72 F 2, p. 231) ; « οὐχ ἵνα **κτάνωσι** θῆρ,' ὅπως δὲ μάρτυρες... » 99 b 28 (= Antiphon, *Méléagre*, *fr.* 2, Nauck p. 792 = Snell 55 F 2, p. 195) ; « νήπιος ὃς πατέρα **κτείνας** υἱοὺς καταλείπει » 76 a 7 & 95 a 18 (= Stasinos, *Cypria*).

κτῆμα (τὸ), bien de propriété : καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι 61 b 1 ; καὶ γὰρ τὸ δῶρόν ἐστιν **κτήματος** δόσις καὶ τιμῆς σημεῖον 61 a 38 ; καὶ **κτήματα** ἄκαρπα · ἐλευθεριώτερα γάρ 67 a 27 ; ἔστω δὴ εὐδαιμονία... ἢ εὐθενία **κτημάτων** καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε καὶ πρακτικῆς τούτων 60 b 16 ; ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ **κτήμασι** καὶ ὀρέγονται δόξης 88 a 1.

κτῆσις (ἡ), acquisition, possession : πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις καὶ ἀνδραπόδων καὶ βοσκημάτων πλήθει καὶ κάλλει διαφερόντων 61 a 13-34 ; 61 a 24 (*var.*) ; εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν... ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ τότε 61 a 32 ; μεῖζον γὰρ ἡ κτῆσις διὰ τὸ χαλεπωτέραν εἶναι 64 a 25 ; πλοῦτος · ἀρετὴ γὰρ **κτήσεως** καὶ ποιητικὸν πολλῶν 62 b 18 ; ὑβρισταὶ

γὰρ καὶ ὑπερήφανοι [οἱ πλούσιοι], πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 33 ; καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν τῇ **κτήσει** μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν 88 a 4 ; ἀπόλαυσις κτήσει ἀντίκειται 10 a 7.

κυανόχρως, ως, ων, de couleur sombre : καὶ « **κυανόχρων** τὸ τῆς θαλάττης ἔδαφος » 06 a 4 (Alcidamas).

κυβεία (ἡ), jeu de dés : ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι... καὶ ἀστραγαλίσεις καὶ σφαιρίσεις καὶ **κυβείας** καὶ πεττείας 71 a 3.

κυβερνᾶν, diriger un bateau, tenir le gouvernail : ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη... ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς οὐ δέον τὸν ἐπιστάμενον, ἀλλὰ τὸν λαχόντα 93 b 7.

Κυδίας (ὁ), Cydias : ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν · ἠξίου γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας 84 b 32.

κυκᾶν, brouiller, troubler : « αἰ δ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν καὶ μή τι εἰπῆν γλῶσσ' **ἐκύκα** κακόν » 67 a 12 (Sappho).

κύκλος (ὁ), cercle, mouvement ou raisonnement circulaire : τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστίν, τὰ δὲ **κύκλῳ** εἰς πίστιν, οἷον εὐγένεια καὶ παιδεία 67 b 29 ; τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας 84 b 34 ; φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν 07 a 36 ; διὸ οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν, ἀλλὰ τὰ κύκλῳ, καὶ προοιμιάζονται 15 b 24 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε · τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ **κύκλον**, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον 07 b 27 ; καὶ ὡς Φάϋλλος τὸν Κύκλον 17 a 15.

Κύκλωψ (ὁ), Cyclope : καὶ ὡς Φάϋλλος τὸν Κύκλωπα 17 a 15 *var.*

Κύκνος (ὁ), Cycnos : ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων καὶ τὸν **Κύκνον**, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν ἄτρωτος ὤν 96 b 16.

κυλίνδειν, rouler : « αὖτις ἐπὶ δάπεδόνδε **κυλίνδετο** λᾶας ἀναιδής » 11 b 34 (= *Odyssée*, XI, 598).

κυνηγία (ἡ), chasse : [αἱ παιδιαὶ] αἱ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θηρευτική · ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν 71 a 5.

κυνίδιον (τὸ), petit chien : εἰσὶν δ' εἰκόνες οἷον ἣν Ἀνδροτίων εἰς Ἰδριέα, ὅτι ὅμοιος τοῖς ἐκ τῶν δεσμῶν **κυνιδίοις** · ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνειν, καὶ Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν 06 b 28 ; καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα 06 b 33. — Voir κύων.

κυνοραϊστής (ὁ), tique des chiens (= ixode, *insecte*) : Αἴσωπος δὲ... ἔφη ἀλώπεκα... πολὺν χρόνον κακοπαθεῖν, καὶ **κυνοραϊστὰς** πολλοὺς ἔχεσθαι αὐτῆς, ἐχῖνον δὲ πλανώμενον... κατοικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς, τὴν δὲ οὐκ ἐᾶν 93 b 25 & 27.

κύριος, α, ον, qui a autorité ou pouvoir, décisif, efficace, souverain ; κύριον ὄνομα, nom (mot) consacré par l'usage : μοναρχία δ' ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν 66 a 1 ; καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος 02 a 1 ; ἔτι δὲ **κυρία** μέν ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας · ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν 65 b 26-27*-29 ; εἰσὶν δὲ πολιτεῖαι τέτταρες... ὥστε τὸ μὲν **κύριον** καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 30 ; τὸ δὲ κύ-

ριον [ὄνομα] καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν 04 b 31 ; τοῦ **κυρίου** 65 b 27 (*supra*) ; δεῖ ὡς ἐλαχίστων ποιεῖν **κύριον** τὸν κριτὴν 54 b 12 ; καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ νόμους συνθήκας 76 b 8 ; τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖέν ἐστι, τὸ δὲ οἱ **κύριοι** καὶ οἱ εἰδότες 65 a 4 ; ἢ παρ' ὧν τυγχάνουσιν δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι 84 a 30 ; ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι 92 a 27 ; αἱ γὰρ ὕστεραι [συνθῆκαι] **κύριαι**, ἢ αἱ πρότεραι ὀρθαί, αἱ δ' ὕστεραι ἠπατήκασιν, ὁποτέρως ἂν ᾖ χρήσιμον 76 b 27 ; **κύρια** 65 b 27 & 29 (*supra*) ; καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ, οἷον ἐνίοτε ὁ μὲν κελεύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον 75 b 10 ; τῶν δ' ὀνομάτων καὶ ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια 04 b 6 ; λέγω δὲ κύριά τε καὶ συνώνυμα οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν · ταῦτα γὰρ ἀμφότερα καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις 04 b 39-05 a 2 ; αἱ μὲν οὖν γλῶτται ἀγῶντες, τὰ δὲ κύρια ἴσμεν 10 b 13 ; δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν **κυρίων** 88 a 30 ; καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ **κυρίοις** ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί 73 a 17 ; ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν, οἷον τοῖς κυρίοις 98 b 25 ; πάντες γὰρ μεταφοραῖς διαλέγονται καὶ τοῖς οἰκείοις καὶ τοῖς **κυρίοις** [ὀνόμασι] 04 b 35 ; περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους, ἐὰν μὲν αὐτῷ ὑπάρχῃ, πιστὰς καὶ **κυρίας**, ἐπὶ δὲ τοῦ ἀμφισβητοῦντος τοὐναντίον 76 b 1 ; ἔστιν γὰρ ἄλλο ἄλλου **κυριώτερον** καὶ ὡμοιωμένον μᾶλλον καὶ οἰκειότερον τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 11 ; **κυριώτερα** γάρ ἐστιν πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων 93 a 17 ; περὶ μὲν γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπολογεῖται, τῷ δ' ἐπιδεικτικῷ **κυριώτατος** μὲν ὁ παρών 58 b 17 ; τῶν γὰρ παραδόξων οὗτος ὁ τόπος κυριώτατός ἐστιν 99 a 34 ; ἔστι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύμημα, καὶ ἔστι τοῦτο ὡς εἰπεῖν ἁπλῶς **κυριώτατον** τῶν πίστεων 55 a 7 ; μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς πολιτείας ἁπάσας λαβεῖν 65 b 22 ; ἀλλὰ σχεδὸν ὡς εἰπεῖν **κυριωτάτην** ἔχει πίστιν τὸ ἦθος 56 a 13 ; ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, **κυριώτατα** δέ, εἰ ἀμφοῖν 02 b 37.

κυρτός, ή, όν, courbé, arrondi : « **κυρτά**, φαληριόωντα · πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα » 12 a 9 (= *Iliade*, XIII, 799).

κύων (ὁ, ἡ), chien, chienne : ἢ εἴ τις **κύνα** ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνοι ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφησεν · « ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν Ὀλύμπιοι » (= Pindare, *Parthen.*, *fr.* 96 Snell), ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον 01 a 15-18-20* ; ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ **κύνες** δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας 80 a 25. — Voir κυνίδιον.

Κύων (ὁ), le « Chien », le philosophe Cynique : ὁ Κύων δὲ [ἐκάλει] τὰ καπηλεῖα τὰ Ἀττικὰ φιδίτια 11 a 24.

κῶλον (τὸ), membre d'une période : περίοδος δὲ ἡ μὲν ἐν κώλοις, ἡ δ' ἀφελής. Ἔστιν δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ καὶ ἡ εἰρημένη περίοδος, ἀλλ' ὅλη. **Κῶλον** δ' ἐστὶν τὸ ἕτερον μόριον ταύτης. Ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. Δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε μυούρους εἶναι μήτε μακράς 09 b 13-14-16-17 ; τῆς δὲ ἐν κώλοις λέξεως ἡ μὲν διῃρημένη ἐστίν, ἡ δὲ ἀντικειμένη ·... ἀντικειμένη δὲ ἐν ᾗ ἑκατέρῳ τῷ **κώλῳ** ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται ἢ ταὐτὸ ἐπέζευκται τοῖς ἐναντίοις 09 b 33 & 36 ; ἀντί-

θεσις μὲν οὖν τὸ τοιοῦτον ἐστίν, παρίσωσις δ' ἐὰν ἴσα τὰ κῶλα, παρομοίωσις δὲ ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ **κῶλον** 10 a 25-26; **κῶλα** 09 b 17 & 10 a 25 (*supra*); **κώλοις** 09 b 13, 14 & 33 (*supra*).

κωλύειν, empêcher, faire obstacle à : διὸ καὶ πολλαχοῦ... ὁ νόμος **κωλύει** λέγειν ἔξω τοῦ πράγματος 55 a 2; οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις 62 b 37; « θέλω τι εἰπῆν, ἀλλά με κωλύει αἰδώς » 67 a 10 (Alcée); ὁ δὲ τὸν πλησίον κωλύει διὰ τὸν φθόνον 88 a 38 *var.*; ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ... 97 b 2; οἱ δὲ καὶ χρῶνται καὶ **κωλύουσιν** ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν Ἀρείῳ πάγῳ 54 a 22; ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν **κωλῦον**, τὸ δὲ μὴ κωλῦον μετατεθῇ 68 a 9*; καὶ δι' ὃ ἂν ζητηθῇ καὶ εὑρεθῇ τὰ **κωλύοντα** καὶ ζημιοῦντα 75 a 4; ἀναγκαῖον ἀνελεῖν τὰ κωλύοντα, ὥστε λυτέον πρῶτον τὴν διαβολὴν 15 a 32; ἔτι εἰ ἐβούλετο καὶ μηδὲν τῶν ἔξω **ἐκώλυεν** 92 b 21; τὸ ἀποκτεῖναι... τὸν Κύκνον, ὃς **ἐκώλυσεν** ἅπαντας ἀποβαίνειν ἄτρωτος ὢν 96 b 16.

κωλυτικός, ή, όν, capable d'empêcher : καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, καὶ τὰ **κωλυτικὰ** τῶν ἐναντίων καὶ τὰ φθαρτικά 62 a 29; διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτ' ἐστί, διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας 87 a 3.

κωμῳδία (ἡ), comédie : τὸ δ' ἀνάλογόν ἐστιν ἐὰν μήτε... μήτε... μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος · εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν 08 a 14; καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθύς... ἀλλ' ἐν τῷ προλόγῳ γέ που... καὶ ἡ κωμῳδία ὡσαύτως 15 a 22.

κωμῳδοποιός (ὁ), poète comique : χρῶνται γὰρ καὶ οἱ **κωμῳδοποιοὶ** μεταφοραῖς 06 b 7; καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ **κωμῳδοποιοῖς** · κακολόγοι γάρ πως οὗτοι καὶ ἐξαγγελτικοί 84 b 10.

κώπη (ἡ), rame : « **κώπης** ἀνάσσων κἀποβὰς εἰς Μυσίαν » 05 a 29 (= Euripide, *Télèphe*, Nauck *fr.* 705, p. 583).

κώρυκος (ὁ), sac de cuir, besace : « ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ **κωρύκῳ** » 13 a 14 (*fr. com. anon.*, Kock, III, p. 448) = 13 a 26 & 27.

κωφός, ή, όν, muet, sourd, insensible : « **κωφὴν** γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων » 80 b 29 (= *Iliade*, XXIV, 54).

* * *

λᾶας (ὁ, ἡ), pierre : « αὖτις δάπεδόνδε κυλίνδετο λᾶας ἀναιδής » 11 b 34 (= *Odyssée*, XI, 598).

λαγχάνειν, obtenir par le sort : ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη μὴ οἳ δύνανται ἀγωνίζεσθαι, ἀλλ' οἳ ἂν **λάχωσιν**, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς οὐ δέον τὸν ἐπιστάμενον, ἀλλὰ τὸν **λαχόντα** 93 b 7-8.

λαγώς (ὁ), lièvre : οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, « ὡς ὁ Καρπάθιός, φασιν, τὸν **λαγώ** » · ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν 13 a 19.

λαθητικός, ή, όν, qui se cache volontiers, qui aime à se cacher : **λαθητικοὶ** δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενεῖς περὶ αἰκίας καὶ ὁ πένης καὶ αἰσχρὸς περὶ μοιχείας 72 a 21.

λάθρᾳ, en cachette : οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, ἔκλεψεν 74 a 15.

Λακεδαιμόνιοι (οἱ), les Lacédémoniens : καὶ Λακεδαιμόνιοι Χίλωνα [τετιμήκασιν] καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες... καὶ Λακεδαι-

μόνιοι τοῖς Λυκούργου [νόμοις χρησάμενοι εὐδαιμόνησαν] 98 b 14 & 18; οὐδὲν δὲ διαφέρει περὶ **Λακεδαιμονίων** ἢ 'Αθηναίων ἢ ἀνθρώπου ἢ θεοῦ τὸ αὐτὸ τοῦτο δρᾶν 96 a 24; καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἂν περιϊδεῖν τὴν 'Ελλάδα ἑτερόφθαλμον γενομένην 11 a 5; καὶ γὰρ συμβουλεύων [ὁ 'Ισοκράτης] κατηγορεῖ, οἷον Λακεδαιμονίων μὲν ἐν τῷ Πανηγυρικῷ 18 a 31; ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ **Λακεδαιμονίοις**, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν 61 a 10; ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν 'Αθηναίους ἐν 'Αθηναίοις ἐπαινεῖν, ἀλλ' ἐν Λακεδαιμονίοις 15 b 32.

Λακεδαίμων (ἡ), Lacédémone : καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια καλά, καὶ ὅσα σημεῖά ἐστιν τῶν παρ' ἑκάστοις ἐπαινουμένων, οἷον ἐν **Λακεδαίμονι** κομᾶν καλόν 67 a 29.

Λάκων (ὁ), Laconien : λέγω δὲ γένος μὲν καθ' ἡλικίαν, οἷον παῖς ἢ ἀνὴρ ἢ γέρων, καὶ γυνὴ ἢ ἀνήρ, καὶ Λάκων ἢ Θετταλός 08 a 28; καὶ ὡς ὁ Λάκων εὐθυνόμενος τῆς ἐφορίας, ἐρωτώμενος εἰ δοκοῦσιν αὐτῷ δικαίως ἀπολωλέναι ἅτεροι, ἔφη 19 a 31; δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ **Λάκωσιν** ἢ φιλοσόφοις 67 b 10.

Λακωνικὰ ἀποφθέγματα (τὰ), les apophtegmes des Lacédémoniens : ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἴ τις λέγει ὅ περ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν 94 b 35.

λαμβάνειν prendre, admettre, recevoir; admettre comme postulat : καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν 66 a 19; οἷον εἰ αὐτὸς μὲν θέλει λαμβάνειν [ὅρκον], διδόναι δὲ μή, καὶ εἰ δίδωσι μέν, λαμβάνειν δὲ μὴ θέλει, καὶ εἰ λαμβάνειν καὶ διδόναι θέλει, εἴτε μηδέτερον 77 a31-32* ; καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκάστου λαμβάνειν ὡς τὸ αὐτὸ ἀεί 99 b 9; περὶ δ' ὅρκων τετραχῶς ἔστι διελεῖν · ἢ γὰρ δίδωσι καὶ **λαμβάνει**, ἢ οὐδέτερον, ἢ τὸ μὲν τὸ δ' οὔ, καὶ τούτων ἢ δίδωσιν μὲν οὐ λαμβάνει δέ, ἢ λαμβάνει μὲν δίδωσιν δὲ οὔ 77 a 8-10* ; οὐ λαμβάνει δ', ὅτι ἀντὶ χρημάτων ὅρκος 77 a 15; εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ, ἐκείνῳ δ' οὔ 77 a 22; περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως **λαμβάνομεν** ὑπόληψίν τινα 17 b 10; τὰς γὰρ πράξεις ὁμολογουμένας **λαμβάνουσιν** [οἱ ἐπιδεικτικοὶ λόγοι], ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος 68 a 28; οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν, ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων 96 b 1; τὸ γὰρ « μετὰ τοῦτο » ὡς « διὰ τοῦτο » λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις 01 b 31; τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν, καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί 03 b 32; πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, ὅπως διελόμενοι πόσα ἐστίν, περὶ τούτων χωρὶς **λαμβάνωμεν**, τὰ στοιχεῖα καὶ τὰς προτάσεις 58 a 33-34; οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ **λαμβάνοντας** συνάγειν 95 b 25; οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν **λήψεται**, νεμεσήσει τούτῳ 87 a 11; ὅπως τὸ ἁρμόττον αὐτῷ λήψεται 19 b 8; πρῶτον μὲν ὅτι ἕνα **λαβεῖν** καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν 54 a 34; ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταύτας ἐστὶν λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου 56 a 22; περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται 59 a 27; ἐντεῦθεν γὰρ λαβεῖν ἔστιν τοὺς τῶν ἐθνῶν νόμους 60 a 35; μέγιστον δὲ... τὰς πολιτείας ἁπάσας λαβεῖν 65 b 24; δεῖ δὴ λαβεῖν τρία [περὶ δὲ κατηγορίας καὶ ἀπολογίας] 68 b 3; οἷον λαβεῖν μέν, ἀλλ' οὐ κλέψαι 74 a 2; καὶ οὗ μὴ ἔστιν δίκην λαβεῖν τὸν παθόντα · ἀνίατον γάρ 74 b 32; ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν ὅτι... 86 a 28; ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει 88 a 33;

ἀγαθῶν ὧν μὴ ἔχουσιν ⟨ἐνδεχομένων αὐτοῖς λαβεῖν⟩ 88 b 2 ; πρῶτον μὲν οὖν δεῖ λαβεῖν ὅτι... 96 a 4 ; καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά, καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν παρ' ἄλλου 05 a 9 ; διὸ ἔξεστι λέγειν... τὸν κλέψαντα καὶ λαβεῖν καὶ πορίσασθαι 05 a 27 ; καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς 05 b 4 ; τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν ὅτι ταὐτὸ δύναται ὅπερ τῶν δραμάτων οἱ πρόλογοι 15 a 9 ; πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ 'Ομήρου ἔστιν 17 b 4 ; οὐδὲ πάντως, εἰ λάθρᾳ **ἔλαβεν**, ἔκλεψεν, ἀλλ' εἰ ἐπὶ βλάβῃ ⟨τούτου ἀφ' οὗ ἔλαβε⟩ καὶ σφετερισμῷ ἑαυτοῦ 74 a 15-16 ; καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησεν πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη, ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται, διὸ οὐκ ἐπιτρεπτέον 93 b 1*-2*-3 ; οἷον ὅτι δικαίως 'Αλέξανδρος ἔλαβε τὴν 'Ελένην 01 b 35 ; « ἀγρὸν γὰρ ἔλαβεν ἄργον παρ' αὐτοῦ » 10 a 29 ; « εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης **ἔλαβον** » 10 a 10 (= Isocrate, *Panég.*, § 72) ; **λάβῃ** 93 b 3 (*supra*) ; ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια 93 b 16 (Stésichore) ; **λάβωμεν** 58 a 33 (*supra*) ; ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐστιν ὡς ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία 60 b 7 ; λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν 60 b 30 ; ἔτι δὲ ἄλλον τρόπον καθόλου περὶ ἁπάντων λάβωμεν 97 a 1 ; « ἀλλ' ἵνα τὰς συμφορὰς **λάβωσιν** ἐπιφανεστέρας » 99 b 26 (*fragm. tragic. adespot.* Nauck nº 82, p. 855) ; καὶ οὗ ἐφίενται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν ἢ εἰ **λάβοι** νοῦν 62 a 24 ; καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ **λαβὼν** ἐτυράννευσε 57 b 32 ; 93 b 1 & 2 (*supra*) ; ὅταν λαβὼν τὸ καθόλου εἶτα συλλογίσηται τὸ κατὰ μέρος 02 b 17 ; ἀγαθὸν λέγομεν... καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν **λαβόντα** ἕλοιτο 63 b 15 ; ὥρισται γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον 64 b 17 ; πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ **λαβόντες** τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγουσιν 98 a 27 ; « οἱ μὲν γὰρ χρήματα λαβόντες ταῦτα ἔπραξαν, ἐγὼ δὲ οὔ, ἀλλὰ γνώμῃ » 19 a 35 ; ὥσπερ **εἰληφέναι** γὰρ οἴονται τιμωρίαν 80 b 15 ; ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους, ὅθεν καὶ τοὔνομα **εἴληφεν** τοῦτο 65 b 37 ; ἡ δ' ἔνστασις... τὸ εἰπεῖν δόξαν τινα ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν 03 a 31 ; ταῦτα δὲ **ληφθήσεται** διὰ τῶν αὐτῶν 66 a 14 ; παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου **ληφθεῖσα** τιμωρία πρότερον 80 b 7 ; καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως **εἰλημμένοι** ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι 96 b 32 ; περὶ ἁπάντων δ' αὐτῶν **εἰλημμέναι** δόξαι καὶ προτάσεις εἰσὶν ἐξ ὧν τὰς πίστεις φέρουσιν 91 b 23.

Λάμια (ἡ), Lamia (ville) : ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν **Λαμίᾳ** τελευτησάντων 11 a 32 *var.*

Λάμπων (ὁ), Lampon : οἷον Περικλῆς **Λάμπωνα** ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς σωτείρας ἱερῶν, εἰπόντος δὲ ὅτι οὐχ οἷόν τε ἀτέλεστον ἀκούειν, ἤρετο εἰ οἶδεν αὐτός, φάσκοντος δέ · « καὶ πῶς, ἀτέλεστος ὤν ; » 19 a 2.

Λαμψακηνοί (οἱ), les habitants de Lampsaque : καὶ Λαμψακηνοὶ 'Αναξαγόραν ξένον ὄντα ἔθαψαν καὶ τιμῶσι ἔτι καὶ νῦν 98 b 16.

λανθάνειν, passer inaperçu, échapper à l'attention (de l'auditeur) ; **λανθάνεσθαι**, oublier : ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται 60 a 6 ; ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο 65 b 2 ; τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν · αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος 66 a 3 ; διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην 72 a 17 ; διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν

λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως 04 b 18 ; ὥστε δῆλον ὡς ἂν εὖ ποιῇ τις, ἔσται τε ξενικὸν καὶ λανθάνειν ἐνδέξεται καὶ σαφηνιεῖ 04 b 36 ; ὥστε μάλιστα λανθάνειν 09 a 9 ; δεῖ δὲ μὴ λανθάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα 15 b 4 ; καὶ ἃ μὴ **λανθάνει** παρόντα ἢ ἃ λανθάνει · πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα 65 b 14* ; ὧν γὰρ φροντίζομεν οὐ λανθάνει 79 b 17 ; δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα 08 b 4 ; ἐὰν δὲ τὸ μὲν τὸ δὲ μή, λανθάνει ποιῶν τὸ αὐτό 08 b 9 ; διὸ καὶ λανθάνουσίν τε τοὺς ἀκροατὰς καὶ μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν 58 a 8 ; καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί · οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυλάττεσθαι, οἱ δὲ **λανθάνουσι** διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομένοις 72 a 29-30 ; μὴ **λανθανέτω** δ' ὅτι ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι πονηρόν 17 b 27 ; οὐχ ὅπως ἀμφότερα πράττωμεν... ἀλλ' ἵνα μήτε **λανθάνῃ** πῶς ἔχει 55 a 32 ; τοῦτο δὲ ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μικρὰ ᾖ 63 a 26 ; τὸ μὲν γὰρ (sc. εὖ πάσχειν) κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέσθαι 65 b 4* ; ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις 19 b 31 ; **λανθάνων** 65 b 4 (*supra*) ; λανθάνων δὲ ποιει 17 b 8 ; καὶ ὅσοις μὴ **λανθάνουσιν** ἔστιν δίωσις δίκης ἢ ἀναβολὴ χρόνου ἢ διαφθοραὶ κριτῶν 72 a 33 ; **λήσειν** 72 a 29 (*supra*) ; ταῦτα δὲ ὅσῳ τις ἂν βελτίω ἐκλέγηται, **λήσει** ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς 58 a 24 ; εἴτε ἂν **λαθεῖν** πράξαντες, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην 72 a 7* ; καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτικούς, ἀλλὰ πιστευτικούς · ῥᾴδιον γὰρ πάντας λαθεῖν 72 b 29 ; ἀκόντων μὲν ὅταν **λάθῃ**, ἑκόντων δ' ὅταν μὴ δύνωνται διορίσαι 74 a 29 ; **λαθόντες** 72 a 7 (*supra*) ; δεῖ δὲ μὴ **λεληθέναι** ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει λέξις 13 b 3 ; τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα **λεληθυῖα** σχεδὸν παρὰ πᾶσιν 58 a 3 ; καὶ οἱ πολλάκις ἢ **λεληθότες** ἢ μὴ ἐζημιωμένοι, καὶ οἱ πολλάκις ἀποτετυχηκότες 72 b 8 ; ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις, ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, **λήσεται** τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ... 59 b 14.

λαός (ὁ), le peuple, les gens : « **λαοὶ** μὲν φθινύθουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει » 65 a 14 (= *Iliade*, IX, 593).

λέγειν, dire, parler, prendre la parole, prononcer un discours ; **ὁ λέγων**, l'orateur : ἔξω τοῦ πράγματος **λέγειν** 54 a 23 ; 54 b 27 ; 55 a 2 ; πειρώμεθα λέγειν 55 b 22 ; ἐὰν γὰρ ᾖ τι τούτων γνώριμον, οὐδὲ δεῖ λέγειν 57 a 18 ; δύναμις τοῦ λέγειν, τοῦ πράττειν 62 b 22 ; δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει 67 b 10 ; ἐχόμενον ἂν εἴη λέγειν 68 b 2 ; καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν 73 a 34 ; καὶ διακαρτεροῦντες μὴ λέγειν τἀληθῆ 77 a 4 ; [δεῖ δὲ λέγειν ὡς οὐκ εἰσὶν ἀληθεῖς αἱ βάσανοι 77 a 6-7-8] ; τὸ πράττειν καὶ λέγειν 78 b 24 ; ἐν τῷ λέγειν 79 a 2 ; καὶ τὸ περὶ αὑτοῦ πάντα λέγειν καὶ ἐπαγγέλλεσθαι 84 a 5 ; τὸ λέγειν πράγματα προγεγενημένα 93 a 29 ; ἔστιν δὲ τὸ μὲν πράγματα λέγειν τοιόνδε τι 93 a 31 ; προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν 94 a 15 ; δεῖ δὲ τὰς γνώμας λέγειν 95 a 20 ; περὶ τούτων καθόλου λέγειν 95 b 11 ; τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν 95 b 27 ; τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν 95 b 30 ; περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι 96 a 4 ; τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου 00 a 25 ; καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν 00 b 20 ; εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 9-10 ; τὸ διῃρημένον συντιθέντα λέγειν 01 a 25 ; τὸ ἔχειν ἃ δεῖ λέγειν 03 b 16 ; καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως 04 b 19 ; τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν 05 a 11 ; ἔξεστι λέγειν τὸν ἀδικήσαντα μὲν ἁμαρτάνειν 05 a 26 ; μεῖζον ποιεῖ κακὸν

τοῦ εἰκῇ λέγειν 06 a 17; καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν 07 a 12; τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν 07 a 32; ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, προσποιῶνται δέ τι λέγειν 07 a 34*; ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ τὸ αἰσχρόν, τοὔνομα λέγειν 07 b 30; καὶ μετὰ συνδέσμου λέγειν 07 b 38; ἐξ ὧν μὴ ἔχει λέγειν 08 a 2; δυσχεραίνοντος καὶ εὐλαβουμένου καὶ λέγειν 08 a 18; οὐκ εἶχον δὲ λέγειν τίς ἦν 09 a 3; ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τὰς μακροκώλους λέγειν 09 b 30; καὶ ἔοικε λέγειν ἡ ψυχή 12 a 21; ἐκ τοῦ μὴ ὅ φησι λέγειν 12 a 23; τὸ καινὰ λέγειν 12 a 26; οὐχ ὃ λέγει λέγειν 12 a 33*; προσποιεῖταί γὰρ λέγειν 12 a 35; διὸ πρεσβυτέρῳ λέγειν ἀπρεπές 13 b 1; τὸ σύμβολά λέγειν 16 b 1; οὐδὲ τὰς πίστεις λέγειν 16 b 34; τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα 16 b 36; ἔτι πεπραγμένα δεῖ λέγειν 17 a 12; καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν 17 a 24; ὑπισχνεῖσθαι δεῖ καὶ αἰτίαν λέγειν εὐθύς 17 b 17; παραδείγματα λέγειν 18 a 4; οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα 18 a 6; λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον 18 b 7; ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει 18 b 24; ἄτεχνα δὲ **λέγω** ὅσα... 55 b 36; ἀναγκαῖα μὲν οὖν λέγω ἐξ ὧν γίνεται συλλογισμός 57 b 5; λέγω δὲ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι... 58 a 10; λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις 58 a 31; τὸ τέλος πρὸς τοῦτόν ἐστιν, λέγω δὲ τὸν ἀκροατήν 58 b 2; λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι... 60 a 23; κάρπιμα δὲ λέγω ἀφ' ὧν οἱ πρόσοδοι 61 a 18; λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ πρᾶσιν 61 a 22; παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου κειμένην 65 b 34; λέγω δὲ ἴδιον μὲν καθ' ὃν [νόμον] γεγραμμένον πολιτεύονται 68 b 7; λέγω δὲ ἀλόγους [ἐπιθυμίας] ὅσας... 70 a 19; λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο 73 a 12; λέγω δὲ νόμον τὸν μὲν ἴδιον, τὸν δὲ κοινόν 73 b 4; λέγω δὲ παλαιούς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων... 75 b 28; λέγω δ' οἷον περὶ ὀργῆς 78 a 22; ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, κ. τ. α. 84 a 10; ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, κ. τ. α. 87 b 26; λέγω δὲ πάθη μὲν ὀργήν, ἐπιθυμίαν καὶ τὰ τοιαῦτα 88 b 32; τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον κ. τ. α. 89 a 1; λέγω δὲ δεδημοσιευμένα οἷον τὸ « γνῶθι σαυτόν » καὶ « μηδὲν ἄγαν » 95 a 21; ὃ δὲ λέγω, δῆλον ἔσται ὧδε 95 b 4; λέγω δ' οἷον πῶς ἂν δυναίμεθα... 96 a 7; λέγω δὲ κοινὰ μὲν τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι... 96 b 10; στοιχεῖον δὲ λέγω καὶ τόπον ἐνθυμήματος τὸ αὐτό 96 b 20; λέγω δὲ ἀφ' ἑαυτοῦ μέν, οἷον εἰ... 02 a 37; τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον 03 a 16; λέγω δὲ κύριά τε καὶ συνώνυμα οἷον... 04 b 39; λέγω δ' οἷον, ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει... 05 a 16; λέγω δὲ γένος μὲν καθ' ἡλικίαν 08 a 27; λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ 08 b 6; λέγω δὲ εἰρομένην [λέξιν] ἣ οὐδὲν ἔχει τέλος καθ' αὑτήν 09 a 30; λέγω δὲ περίοδον λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτήν 09 a 36; ἀφελῆ δὲ λέγω τὴν μονόκωλον 09 b 17; λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν, ὅσα ἐνεργοῦντα σημαίνει 11 b 24; λέγω δ' ὅταν ἀποδιδῶσιν 13 a 11; καὶ περὶ οὗ **λέγει** καὶ πρὸς ὅν 58 b 1; ὃ μᾶλλον ἡ φρόνησις λέγει 64 b 19; καὶ ὡς Ἐμπεδοκλῆς λέγει 73 b 14; καὶ ὡς λέγει... Ἀλκιδάμας 73 b 18; ἐὰν ἀγνοήσῃ τί λέγει ὁ νόμος 75 b 18; διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεύς 78 b 31; οἷον εἴ τις λέγει ὅ περ Στησίχορος 95 a 1; Ὀδυσσεύς λέγει πρὸς τὸν Αἴαντα 00 a 29; οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς 01 b 15; ὥσπερ καὶ Ἀγάθων λέγει 02 a 10; ὥσπερ Λικύμνιος λέγει 05 b 7; καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο 10 b 19; ταχὺ γὰρ λέγει 11 b 31; καὶ ὃ λέγει Θεόδωρος... ὡς ἐκεῖνος λέγει 12 a 26-27; τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν 12 a 33*; ἄλλο γὰρ λέγει 12 b 1; ἀλλ' οὐχ οὕτω λέγει 12 b 10; ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ Ἐπιταφίῳ 15 b 31; εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν 18 a 36; ὥσπερ **λέγομεν** 54 b 12; περὶ ὧν τοὺς τόπους λέγομεν 58 a 12;

ἐπεὶ οὖν ἀγαθὸν λέγομεν 63 b 13 ; ἐξ οἵων περ καὶ τὰ ἐνθυμήματα λέγομεν 76 a 32 ; ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν 04 a 38 ; ἐπιπόλαια γὰρ λέγομεν τὰ παντὶ δῆλα 10 b 23 ; λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων 11 b 24 ; περὶ μὲν ἐκείνης οὐδὲν **λέγουσιν** 54 b 26 ; τὰ ψευδῆ λέγουσιν ἢ τἀληθῆ 77 a 3 ; περὶ ὧν λέγουσιν 78 a 9 ; οὐ τὰ δοκοῦντα λέγουσιν 78 a 12 ; καὶ πάντα λέγουσιν οὕτως 89 b 20 ; ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον 94 b 9 ; οἱ μὲν γὰρ τὰ κοινὰ καὶ καθόλου λέγουσιν 95 b 30 ; συλλογίζονται περὶ ὧν λέγουσιν 98 a 28 ; οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει λέγουσι ταῦτα 07 a 35 ; διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις 07 b 2 ; ἑνὸς ὄντος λιμένος ὅμως λέγουσιν... 07 b 33 ; οὕτω μὲν οὖν λέγουσιν οὐχ ἁπλοῦν 13 a 2 ; διὸ ὀργιζόμενοι λέγουσιν μάλιστα 13 a 31 ; διήγησιν οἵαν λέγουσιν 14 a 39 ; οὐ τὰ ἐρωτώμενα λέγουσιν 15 b 24 ; περὶ τοιούτων γὰρ λέγουσιν 17 a 21 ; πιστότερα ἢ ἐξ ὧν λέγουσιν 18 a 12 ; ἔτι ἐκ τῶν παθητικῶν **λέγε** διηγούμενος 17 a 37 ; καὶ ὅταν πάθος ποίῃς, μὴ λέγε ἐνθύμημα 18 a 12 ; ἐὰν μὲν γάρ... τὰ δίκαια **λέγῃς** 99 a 23 & 25 ; ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις 91 b 13 ; κἂν μηθὲν λέγῃ 08 a 24 ; ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα **λέγῃ** τῇ ἕξει 08 a 31 ; **λέγωμεν** τὰ λοιπά 55 b 24 ; ὅταν περὶ τῶν παθῶν λέγωμεν 56 a 19 ; λέγωμεν πάλιν 60 b 2 ; μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς 66 a 23 ; διορισάμενοι οὖν τὸ ἀδικεῖν λέγωμεν ἑξῆς 68 b 5 ; πῶς δὲ ἔχονται καὶ τίνας, λέγωμεν νῦν 72 a 5 ; ἀναλαβόντες τί ἐστιν τὸ ἀδικεῖσθαι, λέγωμεν 73 b 27 ; τὴν φιλίαν καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν 80 b 36 ; ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν 82 b 29 ; ποῖα δ' ἐλεεινά... λέγωμεν 85 b 12 ; πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν 87 a 6 ; περὶ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν... λέγωμεν ἐφεξῆς 90 b 15 ; πρῶτον μὲν οὖν περὶ δυνατοῦ καὶ ἀδυνάτου λέγωμεν 92 a 8 ; πρῶτον μὲν οὖν περὶ παραδείγματος λέγωμεν 93 a 26 ; ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες 96 a 28 ; τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν 96 b 20 ; καὶ λέγωμεν παρασημαινόμενοι τοὺς ἐλεγκτικοὺς καὶ τοὺς δεικτικούς 97 a 2 ; οὐδὲν ἂν εἶχον ὅ τι **λέγωσιν** 54 a 21 ; ἐάν τε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν 79 b 13 ; ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεύουσιν 07 a 37 ; ὥσπερ εἴ τις **λέγοι** ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι 93 a 32 ; οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν 93 b 4 ; οἷον εἴ τις λέγοι ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες 01 b 10 ; ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος 01 b 12 ; « τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι » 02 a 11 (Agathon) ; οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει... ὅτε λέγοι 13 b 26 ; εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι 19 a 10 ; καὶ ὁ Ἰφικράτης αὑτὸν ἐνεκωμίαζε **λέγων** ἐξ ὧν ὑπῆρξεν ταῦτα 65 a 28 ; οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων 65 a 32 ; καὶ Κλεοφῶν... λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία 75 b 32 ; οἷον Θεμιστοκλῆς... τὸ ξύλινον τεῖχος λέγων 76 a 2 ; διαλύοι ἄν τις τἀληθῆ λέγων 77 a 2 ; ἐάν τις καθόλου λέγων ἐπιτύχῃ τῶν δοξῶν 95 b 3 ; λέγων τὸν Σωκράτην 98 b 32 ; εἰ καὶ μὴ οὕτως ἔχει ὡς ὁ λέγων 08 a 22 ; οὐθὲν γὰρ αἴτιος ὁ λέγων τῶν πράξεων 16 b 20 ; ἀεὶ τὰ δίκαια λέγων 17 a 4 ; οἷον ὅτι ἅμα λέγων ἐβάδιζε 17 a 23 ; ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων 17 a 34 ; Γοργίας... ὀρθῶς λέγων 19 b 6 ; οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται **λέγουσα** 73 b 9 ; ἐν τῷ ἤθει τοῦ **λέγοντος** 56 a 2 ; τὴν ἐπιείκειαν τοῦ λέγοντος 56 a 12 ; ἔκ τε τοῦ λέγοντος καὶ περὶ οὗ λέγει καὶ πρὸς ὅν 58 a 38 ; ἡ μὲν γὰρ τοῦ λέγοντος ἔοικεν εἶναι 04 b 23 ; ὡς ἀληθῶς λέγοντος 08 a 21 ; ἔκ τε τοῦ λέγοντος καὶ τοῦ ἀκροατοῦ κ. τ. α. 15 a 26 ; καὶ συνομοπαθεῖ ὁ ἀκούων ἀεὶ τῷ παθητικῶς **λέγοντι**, κἂν μηθὲν λέγῃ 08 a 24* ; καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς 08 b 12 ; ὥστε ἀξιόπιστον ποιῆσαι τὸν **λέγοντα** 56 a 6 ; ποιόν τινα εἶναι τὸν λέγοντα 56 a 10 ; τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιστεύομεν 66 a 10 ; τὸ ποιόν τινα φαί-

νεσθαι τὸν λέγοντα 77 b 26 & 29; τὸν τὴν γνώμην λέγοντα 95 b 15; καὶ χρηστοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα 95 b 17; δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα 08 b 4; μὴ ὡς ἓν λέγοντα 13 b 31; δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι 14 b 16; ὕστερον δὲ λέγοντα πρῶτον πρὸς τὸν ἐναντίον λόγον λεκτέον 18 b 12; ἕτερον χρὴ λέγοντα ποιεῖν 18 b 26; ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρός 18 b 28; ἢ ἐναντία λέγοντα δείξειν ἢ παράδοξον 19 a 13; ἢ παραδείγματα **λέγοντες** ἢ ἐνθυμήματα 56 b 7; ἢ καθ' αὑτὰ λέγοντες ἢ πρὸς ἄλληλα ἀντιπαραβάλλοντες 59 a 21; καὶ λέγοντες καὶ ποιοῦντες καὶ μέλλοντες 67 a 8; τοιοῦτοι δὲ οἱ καὶ τὰ φαῦλα τὰ ἑαυτῶν λέγοντες 81 b 30; καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες 84 b 20; διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες 90 a 10; οἱ ποιηταί, λέγοντες εὐήθη 04 a 24; διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι 06 a 32; διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες 08 b 35; οὐκ ὀρθῶς λέγοντες 19 b 29; καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα ὑπὲρ τῆς 'Αντιγόνης πρὸς τὸν πατέρα ὡς **λεγόντων** ἑτέρων 18 b 33; καὶ τοῖς κακῶς **λέγουσι** 79 a 36; ὁμοίως... τοῖς [τοὺς θεοὺς] ἀποθανεῖν λέγουσιν 99 b 8; ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι **λέγοντας** 55 a 26; περὶ τούτων λέγοντας κἀκεῖνα δηλοῦν ἐξ ὧν... 66 a 25; ταῦτα ὡς ὑποθήκας λέγοντας 68 a 2; τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας 78 a 6; ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας 03 b 12; ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας 13 b 22; « ἀλλ' **ἔλεγες** περὶ τῶ δικαίω » 67 a 14 (Sappho); « σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς... » 10 a 36; ὥσπερ γὰρ ὁ Σωκράτης **ἔλεγεν**, οὐ χαλεπὸν 'Αθηναίους ἐν 'Αθηναίοις ἐπαινεῖν 67 b 8; οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν... 99 b 6; οἷον 'Ανδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου 00 a 10; οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε 00 a 34; ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν [ἂν] 08 a 15; ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγεν καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν 16 a 11; καὶ ὃ ἔλεγεν Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος 18 a 35; ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς **ἐλέγομεν** 55 a 28; παραλογιζόμενος, ὥσπερ ἐλέγομεν 02 b 31; εἴρηται, καθάπερ ἐλέγομεν, ἐν τοῖς περὶ Ποιητικῆς 05 a 5; καὶ τὴν ἀσπίδα ἁρμόττει **λέγεσθαι** φιάλην ''Αρεως 07 a 18; ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι 12 b 26*; ἐξ ὧν τὰ ἐνθυμήματα **λέγεται**, τὰ μέν... τὰ δέ... 57 a 30; λέγεται δὲ ἐνθυμήματα ἐξ εἰκότων 57 a 31; πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ 'Ηρόδικος λέγεται 61 b 5; ὅθεν λέγεται ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους 62 b 38; ὅθεν λέγεται « ἄριστον μὲν ὕδωρ » 64 a 27; ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ 73 a 22; ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν 84 b 4; καθ' ἣν ὁ ἔχων λέγεται χάριν ἔχειν 85 a 18; τὸ γὰρ « λόγου ἄξιον » οὐχ ἁπλῶς λέγεται 01 a 25; ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων 02 b 13; πόθεν λέγεται τὰ ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον 10 b 6; 13 a 20; τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται 11 b 23; μάθησις γάρ, καὶ λέγεται μεταφορά 12 a 25; δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον 12 b 26**; περὶ οὗ γὰρ πολλὰ λέγεται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι 14 a 4; λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ ψόγου 14 b 30; λέγεται δὲ ταῦτα ἔκ τε τοῦ λέγοντος κ. τ. α. 15 a 26*; ἐπεὶ δ' εὖ λέγεται 15 b 26; λέγεται δὲ ἐξ ἀντιπαραβολῆς τοῦ ἐναντίου 19 b 33; ἐξ ὧν μὲν οὖν **λέγονται** αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτικαί, εἴρηται 58 a 1; ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες 68 a 34; εἰσὶν δὲ τοιαῦται ὅσαι εἶναι λέγονται φύσει [ἐπιθυμίαι] 70 a 20; καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται ἢ ὑπὸ ποιητῶν ἢ λογογράφων 88 b 21; ἀεὶ γὰρ ἐκ δυοῖν λέγονται [αἱ εἰκόνες]

12 b 36 ; ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως **λέγηται**, μήτε περὶ εὐτελῶν σεμνῶς 08 a 12 ; ἐὰν δ' οὖν τὰ μαλακὰ σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται 08 b 10 ; ἐὰν ἀντικειμένως λέγηται 10 b 29 ; μᾶλλον δὲ σαφὲς ἔσται τὸ **λεγόμενον** διὰ πλειόνων ῥηθέν 58 a 10 ; « οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον » 95 a 31 ; λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι 03 a 12 ; εὐδοκιμεῖ γὰρ τοῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον ταῖς ἀνάλογον 08 a 8 ; ἂν μὴ τὸ πρᾶγμα τὸ λεγόμενον τελειωθῇ 09 a 32 ; εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον 12 b 26 (*supra*) ; ἐν ὅσαις [γνώμαις] ἐμφαίνεται τοῦ **λεγομένου** τὸ αἴτιον 94 b 22 ; χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσι 95 b 6 ; κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων 10 b 27 ; τούτου δ' ἅμα λεγομένου δεῖ δῆλον εἶναι 12 a 32 ; τοῦτο δ' ἐστὶ ταὐτὸ τῷ **λεγομένῳ** τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας 99 a 27 ; καὶ οἱ ἄλλοι οἱ **λεγόμενοι** κατὰ τὰς ἕξεις πράττειν 69 a 16 ; ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν **λεγόμενα** τῶν κατὰ μέρος καὶ ἰδίων 58 a 27 ; ἀλλ' ὅσων ἢ ἅμα **λεγομένων** ἡ γνῶσις γίνεται 10 b 24 ; ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει **λεγομένους** λόγους καὶ τοὺς ὁμοίους 90 a 26 ; τὰς δ' ἅμα **λεγομένας** [γνώμας] δήλας εἶναι ἐπιβλέψασιν 94 b 14 ; ὅτι οὐκ ἂν **ἐλέγετο** Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες 02 b 2 ; δεῖ δὲ ἀμφότερα προσηκόντως **λεχθῆναι** 12 b 4 ; ὥσπερ **ἐλέχθη** ἐν τοῖς πρώτοις 03 a 3 ; ἐκ παραβολῆς ἢ κατὰ φύσιν ὡς ἐλέχθη 20 b 1 ; ὅταν οὕτω **λεχθῇ** ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα 56 a 5 ; ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ εὐδοκιμεῖ μᾶλλον 12 b 23 ; ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ **λεχθέν** 57 b 8 ; οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται 68 a 5 ; ὃ λεχθέν, δῆλόν ἐστιν ὅτι συγγενές 05 a 36 ; **λεχθέντος** δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή 00 a 28 ; οἱ δὲ τῶν ῥητόρων [λόγοι], εὖ **λεχθέντες**, ἰδιωτικοὶ ἐν ταῖς χερσίν 13 b 16 ; ὅσαι [εἰκόνες] ἂν εὐδοκιμῶσιν ὡς μεταφοραὶ λεχθεῖσαι 07 a 13. — Voir ἀγορεύειν, εἰπεῖν, ἐρεῖν, λεκτέον, φάναι.

λεία (ἡ), butin, proie : καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν παροιμίαν τούτους Μυσῶν **λείαν** 72 b 33 (prov.).

λειμών (ὁ), pré, prairie : εἶπεν αὐτοῖς λόγον [ὁ Στησίχορος] ὡς ἵππος κατεῖχε **λειμῶνα** μόνος 93 b 13.

λείπειν, laisser ; **λείπεσθαι**, être laissé (en arrière), rester : οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν 88 a 13 ; **λείπεται** δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον διεκνύναι 03 a 12 ; λείπεται δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν 09 a 2. — Voir ἐλλείπειν.

λειτουργεῖν, exercer une « liturgie », se charger d'un service public : οἷον ὁ Ἰφικράτης τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι... 99 a 37.

λεκτέον, il faut dire, il faut parler *ou* traiter de : ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος 63 b 6 ; τό τε « γνώμῃ τῇ ἀρίστῃ » λεκτέον ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ... 75 b 17 ; ἐκ τῶν αὐτῶν τόπων λεκτέον ἐξ οἵων περ καὶ τὰ ἐνθυμήματα λέγομεν 76 a 32 ; ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον ὅπως λεκτέον, καὶ συνδυαζομένων πῶς λεκτέον δῆλον, ... 77 a 30* ; περὶ δ' εὐνοίας καὶ φιλίας ἐν τοῖς περὶ τὰ πάθη λεκτέον 78 a 19 ; ἐκ τούτων τῶν τόπων λεκτέον 80 b 32 ; ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων, ἀλλ' ἐκ τῶν ὡρισμένων λεκτέον 95 b 32 ; πόθεν λέγεται τὰ ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον 10 b 7 ; λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο 11 b 23 ; ὥστε ὅπου ἂν ᾖ καιρός,

λεκτέον · « καί μοί προσέχετε τὸν νοῦν ·... » 15 b 12 ; ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς 18 a 38 ; ὕστερον δὲ λέγοντα πρῶτον πρὸς τὸν ἐναντίον λόγον λεκτέον 18 b 13 ; ἀρχὴ δὲ διότι ἃ ὑπέσχετο ἀποδέδωκεν, ὥστε ἅ τε καὶ δι' ὃ λεκτέον 19 b 33. — Voir λέγειν.

λεκτικός, ή, όν, qui convient au dialogue, à la conversation : τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνός, ἀλλὰ **λεκτικῆς** ἁρμονίας δεόμενος 08 b 33.

λέξις (ἡ), parole, langage, style, expression, élocution, manière de s'exprimer : ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλῦον, τὸ δὲ μὴ κωλῦον μετατεθῇ 68 a 8 ; ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος 01 a 7 ; διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου, καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα. Τοῦτο δ' οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου καὶ ποιήσεως λέξις ἐστίν 04 a 26-29 ; διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς, οὗτοι γὰρ ψοφώδεις 06 b 2 ; τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον 08 a 10 ; παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις, ἐὰν δὲ ἀσεβῆ καὶ αἰσχρά, κ. τ. α. 08 a 16 ; πιθανοῖ δὲ τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις 08 a 20 ; ὁ δ' ἴαμβος αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πόλλων 08 b 34 ; ἡ μὲν οὖν εἰρομένη λέξις ἡ ἀρχαία ἐστίν · « Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδεξις » 09 a 28 ; κατεστραμμένη δὲ [λέξις] ἡ ἐν περιόδοις 09 a 36 ; τοῦτο δὲ ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον 09 b 6 ; ἔστιν δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ καὶ ἡ εἰρημένη περίοδος, ἀλλ' ὅλη 09 b 14 ; ἡδεῖα δὲ ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παρ' ἄλληλα μᾶλλον γνώριμα, καὶ ὅτι ἔοικε συλλογισμῷ 10 a 21 ; δεῖ δὲ μὴ λεληθέναι ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει λέξις · οὐ γὰρ ἡ αὐτὴ γραφικὴ καὶ ἀγωνιστική, οὐδὲ δημηγορικὴ καὶ δικανική 13 b 4 ; ἔστι δὲ λέξις γραφικὴ μὲν ἡ ἀκριβεστάτη, ἀγωνιστικὴ δὲ ἡ ὑποκριτικωτάτη. Ταύτης δὲ δύο εἴδη · ἡ μὲν γὰρ ἠθική, ἡ δὲ παθητική 13 b 8 ; ἡ μὲν οὖν δημηγορικὴ λέξις καὶ παντελῶς ἔοικεν τῇ σκιαγραφίᾳ · ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα, διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμφοτέροις · ἡ δὲ δικανικὴ ἀκριβεστέρα, ἔτι δὲ μᾶλλον ἡ ἑνὶ κριτῇ 14 a 8-[11] ; ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις γραφικωτάτη · τὸ γὰρ ἔργον αὐτῆς ἀνάγνωσις · δευτέρα δὲ ἡ δικανική 14 a 18 ; καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς **λέξεως** 01 a 8 ; λοιπὸν δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως 03 b 2 ; περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν 03 b 15 ; τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ 04 a 8 ; ὥστε φανερὸν ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεως ἔστιν εἰπεῖν ἀκριβολογητέον ἡμῖν, ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν 04 a 37 ; ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι 04 b 1 ; ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν · τοῦτο δ' ἐστὶν ἐν πέντε 07 a 20 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε 07 b 26 ; τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι μήτε ἄρρυθμον 08 b 21 ; ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά 08 b 29 ; ἡ μὲν οὖν εἰρομένη τῆς λέξεώς ἐστιν ἥδε, κατεστραμμένη δὲ ἡ ἐν περιόδοις 09 a 35 ; τῆς δὲ ἐν κώλοις λέξεως ἡ μὲν διῃρημένη ἐστίν, ἡ δὲ ἀντικειμένη 09 b 33 ; τὸ μὲν οὖν εἶδος τὸ αὐτὸ τῆς λέξεως τούτων, ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ εὐδοκιμεῖ μᾶλλον 12 b 22 ; τὸ δὲ ἡδεῖαν εἶναι [τὴν λέξιν] ποιήσει δηλονότι τὰ εἰρημένα, εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως 14 a 23 ; περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος 14 a 29 ; τελευτῇ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος, ἀλλὰ μὴ λόγος ᾖ 20 b 3 ; ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ **λέξει** ἐγκώμια γίγνεται 68 a 1 ; ταῦτα ὡς ὑποθήκας λέγοντας

τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν 68 a 3 ; δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν συνδηλοῦν, εἰ δὲ μή, τὴν αἰτίαν ἐπιλέγειν 95 a 28 ; ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 8 ; δεύτερον δὲ τὸ ταῦτα τῇ λέξει διαθέσθαι 03 b 20 ; τὸ δὲ « ὥσπερ τὸ καὶ τό » ὑπερβολὴ τῇ λέξει διαφέρουσα 13 a 25 ; εἷς μὲν [τόπος] ὁ παρὰ τὴν **λέξιν** 01 a 2 ; ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου 03 b 8 ; τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν 03 b 36 ; καὶ ἔστι φύσεως τὸ ὑποκριτικὸν εἶναι, καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον 04 a 16 ; οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν 04 a 19 ; ἐπεὶ δ' οἱ ποιηταί, λέγοντες εὐήθη, διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι τήνδε τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις 04 a 25-26 ; ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσιν καὶ πρὸς τὴν λέξιν 04 b 10 ; τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν 04 b 33 ; τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν 05 b 35 ; ἐξαλλάττει γὰρ τὸ εἰωθὸς [τὰ ἐπίθετα] καὶ ξενικὴν ποιεῖ τὴν λέξιν 06 a 15 ; ὅτι μὲν οὖν εὔρυθμον δεῖ εἶναι τὴν λέξιν καὶ μὴ ἄρρυθμον... εἴρηται 09 a 22 ; τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην καὶ τῷ συνδέσμῳ μίαν, ... ἢ κατεστραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις 09 a 25 ; λέγω δὲ περίοδον λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτὴν καὶ μέγεθος εὐσύνοπτον · ἡδεῖα δ' ἡ τοιαύτη καὶ εὐμαθής 09 a 37 ; ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα ταῦτ' εἶναι ἀστεῖα ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν 10 b 20 ; κατὰ δὲ τὴν λέξιν [εὐδοκιμεῖ] τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται 10 b 28 ; τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ εἶναι καὶ μεγαλοπρεπῆ, περίεργον 14 a 20.

Λεόφρων *ou* **Λεώφρων**, Léophron (?) : 75 b 31 *var*.

Λεπτίνης (ὁ), Leptine : καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἂν περιϊδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην 11 a 5.

λεπτός, ή, όν, léger, mince : καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν **λεπτὸν** λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει 07 a 10.

Λευκοθέα (ἡ), Leucothée : οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ **Λευκοθέᾳ** καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 7.

λευκός, ή, όν, blanc : εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν τέτακται τῶν τοιούτων ἀκολουθεῖν 69 a 25 ; ἐν μὲν γὰρ ποιήσει πρέπει « γάλα **λευκὸν** » εἰπεῖν 06 a 12.

Λεωδάμας (ὁ), Léodamas : ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν · οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου 64 a 19 ; οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν Τριάκοντα · οὐκ ἐνδέχεσθαι ἔφη · μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς Τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον 00 a 33.

λέων (ὁ), lion : ὅταν μὲν γὰρ εἴπῃ τὸν Ἀχιλλέα « ὡς δὲ λέων ἐπόρουσεν », εἰκών ἐστιν, ὅταν δὲ « λέων ἐπόρουσε », μεταφορά · διὰ τὸ γὰρ ἄμφω ἀνδρείους εἶναι, προσηγόρευσε μετενέγκας **λέοντα** τὸν Ἀχιλλέα 06 b 21-22-23 (cf. *Iliade*, XX, 164).

λήθη (ἡ), oubli : ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν · ὀλιγωρίας γὰρ δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι · δι' ἀμέλειαν μὲν γὰρ ἡ λήθη γίγνεται, ἡ δ' ἀμέλεια ὀλιγωρία τίς ἐστιν 79 b 34-35-36.

λήμη (ἡ), chassie : καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε, τὴν **λήμην** τοῦ Πειραιέως 11 a 16.

λῆμμα (τὸ), gain, profit, prise, acquisition : καὶ ὅσοις τὰ μὲν ἀδικήματα **λήμματα**, αἱ δὲ ζημίαι ὀνείδη μόνον 72 b 2.

ληπτέος, α, ον, qu'il faut prendre, définir, interpréter : ὁ δὲ παιὰν ληπτέος · ἀπὸ μόνου γὰρ οὐκ ἔστι μέτρον 09 a 8 ; καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν **ληπτέον** 58 a 30 ; πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ ὁ συμβουλεύων συμβουλεύει 59 a 30 ; ληπτέον ἂν εἴη τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς 62 a 20 ; περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτων ληπτέον τὰς πίστεις 63 b 4 ; τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις 66 a 31 ; ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον 67 a 32 ; διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον 67 b 25 ; ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα 69 b 28 ; ὅθεν μὲν οὖν φρόνιμοι καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον 78 a 17 ; ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται 80 a 7 ; φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσιν 93 a 15 ; τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον 96 a 27 ; ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον 99 b 13.

ληρώδης, ης, ες, bavard, radoteur : δεῖ δὲ εἰδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι · εἰ δὲ μή, γίνεται κενὸν καὶ **ληρῶδες**, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ 14 b 17.

λῃστής (ὁ), voleur, brigand, pirate : καὶ οἱ μὲν **λῃσταὶ** αὑτοὺς ποριστὰς καλοῦσι νῦν 05 a 25.

λῆψις (ἡ), prise, acquisition : καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ μείζονος λῆψις καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος · ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τούτῳ γίνεται τοῦ μὲν λῆψις, τοῦ δ' ἀποβολή 62 a 38-62 b 2 ; τῶν μὲν γὰρ ἡ λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς Χαλκηδονίους 72 b 27 ; τούτων δὲ κειμένων ἀνάγκη τάς τε **λήψεις** τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς 62 a 35.

λίαν, trop, à l'excès, tout à fait : καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς 72 a 23 ; καὶ οὔτε σφόδρα θαρροῦντες, ... οὔτε λίαν φοβούμενοι 90 a 30 ; εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέστερον, ἢ περὶ λίαν μικρῶν 04 b 16* ; αἵ τε λίαν βραχύκωλοι οὐ περίοδος γίνεται 09 b 31.

λιβανωτός (ὁ), encens : καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν **λιβανωτῷ** εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει 07 a 11.

Λιβυκοὶ λόγοι (οἱ), *Fables Libyennes* : τούτου δὲ ἓν μὲν παραβολή, ἓν δὲ λόγοι, οἷον οἱ Αἰσώπειοι καὶ Λιβυκοί 93 a 31.

λιθόδερμος, ος, ον, qui a la peau dure comme pierre : [πολλοὶ μὲν γὰρ παχύφρονες οἱ καὶ **λιθόδερμοι** καὶ ταῖς ψυχαῖς ὄντες δυνατοὶ γενναίως ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις 77 a 7-8].

λίθος (ὁ), pierre : ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς · ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον, ὁ ἀναισχυντῶν πρὸς τὸν ἀναισχυντούμενον 12 a 6 ; καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς **λίθους** δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα 06 b 34.

Λικύμνιος (ὁ), Licymnios : κάλλος δὲ ὀνόματος τὸ μὲν ὥσπερ Λικύμνιος λέγει, ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως 05 b 6 ; βαστάζονται δὲ οἱ ἀναγνωστικοί, οἷον Χαιρήμων, ... καὶ Λικύμνιος τῶν διθυραμ-

βοποιῶν 13 b 14; δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι · εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ, ἐπούρωσιν ὀνομάζων καὶ ἀποπλάνησιν καὶ ὄζους 14 b 17.

λιλαίεσθαι, désirer vivement : « ἐν γαίῃ ἵσταντο **λιλαιόμενα** χροὸς ἆσαι » 12 a 2 (= *Iliade*, XI, 574).

λιμήν (ὁ), port : καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν · ἑνὸς ὄντος **λιμένος** ὅμως λέγουσιν · « **Λιμένας** ἐς Ἀχαϊκούς » 07 b 33-34 (= Nauck, TGF, *fragm. adespot.* n° 83, p. 855).

λιτός, ή, όν, uni, simple, sans apprêts : καὶ ἁπλούστερος ὁ λόγος οὗτος, ἐκεῖνος δὲ ποικίλος καὶ οὐ λιτός 16 b 26.

λογίζεσθαι, calculer, raisonner : ἔστιν δὲ τὸ ἔργον αὐτῆς [sc. τῆς ῥητορικῆς] περί τε τοιούτων περὶ ὧν βουλευόμεθα καὶ τέχνας μὴ ἔχομεν, καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν, οὐδὲ λογίζεσθαι πόρρωθεν 57 a 4.

λογικός, ή, όν, qui convient au raisonnement, logique : προσλαβὼν περὶ ποῖά τέ ἐστι τὸ ἐνθύμημα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς **λογικοὺς** συλλογισμούς 55 a 13.

λόγιον (τὸ), réponse d'oracle : καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ, τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ **λογίων** 83 b 6.

λογισμός (ὁ), compte, calcul, raisonnement, réflexion : τῷ γὰρ ἤθει ζῶσιν [οἱ νέοι] μᾶλλον ἢ τῷ λογισμῷ, ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ τοῦ καλοῦ 89 a 34*; καὶ μᾶλλον ζῶσιν [οἱ πρεσβύτεροι] κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος · ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος, τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν 90 a 16*; **λογισμῷ** 89 a 34 (*supra*); τό τε γὰρ ἐν δυνάμει καὶ ἐν βουλήσει ὂν ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα 93 a 3; ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ **λογισμόν**, διὰ θυμόν, δι' ἐπιθυμίαν 69 a 6; ἢ γὰρ διὰ λογισμὸν ἢ διὰ πάθος 69 a 18; διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος 69 b 7; 90 a 16 (*supra*); βίᾳ δὲ ὅσα παρ' ἐπιθυμίαν ἢ τοὺς **λογισμοὺς** γίγνεται δι' αὐτῶν τῶν πραττόντων 69 b 5.

λογιστικός, ή, όν, qui concerne le calcul ou le raisonnement, logique : τὰ μὲν δι' ἔθος, τὰ δὲ δι' ὄρεξιν, τὰ μὲν διὰ **λογιστικὴν** ὄρεξιν, τὰ δὲ δι' ἄλογον 69 a 2.

λογογράφος (ὁ), logographe, prosateur, historien en prose : βαστάζονται δὲ οἱ ἀναγνωστικοί, οἷον Χαιρήμων, ἀκριβὴς γὰρ ὥσπερ λογογράφος 13 b 13; πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ **λογογράφοι** · « τίς δ' οὐκ οἶδεν; » · « ἅπαντες ἴσασιν » 08 a 34; καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια ἢ ὑπὸ ποιητῶν ἢ **λογογράφων** 88 b 21.

λόγος (ὁ), récit, discours, fable, énoncé, exposé, argument, raison : διδασκαλίας γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος 55 a 26; διὰ μὲν οὖν τοῦ ἤθους, ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα 56 a 5; σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος καὶ περὶ οὗ λέγει καὶ πρὸς ὅν, καὶ τὸ τέλος πρὸς τοῦτόν ἐστιν, λέγω δὲ τὸν ἀκροατήν 58 a 38; ἔστιν δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς 67 b 27; ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος 87 b 19; ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν 91 b 16; λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φαλάριδος καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ 93 b 8; ἀποβλέποντα μὴ εἰς ἀόριστα, ἀλλ' εἰς τὰ ὑπάρχοντα περὶ ὧν ὁ λόγος 96 b 7; ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος, οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν 01 a 28; σημεῖον γὰρ ὅτι ὁ λόγος, ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον 04 b 2; πλέον

γὰρ ἐξέστηκεν περὶ ἃ καὶ περὶ οὓς ὁ λόγος 04 b 14 ; ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγος συνέστηκεν 04 b 26 ; τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν [τῶν μεταφορῶν], ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων 05 a 6-7 ; οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος 06 a 36 ; ὁ μὲν οὖν λόγος συντίθεται ἐκ τούτων 07 a 19 ; ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνονται καὶ ἀναβολῇ ὅμοιον 09 b 25 ; ἀλλ' ὁ ἐπίλογος ἔτι οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος ἢ τὸ πρᾶγμα εὐμνημόνευτον 14 b 6 ; εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς 15 a 2 ; ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι [τὸ προοίμιον] δεῖγμά ἐστιν τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ ἦν ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια 15 a 12*-13 ; δηλῶσαι τί ἐστιν τὸ τέλος οὗ ἕνεκα ὁ λόγος 15 a 24 ; προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν · διὸ δεῖ ἐμποιεῖν ὡς περὶ τοιούτων ὁ λόγος 15 b 3 ; δεῖ μὲν γὰρ τὰς πράξεις διελθεῖν ἐξ ὧν ὁ λόγος · σύγκειται γὰρ ἔχων ὁ λόγος τὸ μὲν ἄτεχνον, ... τὸ δ' ἐκ τῆς τέχνης 16 b 18-19 ; καὶ ἁπλούστερος ὁ λόγος οὗτος, ἐκεῖνος δὲ ποικίλος καὶ οὐ λιτός 16 b 25 ; καὶ ὃ ἔλεγεν Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος 18 a 35 ; οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος 19 a 24 ; τελευτῇ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος, ἀλλὰ μὴ λόγος ᾖ 20 b 4 ; τῶν δὲ διὰ τοῦ **λόγου** ποριζομένων πίστεων τρία εἴδη ἐστίν 56 a 1 ; δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ προδεδοξάσθαι ποιόν τινα εἶναι τὸν λέγοντα 56 a 9 ; διὰ δὲ τῶν ἀκροατῶν [πιστεύουσιν], ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου προαχθῶσιν 56 a 14 ; ἀλλ' ἐκείνη μὲν [ἡ διαλεκτική] ἐκ τῶν λόγου δεομένων συλλογίζεται, ἡ δὲ ῥητορικὴ ἐκ τῶν ἤδη βουλεύεσθαι εἰωθότων 56 b 37 ; ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ... 66 a 9 ; τῶν δὲ ἐπιθυμιῶν αἱ μὲν ἄλογοί εἰσιν, αἱ δὲ μετὰ λόγου 70 a 19 ; μετὰ λόγου δὲ ὅσα ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσιν 70 a 25 ; οὔτε βλάψειν ὑπολαμβάνει... οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου 78 b 22 ; περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου 91 b 8 ; καὶ διὰ τοῦ λόγου δῆλον ὅτι ἀδύνατον ἄλλως δεικνύναι 96 b 2 ; καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων, ἀλλὰ λόγου εἰσὶν ἄξιοι · τὸ γὰρ « λόγου ἄξιον » οὐχ ἁπλῶς λέγεται 01 a 23-24* ; 03 b 8 (*infra*) ; τοῦτο δ' οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου καὶ ποιήσεως λέξις ἐστίν 04 a 28 ; αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή 04 b 37 ; καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι 07 a 15 ; φησὶ γὰρ « τοῦ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίγνονται » 07 b 16 (= Héraclite, *fr.* 22 A 4, D-K, t. I, p. 144-145) ; εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα 07 b 29 ; ἔστι δὲ τοῦ λόγου δύο μέρη · ἀναγκαῖον γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τοῦτ' ἀποδεῖξαι 14 a 31 ; διήγησις γάρ που τοῦ δικανικοῦ μόνου λόγου ἐστίν, ἐπιδεικτικοῦ δὲ καὶ δημηγορικοῦ πῶς ἐνδέχεται εἶναι διήγησιν οἵαν λέγουσιν, ἢ τὰ πρὸς τὸν ἀντίδικον, ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν ; 14 a 38 ; τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον 14 b 19 ; 15 a 12 (*supra*) ; δεῖ δὲ μὴ λανθάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα 15 b 5 ; τὰ δὲ τοῦ δημηγορικοῦ [προοίμια] ἐκ τῶν τοῦ δικανικοῦ λόγου ἐστί, φύσει δὲ ἥκιστα ἔχει 15 b 33 ; οὕτως τὰ αὐτοῦ, καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου 20 b 2 ; πρὸς δὲ τούτοις ἄτοπον εἰ τῷ σώματι μὲν αἰσχρὸν μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ, **λόγῳ** δ' οὐκ αἰσχρόν 55 b 1 ; αἱ δὲ [πίστεις] ἐν αὐτῷ τῷ λόγῳ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι 56 a 4 ; καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι ἢ ἔργῳ 74 b 19 ; καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν [ὀργίζονται], ἄν τι ὀλιγωρῶσι, μᾶλλον 79 b 10 ; δῆλον δ' ὅτι δέοι ἂν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν 80 a 2 ; διὸ δεῖ τῷ λόγῳ προκολάζειν 80 b 19 ;

ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστί, ... ἔστι δ' ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ 91 b 7-9 ; τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τὰ ἐναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται, ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς 91 b 13-14 ; ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν [οἱ τὰς τραγῳδίας ποιοῦντες] διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων 04 a 32 ; ἡ γὰρ ποιητικὴ ἴσως οὐ ταπεινή, ἀλλ' οὐ πρέπουσα λόγῳ 04 b 5 ; 05 a 6 (*supra*) ; ἐν μὲν γὰρ ποιήσει πρέπει « γάλα λευκὸν » εἰπεῖν, ἐν δὲ λόγῳ, τὰ μὲν ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ κατακορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησίς ἐστιν 06 a 12 ; χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ · ποιητικὸν γάρ 06 b 24 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε · τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον. Εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα. Καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές, ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ τὸ αἰσχρόν, τοὔνομα λέγειν, ἐὰν δ' ἐν τῷ ὀνόματι, τὸν λόγον 07 b 26-29-30-31 ; οἷον Γοργίας μὲν ἐν τῷ Ὀλυμπικῷ λόγῳ 14 b 31 ; δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ 15 a 8 ; ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ 15 a 15 ; δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ 18 b 17 ; ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως 19 a 21 ; πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν **λόγον** καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν 54 a 5 ; διὰ δὲ τὸν λόγον πιστεύουσιν, ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν 56 a 19 ; ἔστιν δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη 62 a 7 ; ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον 62 a 14 ; καὶ μὴ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν [ἐπιεικές] 74 b 12 ; ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὑτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν 77 b 22 ; λόγον δὲ ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, κ. τ. α. 84 a 25 ; 91 b 14 (*supra*) ; τἆλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον [Στησίχορος] ὡς ἵππος κατεῖχε λειμῶνα μόνος 93 b 12 ; 01 a 23 (*supra*) ; καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἐστίν 02 a 24 ; ἐπεὶ δὲ δὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον 03 a 32 ; ἐπειδὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου 03 b 6-8 ; καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον 03 b 18 ; ἐπεὶ τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 4 ; ἔτι δὲ τρίτον... ὃ λύει τὸν σοφιστικὸν λόγον 05 b 8 ; 07 b 31 (*supra*) ; διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή · ποίημα γὰρ ἔσται 08 b 30 ; καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος 14 a 7 ; ἅμα δὲ καὶ ἐὰν ἐκτοπίσῃ, ἁρμόττει, καὶ μὴ ὅλον τὸν λόγον ὁμοειδῆ εἶναι 14 b 29 ; « Ἠγεό μοι λόγον ἄλλον, ὅπως Ἀσίας ἀπὸ γαίης... » 15 a 17 (= Choerilos de Samos, *Perséide*, *fr.* 1) ; ἐκεῖ γὰρ αὐτῶν δεδωκέναι λόγον, ἢ δώσειν εἰ βούλεται κατηγορεῖν 16 a 35 ; οὐδ' ὅταν ἠθικὸν τὸν λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα 18 a 16 ; ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ 18 a 33 ; καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι ἢ τὸν λόγον ἀκριβῆ 18 b 1 ; ὕστερον δὲ λέγοντα πρῶτον πρὸς τὸν ἐναντίον λόγον λεκτέον 18 b 13 ; ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον 18 b 16 ; πιθανοὶ μὲν οὖν οὐχ ἧττον οἱ **λόγοι** οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοὶ 56 b 24 ; διαιρετέον... περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι 59 a 29 ; ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον πῶς

χρώμενοι τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ καὶ οἱ λόγοι 90 a 26-27* ; τούτου δὲ ἓν μὲν παραβολή, ἓν δὲ λόγοι, οἷον Αἰσώπειοι καὶ Λιβυκοί 93 a 30 ; εἰσὶ δ' οἱ λόγοι δημηγορικοί, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον 94 a 2-4 ; ἦθος δὲ ἔχουσιν οἱ λόγοι ἐν ὅσοις δήλη ἡ προαίρεσις 95 b 13 ; οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν 04 a 18 ; καὶ παραβαλλόμενοι οἱ μὲν τῶν γραφικῶν ⟨λόγοι⟩ ἐν τοῖς ἀγῶσι στενοὶ φαίνονται, οἱ δὲ τῶν ῥητόρων, εὖ λεχθέντες, ἰδιωτικοὶ ἐν ταῖς χερσίν 13 b 15 ; ἄτοπον γὰρ εἰ ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί 16 a 28 ; διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν (τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν), ἀλλ' οἱ Σωκρατικοί 17 a 20 ; νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν **λόγων** συντιθέντες οὐδὲν ὡς εἰπεῖν πεπορίκασιν αὐτῆς [τῆς τέχνης] μόριον 54 a 12 ; εἰ δ' ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων... 55 b 3 ; τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες 58 a 37 ; ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν 58 b 7 ; εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων 59 b 16 ; κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων 72 a 11 ; καὶ ὅτι οὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι 76 a 23 ; περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν 76 a 33 ; ὡς περὶ ἕκαστον εἰπεῖν ἰδίᾳ τὸ γένος τῶν λόγων 77 b 20 ; ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστι 91 b 7 (*supra*) ; ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος, περὶ ἁπάντων δ' αὐτῶν... 91 b 22 ; ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων 91 b 30 ; ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν 93 a 13 ; ῥᾴω μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων 94 a 6 ; εἴ τι ἀνομολογούμενον ἐκ τόπων καὶ χρόνων καὶ πράξεων καὶ λόγων 00 a 18 ; τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν 04 b 33 ; « τελεσφόρον τὴν πειθὼ τῶν λόγων κατέστησε » 06 a 3 (Alcidamas) ; ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος 09 a 6 ; καὶ ὡς Ἰφικράτης εἶπεν · « ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν » 11 b 2 ; τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων 15 a 5 ; καὶ ὅπως ἄλλου χρωμένου μὴ δικαίως [τοῖς **λόγοις**] αὐτοῖς λύειν ἔχωμεν 55 a 33 ; ὁμοία δ' ἐστὶν [ἡ ῥητορικὴ] τὰ μὲν τῇ διαλεκτικῇ, τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις 59 b 12 ; ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις, ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς 68 a 27 ; 90 a 27 (*supra*) ; πᾶσι γὰρ ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις 91 b 28 ; χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις 94 a 21 ; ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν 04 b 14 ; καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν ποιήσει καὶ ἐν λόγοις 05 a 5 ; καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις δεῖ οὕτως γράφειν 14 b 25 ; 15 a 12 (*supra*) ; ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς **λόγους** 55 a 28 ; ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους 56 a 33 ; ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους 71 b 23 ; ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ ἀνθρώπους καὶ λόγους καὶ ἔργα 72 a 1 ; ἐκ γὰρ τῶν εἰρημένων ἀνάγκη συγκεῖσθαι, ὥστε καὶ τοὺς λόγους συγκεῖσθαι ἐκ τῶν εἰρημένων 77 b 2 ; καὶ τὰς πράξεις καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων [ἐλεεινότερα] 86 b 3 ; 90 a 26 (*supra*) ; ὥστε διωρισμένον ἂν εἴη πῶς τε καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον 91 b 21 ; ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται 91 b 26 ; 94 a 4 (*supra*) ; ἔχουσι δ' [αἱ γνῶμαι] εἰς τοὺς λόγους βοήθειαν μεγάλην μίαν μὲν διὰ τὴν φορτικότητα τῶν ἀκροατῶν 95 b 1 ; ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους [τὸ γνωμολογεῖν] 95 b 13.

λοιδορεῖν, injurier, insulter : εὖ οὖν **ἐλοιδόρησεν** εἰπὼν ὃ ἦν, ἀλλ' οὐχ ὃ ἔστιν 06 b 18 ; διὸ **λελοιδορῆσθαι** ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος · « Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον » 63 a 14.

λοιδορημάτιον, petite injure, insulte en miniature : ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις... ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον 05 b 32.

λοιδορία (ἡ), diffamation, injure : ἀντὶ δὲ **λοιδορίας** λοιδορημάτιον 05 b 32 (Aristophane, *Les Babyloniens*) ; ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ **λοιδορίαν** ἢ ἀγροικίαν 18 b 25.

λοιπός, ή, όν, qui est de reste ; **λοιπόν**..., il reste à : τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος 68 a 28 ; λοιπὸν δ' εἰπεῖν τίνος ἕνεκα καὶ πῶς ἔχοντες ἀδικοῦσι καὶ τίνας 68 b 26 ; τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον [τοῖς πρεσβυτέροις], τὸ δὲ παρεληλυθὸς πολύ 90 a 7 ; λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν 91 b 27 ; λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν 93 a 23 ; ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα 93 b 30 (Ésope) ; λοιπὸν δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως 03 b 2 ; λοιπὸν δὲ περὶ τάξεως εἰπεῖν 14 a 30 ; ὥστε λοιπὸν ἀναμνῆσαι τὰ προειρημένα 19 b 27 ; οἷον ἰατρικὴ περὶ ὑγιεινῶν καὶ νοσερῶν... καὶ ἀριθμητικὴ περὶ ἀριθμῶν, ὁμοίως δὲ καὶ αἱ **λοιπαὶ** τῶν τεχνῶν καὶ ἐπιστημῶν 55 b 31 ; πάλιν οὖν οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν τὰ **λοιπά** 55 b 24 ; ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν 92 a 3 ; « ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ λοιπὰ κλέπτοντες » 94 a 1 (Ésope) ; ταῦτα μὲν οὖν ὕστερον ἐροῦμεν, νῦν δὲ περὶ τῶν **λοιπῶν** εἴπωμεν πρῶτον 69 a 31.

Λοκροί (οἱ), les Locriens : οἷον εἴ τις λέγει ὅ περ Στησίχορος ἐν **Λοκροῖς** εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν 95 a 1 (voir 12 a 23).

λόφος (ὁ), colline, hauteur : « Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος » 08 a 3 (= Antimaque, *Thébaïde*, *fr.* 2).

λύειν, réfuter, apporter une solution, délivrer : καὶ ὅπως ἄλλου χρωμένου μὴ δικαίως [τοῖς λόγοις] αὐτοῖς λύειν ἔχωμεν 55 a 33 ; ἔστιν δὲ λύειν ἢ ἀντισυλλογισάμενον ἢ ἔνστασιν ἐνεγκόντα 02 a 31 ; φανερὸν ὅτι τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων ἀεὶ ἔστι λύειν φέροντα ἔνστασιν 02 b 22 ; οὔκουν ἱκανὸν ἂν λύσῃ ὅτι οὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν ὅτι οὐκ εἰκός 02 b 34* ; οὐ γὰρ ὅτι οὐκ εἰκός, **λύει** ὁ ἐνιστάμενος, ἀλλ' ὅτι οὐκ ἀναγκαῖον 02 b 24 ; δῆλον γὰρ ὅτι λύει μὲν ἢ δείξας ἢ ἔνστασιν ἐνεγκών 03 a 24 ; ἔτι δὲ τρίτον... ὃ λύει τὸν σοφιστικὸν λόγον 05 b 8 ; **λύσῃ** 02 b 34 (*supra*) ; ὕστερον δὲ πρὸς τἀναντία ἀπαντᾶν **λύοντα** καὶ προδιασύροντα 18 b 9 ; λύοντα καὶ ἀντισυλλογιζόμενον 18 b 13 ; ὅθεν τε εὐπορήσομεν καὶ ὡς αὐτὰ **λύσομεν** 03 b 2 ; ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται **λῦσαι** τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον 57 b 7 ; ἔστι δὲ οὐ ταὐτὸ λῦσαι ἢ ὅτι οὐκ εἰκὸς ἢ ὅτι οὐκ ἀναγκαῖον 02 b 27 ; τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι 03 a 11 ; περὶ αὑτοῦ μὲν καὶ τοῦ ἀντιδίκου ὅσα περὶ διαβολὴν λῦσαι καὶ ποιῆσαι 15 a 29 ; ἔστι τὰ μὲν λῦσαι ἐνστάσει, τὰ δὲ συλλογισμῷ 18 b 6 ; τέταρτον δὲ ὅταν μὴ ἐνῇ ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον λῦσαι 19 a 14 ; **λύεται** δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα 03 a 2 ; λεχθέντος δὲ τοῦ αἰτίου, **ἐλύθη** ἡ διαβολή 00 a 28 ; ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω **λυθῇ**, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον 02 b 30 ; καὶ Ἰδριέα **λυθέντα** ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν 06 b 29 ; « καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτε οὐδέν, ἐγὼ δὲ καὶ πολλοὺς **λέλυμαι** ὑμῶν » 00 a 23 ; ἐάν

τε γὰρ ἔχωμεν ⟨ἐν⟩ τι οὐχ οὕτω, **λέλυται**, ὅτι οὐκ ἀναγκαῖον 03 a 6. — Voir ἄλυτος, διαλύειν, λύσις, λυτέον, λυτικός, λυτός.

Λύκειον (τὸ), le Lycée : οἷον ὁ ἐν **Λυκείῳ** τὸν φορμὸν δούς 85 a 27.

Λυκία (ἡ), la Lycie : « Δαλογενὲς εἴτε **Λυκίαν**... » 09 a 15 (Simonide?).

Λυκολέων (ὁ), Lycoléon : καὶ Λυκολέων ὑπὲρ Χαβρίου · « οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν » 11 b 6.

Λυκοῦργος (ὁ), Lycurgue : ὅτι Ἀθηναῖοι τοῖς Σόλωνος νόμοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς **Λυκούργου** 98 b 18.

Λυκόφρων (ὁ), Lycophron : τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων · « τὸν πολυπρόσωπον οὐρανόν », « τῆς μεγαλοκορύφου γῆς », καὶ « ἀκτὴν δὲ στενοπόρον » 05 b 36 ; μία δὲ [αἰτία] τὸ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων Ξέρξην « πέλωρον ἄνδρα » 06 a 6 ; καὶ ὁ εἰς Πειθόλαόν τις εἶπε καὶ **Λυκόφρονα** ἐν τῷ δικαστηρίῳ · « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται » 10 a 18.

λυπεῖν, affliger, causer du chagrin, faire de la peine (à) : τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 5 ; λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται 79 a 26 ; οὐδὲν γὰρ λυπεῖ ἡ παρουσία τῆς κακίας 82 a 11 ; μᾶλλον γὰρ **λυποῦσιν** οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι καὶ διὰ γένος 87 a 18 ; καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι 87 a 22 ; δῆλον γὰρ ὅτι παρ' αὐτοὺς οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ, ὥστε τοῦτο **λυποῦν** ποιεῖ τὸν φθόνον 88 a 20 ; οἷον εἰ δοίη ἄν τίς τινι ἵν' ἀφελόμενος **λυπήσῃ** 99 b 23 ; καὶ τοῖς μὴ φροντίζουσιν ἐὰν **λυπήσωσιν** · διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται 79 b 19 ; καὶ [πρᾶοί εἰσιν] τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις · ὡς γὰρ ἔχοντες δίκην τὸ **λυπεῖσθαι** ἐπὶ τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς 80 a 15 ; τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις ἀντικείμενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις 86 b 9-10 ; εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν 87 a 9 ; ὁ μὲν γὰρ ὀργιζόμενος **λυπεῖται**, ὁ δὲ μισῶν οὔ 82 a 13 ; ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν 87 a 1 ; οἱ δ' ὀργιζόμενοι **λυποῦνται** ἀνυπερβλήτως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν 70 b 31 ; γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες, τῶν ἐναντίων δὲ λυποῦνται 81 a 6 ; ὡς γὰρ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται 88 a 26 ; αὐτοὶ μὲν γὰρ [ὀργίζονται], ὅταν **λυπῶνται** · ἐφίεται γάρ τινος ὁ **λυπούμενος** 79 a 12-13 ; καὶ γὰρ ὁ κινδυνεύων ἐπιθυμεῖ καὶ ὁ λυπούμενος 85 a 25 ; ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίως κακοπραγοῦσιν ἡσθήσεται ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίως κακοπραγοῦσιν 86 b 24 ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις **λυπούμενοι** καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες 56 a 15 ; οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσιν τιμωρίας, οὐδεὶς ἂν **λυπηθείη** χρηστός 86 b 27. — Voir ἄλυπος, λύπη.

λύπη (ἡ), peine, chagrin : ὅταν μὴ μόνον παρόντος χαίρωσιν, ἀλλὰ καὶ μεμνημένοις [ἐρῶσιν] λύπη προσγένηται τῷ μὴ παρεῖναι ·... ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν 70 b 24 & 26 ; ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή 78 a 20 ; ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ λυπηροῦ 82 a 21 ; ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων 83 b 12 ; ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ ἢ λυπηρῷ

τοῦ ἀναξίου τυγχάνειν 85 b 13; λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶν καὶ ἐπὶ εὐπραγίᾳ 86 b 17; οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή 86 b 22; εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν 87 b 23; εἰ γάρ ἐστιν ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων 88 a 32; ῥᾴδια δὲ ὅσα ἢ ἄνευ **λύπης** ἢ ἐν ὀλίγῳ χρόνῳ · τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου 63 a 23-24; τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντα ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται μεγάλα, καὶ ἄνευ λύπης ὠφελεῖν 70 b 9; ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν 78 a 30; ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης 80 b 1; καὶ τὸ μὲν λύπης ἔφεσις, τὸ δὲ κακοῦ 82 a 8; καὶ τὸ μὲν μετὰ λύπης, τὸ δ' οὐ μετὰ λύπης · ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ μισῶν οὔ 82 a 12-13; δεήσεις δέ εἰσιν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου 85 a 22; **λύπῃ** 63 a 24 (*supra*); τοὺς μὲν δεικνύντας ἢ ὄντας ἢ γεγενημένους ἐν τοιαύτῃ λύπῃ καὶ δεήσει, τοὺς δὲ... 85 a 33; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, **λύπην** δὲ τοὐναντίον 69 b 35; ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην συντεινούσας 82 a 29; γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες, τῶν ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ **λῦπαι** καὶ αἱ ἡδοναί 81 a 7; οὐ γὰρ πάντα τὰ κακὰ φοβοῦνται, ... ἀλλ' ὅσα **λύπας** μεγάλας ἢ φθορὰς δύναται 82 a 24. — Voir ἄλυπος, λυπεῖν.

λυπηρός, ά, όν, qui cause de la peine ou du chagrin, affligeant, fâcheux, pénible : ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές, ἀλλ' ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ **λυπηρόν** 54 b 11; εἰ δ' ἐστὶν ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν 70 a 3; διὸ τὸ ἀναγκαῖον λυπηρόν 70 a 10; οὐ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ 70 b 30; καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον 72 b 11; καὶ οἷς ἂν τοὐναντίον τὸ μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δὲ ἡδὺ καὶ ὠφέλιμον ὕστερα καὶ χρονιώτερα 72 b 14; ἐὰν δὲ μὴ προσεκτικούς, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν 15 b 4; ἢ ἀντικαταλλάττεσθαι ἀδικοῦντα, εἰ βλαβερόν, ἀλλ' οὖν καλόν, εἰ λυπηρόν, ἀλλ' ὠφέλιμον, ἤ τι ἄλλο τοιοῦτον 16 a 13; ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ **λυπηροῦ** 82 a 22; ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ ἢ **λυπηρῷ** τοῦ ἀναξίου τυγχάνειν 85 b 14; περὶ μὲν οὖν ἡδέων εἰρήσθω ταῦτα, τὰ δὲ **λυπηρὰ** ἐκ τῶν ἐναντίων τούτοις φανερά 72 a 3; ἔστι δὲ τὰ μὲν λυπηρὰ αἰσθητὰ πάντα 82 a 10; τίθημι γάρ... ἐν τοῖς ἀγαθοῖς... καὶ τὴν τῶν **λυπηρῶν** ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν ἀντὶ μειζόνων ἐλαττόνων ἐν τοῖς ἡδέσιν ὡσαύτως 69 b 26; ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν φθαρτικά, πάντα ἐλεεινά 86 a 5; ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς **λυπηροῖς** μὴ διά τι ἕτερον ἀλλὰ δι' ἐκεῖνον 81 a 5; τὰς δ' ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς συντονίας λυπηράς 70 a 12. — Voir ἄλυπος, λύπη.

λυπηρῶς, en causant de la peine ou du chagrin, tristement : εὐγηρία δ' ἐστὶν βραδυτὴς γήρως μετ' ἀλυπίας · οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὐγήρως, οὔτ' εἰ μόγις μέν, λυπηρῶς δέ 61 b 28.

Λυσίας (ὁ), Lysias : voir l'index des citations.

λύσις, solution d'une question, réfutation par une contre-argumentation : ἡ δὲ λύσις φαινομένη, ἀλλ' οὐκ ἀληθὴς ἀεί 02 b 23; πρὸς δὲ τὰ παραδειγ-

ματώδη ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα 03 a 5 ; περὶ δὲ **λύσεως** ἐχόμενόν ἐστιν τῶν εἰρημένων εἰπεῖν 02 a 30 ; ἀποκρίνασθαι δὲ δεῖ... πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν **λύσιν** φέροντα εὐθὺς τῇ ἀποκρίσει 19 a 22 ; φανερὸν δ' ἡμῖν ἔστω ἐκ τῶν Τοπικῶν καὶ τοῦτο καὶ αἱ **λύσεις** 19 a 25 ; δηλωθέντων δὲ τούτων, περὶ τῶν **λύσεων** καὶ ἐνστάσεων διορίσωμεν, πόθεν δεῖ πρὸς τὰ ἐνθυμήματα φέρειν 97 a 5. — Voir λύειν.

λυσιτελεῖν, être utile, avantageux : καὶ οἷς μὴ **λυσιτελεῖ** διατρίβειν ἐπιτηροῦσιν ἢ δίκην ἢ ἔκτισιν, οἷον οἱ ξένοι καὶ αὐτουργοί 73 a 8 ; καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι τὸν ἰατρόν 75 b 21 ; ὅτι ὀλιγωρήσας τοῦ αὐτῷ **λυσιτελοῦντος** ἔπραξεν ὅ τι καλόν 59 a 2.

λυτέον, il faut dissiper, détruire : τὸν μὲν γὰρ ἀπολογούμενον, ὅταν μέλλῃ εἰσάξειν αὐτόν, ἀναγκαῖον ἀνελεῖν τὰ κωλύοντα, ὥστε λυτέον πρῶτον τὴν διαβολήν 15 a 33. — Voir λύειν.

λυτικός, ή, όν, propre à la réfutation : οὐδὲ τὰ **λυτικὰ** ἐνθυμήματος εἶδός τί ἐστιν [ἄλλο τῶν κατασκευαστικῶν] 03 a 22. — Voir λύειν.

λυτός, ή, όν, qui peut être résolu ou réfuté : τοῦτο μὲν οὖν σημεῖον, **λυτὸν** δέ, κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον · ἀσυλλόγιστον γάρ 57 b 13 ; λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ · ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν 57 b 19. — Voir λύειν.

λύχνος (ὁ), lampe : καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, **λύχνῳ** ψακαζομένῳ μύωπα · ἄμφω γὰρ συνάγεται 13 a 4 (*var.* λύκῳ).

λωβᾶσθαι, outrager, maltraiter : γέροντος δὲ [τὸ κάλλος] πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανόν, ἄλυπον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας **λωβᾶται** 61 b 14.

* * *

μαθηματικός, ή, όν, qui concerne les mathématiques : διὰ τοῦτο οὐκ ἔχουσιν οἱ **μαθηματικοὶ** λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν (τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν) 17 a 19.

μάθησις (ἡ), action d'apprendre, connaissance, intelligence d'une question : γίγνεται γὰρ οἷον μάθησις, ἐκείνως δὲ οὐδέτερον 10 b 26 ; καὶ τὰ εὖ ᾐνιγμένα διὰ τὸ αὐτὸ ἡδέα · μάθησις γάρ, καὶ λέγεται μεταφορά 12 a 25 ; τὸ δ' αἴτιον ὅτι ἡ μάθησις διὰ μὲν τὸ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν ὀλίγῳ θᾶττον γίνεται 12 b 24 ; τὰ δὲ ὀνόματα σημαίνει τι, ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν **μάθησιν**, ἥδιστα 10 b 12 ; ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους · ἄμφω γὰρ ἀπηνθηκότα 10 b 14 ; ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα ταῦτ' εἶναι ἀστεῖα ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν 10 b 21.

μαιμᾶν, être agité d'un vif désir : « αἰχμὴ δὲ στέρνοιο διέσσυτο **μαιμώωσα** » ... διὰ τὸ ἔμψυχα εἶναι ἐνεργοῦντα φαίνεται · τὸ ἀναισχυντεῖν γὰρ καὶ **μαιμᾶν** καὶ τὰ ἄλλα ἐνέργεια 12 a 3 & 5 (= *Iliade*, XV, 542). — Voir ἐνέργεια.

μάκαρ, μάκαιρα, μάκαρ, bienheureux : « ὦ **μάκαρ**, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν Ὀλύμπιοι » 01 a 18 (= Pindare, *Parthénée, fr.* 96 Snell = *fr.* 4 Puech).

μακαρισμός (ὁ), célébration du bonheur d'autrui, « béatification » : μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά, τούτοις δ' οὐ ταὐτά 67 b 33. — Voir ἐγκώμιον, ἔπαινος.

μακρόβιος, ος, ον, qui vit longtemps : πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν **μακρόβιοί** εἰσιν 61 b 33.

μακροβιότης (ἡ), longévité : ἔστιν δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις **μακροβιότητος** · πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν 61 b 32.

μακρόκωλος, ος, ον, aux membres longs : ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τὰς **μακροκώλους** λέγειν 09 b 30. — Opp. à βραχύκωλος.

μακρολογία (ἡ), prolixité : εἰς δὲ τὸ ἦθος, ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ **μακρολογίαν** ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν 18 b 24.

μακρός, ά, όν, long : οὗτος δ' ἐστὶν οὗ ἄρχει μὲν ἡ **μακρά**, τελευτῶσιν δὲ τρεῖς βραχεῖαι 09 a 14 ; ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσιν τρεῖς, ἡ δὲ μακρὰ τελευταία 09 a 16 ; « ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίστη » 09 b 29 (Démocrite de Chios) ; ἀλλὰ δεῖ τῇ **μακρᾷ** ἀποκόπτεσθαι, καὶ δήλην εἶναι τὴν τελευτὴν μὴ διὰ τὸν γραφέα... ἀλλὰ διὰ τὸν ῥυθμόν 09 a 19 ; δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε **μακρὰν** ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου 07 a 25 ; ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ **μακραὶ** οὖσαι λόγος γίνονται καὶ ἀναβολῇ ὅμοιον 09 b 25 ; τὰ δὲ **μακρὰ** ἀπολείπεσθαι ποιεῖ [τὸν ἀκροατὴν] 09 b 22 ; τρίτον δὲ [τὰ ψυχρὰ γίγνεται] ἐν τοῖς ἐπιθέτοις τὸ ἢ **μακροῖς** ἢ ἀκαίροις ἢ πυκνοῖς χρῆσθαι 06 a 11 ; δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε μυούρους εἶναι μήτε **μακράς** 09 b 18. — Voir βραχύς.

μακρῶς, longuement : ἄλλος [τόπος] τῷ διαβάλλοντι, τὸ ἐπαινοῦντα μικρὸν μακρῶς ψέξαι μέγα συντόμως 16 b 5 ; δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν 16 b 33-34 ; ἔστι γὰρ ἡ εἰκών... μεταφορὰ διαφέρουσα προθέσει · διὸ ἧττον ἡδύ, ὅτι **μακροτέρως** 10 b 19. — Voir συντόμως.

μαλακία (ἡ), mollesse : καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι · πάντα γὰρ **μαλακίας** σημεῖα 84 a 2.

μαλακός, ή, όν, mou, efféminé, lâche : περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ... ὁ δὲ μαλακὸς περὶ τὰ ῥάθυμα 68 b 18 ; ἔστι δὲ ἡ σεμνότης **μαλακὴ** καὶ εὐσχήμων βαρύτης 91 a 28 ; καίτοι ὥσπερ ὁ τῷ μάττοντι ἐρομένῳ πότερον σκληρὰν ἢ **μαλακὴν** μάξῃ 16 b 32 ; ἐὰν δ' οὖν τὰ **μαλακὰ** [ὀνόματα] σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται 08 b 9 ; ἐάν τε ἀκριβέστερον, ἐάν τε **μαλακώτερον** συλλογίζωνται 96 a 34.

μαλακῶς, mollement, faiblement, avec douceur : ἐὰν δ' οὖν τὰ μαλακὰ σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται 08 b 10.

μάλιστα, le plus, surtout, au maximum, au plus haut point : ἐν ἐνίαις... τῶν πόλεων καὶ μάλιστα ταῖς εὐνομουμέναις 54 a 20 ; μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους 54 a 31 ; τότε γὰρ πιστεύομεν μάλιστα ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν 55 a 5 ; δῆλον δ' ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν 55 a 10 ; οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα 55 a 12 ; καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων 55 b 5 ; μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσιν 58 a 3 ; τιμῶνται δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες 61 a 29 ; οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρεία μάλιστα ὠφέλιμον τοῖς πολίταις 62 b 32-33 ; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι 63 a 38 ; διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα τιμῶσιν 66 b 5 ; περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι 66 b 8 ; οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ μάλιστα πεποίηκεν 68 a 11 ; αἰτίαν γὰρ καὶ ἀπόδειξιν μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές 68 a 32 ; καὶ μάλιστα ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν

τὰ κατ' αὐτὴν γιγνόμενα 70 a 4 ; μάλιστα δὲ αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν 71 b 18 ; πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα 71 b 21 ; αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι 72 a 11 ; καὶ μάλιστα μὲν ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις 72 a 14 ; καὶ ἐφ' οἷς αἰσχύνη μάλιστα 75 a 13 ; πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς συμβουλαῖς 77 b 25 ; εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας 79 a 19 ; καὶ [ὀργίζονται] τοῖς κακῶς λέγουσι καὶ καταφρονοῦσι περὶ ὧν αὐτοὶ μάλιστα σπουδάζουσιν 79 a 36 ; καὶ τούτων οἱ ἀπὸ γεωργίας καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα 81 a 23 ; καὶ τούτων ἃ μάλιστα φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς 81 a 36 ; καὶ ταῦτα μάλιστα πεπονθότας, περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς 81 b 13* ; μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς 81 b 27 ; τὰ δὲ μάλιστα κακὰ ἥκιστα αἰσθητά, ἀδικία καὶ ἀφροσύνη 82 a 10 ; ἢ μόνος ἢ πρῶτος ἢ μάλιστα 85 a 21 ; δεήσεις δέ εἰσιν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου 85 a 22 ; ἀνάγκη οὖν μάλιστα μὲν εἰς ταῦτα ἔχειν τὴν ὑπουργίαν, εἰ δὲ μή, εἰς ἴσα ἢ μείζω 85 a 28 ; καὶ μάλιστα τὸ σπουδαίους εἶναι ἐν τοῖς τοιούτοις καιροῖς ὄντας ἐλεεινόν 86 b 4 ; ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν 86 b 8 ; καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ 87 a 31 ; καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν 87 b 10 ; καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ 87 b 31 ; σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν 88 a 3 ; ἀνάγκη μάλιστα τούτοις φθονεῖν 88 a 16 ; καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν μάλιστα ἀκολουθητικοί εἰσιν [οἱ νέοι] ταῖς περὶ τὰ ἀφροδίσια 89 a 4 ; καὶ οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμεῖν 89 b 35 ; ῥηθέντος τί ἐστιν γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων 94 a 19 ; αἵ περ [γνῶμαι] καὶ μάλιστ' εὐδοκιμοῦσιν 94 b 21 ; οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι εἰσί 95 a 7 ; καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ καὶ δεινώσει 95 a 8 ; μάλιστα μὲν εἰ πάντες καὶ ἀεί 98 b 22 ; ἀλλὰ φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινοῦσι μάλιστα 99 a 32 ; θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι 00 b 33 ; καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν 01 a 22 ; τὸ γὰρ « μετὰ τοῦτο » ὡς « διὰ τοῦτο » λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις 01 b 31 ; καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά 05 a 9 ; εἰ δὲ μή, ἀπρεπὲς φανεῖται διὰ τὸ παρ' ἄλληλα τὰ ἐναντία μάλιστα φαίνεσθαι 05 a 12 ; τὰ δὲ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς 08 b 12 ; διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες 08 b 34 ; ὥστε μάλιστα λανθάνειν 09 a 9 ; ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο [sc. μάθησιν καὶ γνῶσιν] μάλιστα 10 b 13 ; τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν 11 a 1 ; ἐν οἷς μάλιστά τ' ἐκπίπτουσιν οἱ ποιηταὶ ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν 13 a 10 ; διὸ ὀργιζόμενοι λέγουσιν μάλιστα [τὰς ὑπερβολάς] 13 a 31 ; χρῶνται δὲ μάλιστα τούτῳ 'Αττικοὶ ῥήτορες 13 b 1 ; ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι · τοῦτο δὲ ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης 14 a 15-17 ; διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες προσέχοντες ἀκροῶνται 15 b 11 ; ἐν τῇ κρίσει δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν φέρειν 17 b 24 ; καὶ μάλιστα ἂν εὐδοκιμηκότα ᾖ 18 b 14 ; περὶ δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι μάλιστα μὲν ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ 18 b 40 ; διὸ καὶ τὰ ἐνθυμήματα ὅτι μάλιστα συστρέφειν δεῖ 19 a 19.

μᾶλλον, davantage, plus, plutôt : μᾶλλον ἀπονενεύκασι πρὸς τὸ δικολογεῖν

55 a 20; ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ σώματος χρείας 55 b 1; τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον 56 a 7; θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοὶ [λόγοι] 56 b 25; νῦν δὲ περὶ αὐτῶν τούτων μᾶλλον διορίσωμεν καθαρῶς 56 b 27; μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων... ἐν τοῖς Ἀναλυτικοῖς 57 b 22; μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν 58 a 8; μᾶλλον δὲ σαφὲς ἔσται τὸ λεγόμενον διὰ πλειόνων ῥηθέν 58 a 9; οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν 58 a 14-15; διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης, ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς 59 b 7; ἵνα... τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον 60 a 11; ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν 61 a 16; ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι 61 a 23 τιμὴ γὰρ οὕτω μᾶλλον 63 a 28; καὶ ἃ μηδεὶς φαῦλος· ἐπαινετὰ γὰρ μᾶλλον 63 a 37; ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος 63 b 6-7; τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν 64 a 20; καὶ τὸ φιλέταιρον εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον 64 b 2; δῆλον οὖν ὅτι καὶ μεῖζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει 64 b 19; οἷον τὸ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν 64 b 22; καὶ ὅσων αὐτοὶ αὐτοῖς ἢ φίλοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά 64 b 29; ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βεβαίου 64 b 33; ἀγαθὸν γὰρ ἦν οὗ πάντες ἐφίενται, ὥστε καὶ μεῖζον οὗ μᾶλλον 65 a 2; τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει 65 a 37; καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται· πρὸς ἀλήθειαν γὰρ μᾶλλον 65 b 5-6; ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι αἰσχρὸν τὸ « δικαίως » μᾶλλον ἢ τὸ « ἀδίκως » 66 b 33; καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα 66 b 35; καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι· τὸ γὰρ αὐτοῦ ἕνεκα μᾶλλον ἔχει τὰ ζῶντι 67 a 2-3; καὶ αἱ ἀπολαυστικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς 67 a 18; καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττεσθαι 67 a 20; καὶ τὰ μνημονευτὰ [καλά]· καὶ τὰ μᾶλλον μᾶλλον 67 a 24*; πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν 67 b 5; οὐ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον 70 b 34; καὶ μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν· τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω 71 a 10-11; μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους τῶν ἐναντίων 71 a 13; ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον 71 b 20; οἱ μὲν ὡς οὐ δόξοντες, οἱ δ' ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες 72 b 22; καὶ τὸ μνημονεύειν μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν 74 b 17-18; καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι ἢ ἔργῳ 74 b 19; καὶ τὸ εἰς δίαιταν μᾶλλον ἢ εἰς δίκην βούλεσθαι ἰέναι 74 b 20; καὶ ὃ ἐκ προνοίας μᾶλλον 75 a 7; καὶ ὃ οἱ ἀκούοντες φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσιν 75 a 8; ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον 78 b 28; λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν 79 a 26; καὶ ὅτε μᾶλλον ἐν τούτοις εἰσί, μᾶλλον καὶ εὐκίνητοι 79 a 29-30; ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς 79 a 39; καὶ τοῖς φίλοις μᾶλλον ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή 79 b 3*; καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι, μᾶλλον 79 b 11; καὶ ἔτι μᾶλλον ἐὰν τἀναντία 79 b 14; ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον 79 b 27; τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον κολάζομεν 80 a 18; μᾶλλον γὰρ χαλεπαίνοντες [τῷ Ἐργοφίλῳ] ἢ Καλλισθένει ἀφεῖσαν 80 b 12; μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτούς, εἰ καὶ τοὺς κρείττους 82 b 15; οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι 84 a 1; πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται· οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων ἢ ὑπαρχόντων ἢ μελλόντων 84 a 13-

μεταξὺ τούτων 85 b 32 ; οἱ δ' ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων [sc. τῶν νέων καὶ τῶν πρεσβυτέρων] τὸ ἦθος ἔσονται ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν 90 a 28 ; ἐὰν δὲ πολὺ τὸ μεταξὺ γένηται..., ἀσαφές 07 a 30 ; ἀσαφῆ δὲ ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν 07 b 22.

μεταστρέφειν, détourner, faire changer : τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ **μεταστρέφει** ὄνομα 12 a 34 ; καὶ τὸ μὲν δίκαιον οὐκ ἔστιν **μεταστρέψαι** οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ (πεφυκὸς γάρ ἐστιν) 76 b 21 ; καὶ τὸ τοῦ Ξενοφάνους **μεταστρέψαντα** φατέον οὕτως ἴσον εἶναι ἂν ὁ μὲν ἀσεβὴς διδῷ, ὁ δ' εὐσεβὴς ὀμνύῃ 77 a 23. — Voir στρέφειν.

μετατιθέναι, changer, transformer : ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν 68 a 3 ; ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλῦον, τὸ δὲ μὴ κωλῦον μετατεθῇ 68 a 9 ; ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ λέξει ἐγκώμια γίγνεται 67 b 37.

μεταφέρειν, signifier ou exprimer par métaphore : ἔτι δὲ οὐ πόρρωθεν δεῖ ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως 05 a 36 ; δεῖ δὲ μεταφέρειν, καθάπερ εἴρηται πρότερον, ἀπὸ οἰκείων καὶ μὴ φανερῶν 12 a 11 ; διὰ τὸ γὰρ ἄμφω ἀνδρείους εἶναι, προσηγόρευσε **μετενέγκας** λέοντα τὸν 'Αχιλλέα 06 b 23 ; μεταφοραὶ γὰρ αἰνίττονται, ὥστε δῆλον ὅτι εὖ μετενήνεκται 05 b 5.

μεταφορά (ἡ), métaphore (transport ou transposition du sens propre au sens figuré) ; **αἱ κατ' ἀναλογίαν μεταφοραί**, les métaphores reposant sur une proportion, une analogie : τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν λόγων λέξιν 04 b 32 ; καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά, καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν παρ' ἄλλου 05 a 9 ; καὶ ὁ μὲν διονυσοκόλακας, αὐτοὶ δ' αὑτοὺς τεχνίτας καλοῦσιν · ταῦτα δ' ἄμφω μεταφορά, ἡ μὲν ῥυπαινόντων, ἡ δὲ τοὐναντίον 05 a 24 ; φαύλη δὲ ἡ μεταφορὰ ταῖς ἀσήμοις φωναῖς 05 a 34 ; ἡ μεταφορὰ δὲ τοῖς ἰαμβείοις [χρησιμωτάτη], τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται 06 b 3 ; ἔστι δὲ καὶ ἡ εἰκὼν μεταφορά · διαφέρει γὰρ μικρόν · ὅταν μὲν γὰρ εἴπῃ τὸν 'Αχιλλέα « ὡς δὲ λέων ἐπόρουσεν », εἰκών ἐστιν, ὅταν δὲ « λέων ἐπόρουσε », μεταφορά 06 b 20-22 ; αἱ μὲν οὖν γλῶτται ἀγνῶτες, τὰ δὲ κύρια ἴσμεν · ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα · ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην... 10 b 13 ; ἔστι γὰρ ἡ εἰκών, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα προθέσει 10 b 18 ; Αἰσίων δέ, ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν · τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 26 ; καὶ « ὥστε βοῆσαι τὴν 'Ελλάδα », καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 27 ; εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς, μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 35 ; καὶ ὡς 'Ιφικράτης εἶπεν · « ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν », μεταφορὰ κατ' ἀναλογίαν, καὶ τὸ « διὰ μέσου » πρὸ ὀμμάτων ποιεῖ 11 b 3 ; καὶ τὸ φάναι παρακαλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά 11 b 6 ; καὶ Λυκολέων ὑπὲρ Χαβρίου · « οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν » · μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ ἀεί, ἀλλὰ πρὸ ὀμμάτων 11 b 8 ; οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά · ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν 11 b 26 ; τὸ « ᾄξαντες » ἐνέργεια καὶ μεταφορά · ταχὺ γὰρ λέγει 11 b 31 ; καὶ τὰ εὖ ᾐνιγμένα διὰ τὸ αὐτὸ ἡδέα · μάθησις γάρ, καὶ λέγεται μεταφορά 12 a 25 ; ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται, οἷον εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ παρίσωσις, καὶ ἔχοι ἐνέργειαν 12 b 32* ; 12 b 36 (*infra*) ; τὸ δ' εὖ ἐστὶν ὅταν μεταφορὰ ᾖ 13 a 5 ; καὶ πόσα εἴδη **μεταφορᾶς**... εἴρηται... ἐν τοῖς περὶ Ποιητικῆς 05 a 3 ; δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφορᾶς, ἀντι-

θέσεως, ἐνεργείας 10 b 35 ; ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται 11 b 22 ; καὶ ὡς κέχρηται πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς 11 b 33 ; ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς 12 a 6 ; ἔστιν δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν 12 a 19 ; ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ **μεταφορᾷ**, τότε τὸ εὖ 12 b 12 ; καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν **μεταφοράν**, ἐάν τε ψέγειν, ἀπὸ τῶν χειρόνων 05 a 16 ; ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἐπὶ θάτερα τῶν ὁμογενῶν 07 a 15 ; τοῖς δ' ὀνόμασιν [ἀντίκειται], ἐὰν ἔχῃ μεταφοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ συνιδεῖν, μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν 10 b 32 ; καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν ποιήσει καὶ ἐν λόγοις, — αἱ **μεταφοραί**, — εἴρηται, καθάπερ ἐλέγομεν, ἐν τοῖς περὶ Ποιητικῆς 05 a 5 ; καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς · μεταφοραὶ γὰρ αἰνίττονται, ὥστε δῆλον ὅτι εὖ μετενήνεκται 05 b 4* ; καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίνεται · εἰσὶν γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν · ἀσαφεῖς δέ, ἂν πόρρωθεν 06 b 5-6-7 ; χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ · ποιητικὸν γάρ · οἰστέαι δὲ ὥσπερ αἱ μεταφοραί · μεταφοραὶ γάρ εἰσιν, διαφέρουσαι τῷ εἰρημένῳ 06 b 25* ; πάσας δὲ ταύτας καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν, ὥστε ὅσαι ἂν εὐδοκιμῶσιν ὡς μεταφοραὶ λεχθεῖσαι, δῆλον ὅτι αὗται καὶ εἰκόνες ἔσονται, καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι 07 a 12-13-14 ; εἰσὶν δὲ καὶ αἱ εἰκόνες, ὥσπερ εἴρηται καὶ ἐν τοῖς ἄνω, αἱ εὐδοκιμοῦσαι τρόπον τινὰ μεταφοραί · ἀεὶ γὰρ ἐκ δυοῖν λέγονται, ὥσπερ ἡ ἀνάλογον μεταφορά, οἷον « ἡ ἀσπίς, φαμέν, ἐστὶ φιάλη Ἄρεως » 12 b 35-36 ; αἱ δ' εἰκόνες ὅτι μεταφοραί, εἴρηται πολλάκις 13 a 15 ; καὶ αἱ παροιμίαι δὲ μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδος εἰσίν 13 a 17 ; εἰσὶ δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ μεταφοραί 13 a 22 ; τῶν δὲ **μεταφορῶν** τεττάρων οὐσῶν εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν 11 a 1 ; πάντες γὰρ **μεταφοραῖς** διαλέγονται καὶ τοῖς οἰκείοις καὶ τοῖς κυρίοις 04 b 34 ; 06 b 5 & 7 (*supra*) ; καὶ μεταφοραῖς δηλοῦν καὶ τοῖς ἐπιθέτοις, εὐλαβούμενον τὸ ποιητικόν 07 b 31 ; εὐδοκιμεῖ γὰρ τοῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον ταῖς ἀνάλογον, οἷον τὸ φάναι τὴν σάλπιγγα εἶναι μέλος ἄλυρον 08 a 8 ; δεῖ δὲ καὶ τὰ ἐπίθετα καὶ τὰς **μεταφορὰς** ἁρμοττούσας λέγειν · τοῦτο δ' ἔσται ἐκ τοῦ ἀνάλογον 05 a 10 ; 05 b 4 (*supra*) ; τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον, ἀπὸ καλῶν ἢ τῇ φωνῇ ἢ τῇ δυνάμει ἢ τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει 05 b 17 ; 07 a 12 (*supra*). — Voir εἰκών παράδειγμα.

μετενεγκεῖν, transposer, exprimer par métaphore : voir μεταφέρειν.

μετέχειν, participer, avoir part à : καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι μεῖζον · ἀτιμία γὰρ τὸ μὴ μετέχειν · ὁτὲ δὲ οὗ μηδεὶς ἢ οὐ ὀλίγοι · σπανιώτερον γάρ 65 a 5* ; καὶ [φιλοῦσιν] τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς 81 b 17 ; καὶ ἐπὶ τούτοις [ἀνάγκη αἰσχύνεσθαι] τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι μὴ μετέχειν... αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως 84 a 9-10 & 12 ; καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προσταττόμενον 99 b 12 ; διὸ καὶ πάντες τρόπον τινὰ **μετέχουσιν** ἀμφοῖν [sc. τῆς ῥητορικῆς καὶ τῆς διαλεκτικῆς] 54 a 4 ; 65 a 5 & 84 a 9 (*supra*) ; ὁμολογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως **μετέχῃ** οὗπερ καὶ οἱ ἄλλοι πάντες 08 a 35 ; καὶ τούτων [sc. τῶν μαρτύρων] οἱ μὲν **μετέχοντες** τοῦ κινδύνου οἱ δ' ἐκτός 75 b 27 ; πρόσφατοι δὲ... καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι ψεύδεσθαι 76 a 12.

μετόπισθεν, plus tard, longtemps après : « ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον » 79 a 7 (= *Iliade*, I, 82).

μετρεῖν, mesurer : τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας **μετροῦσιν** [οἱ νέοι], ὥστε ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς 89 b 9 ; διὸ καὶ τὰ μέτρα πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην · ἀριθμὸν γὰρ ἔχει ᾧ **μετρεῖται** 09 b 8.

μετριάζειν, être modéré, se conduire avec modération : καὶ σεμνότεροι ἢ βαρύτεροι [οἱ δυνάμενοι] · ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα, διὸ **μετριάζουσιν** 91 a 27.

μετρικός, ή, όν, qui concerne la mesure du vers, métrique : οἱ μὲν οὖν ἄλλοι [ῥυθμοὶ] διά τε τὰ εἰρημένα ἀφετέοι, καὶ διότι **μετρικοί** · ὁ δὲ παιὰν ληπτέος 09 a 8.

μέτριος, α ou **ος, ον**, mesuré, modéré, moyen : οἷον εἰ εὐτυχῶν μὲν μέτριος, ἀτυχῶν δὲ μεγαλόψυχος 67 b 16 ; ὅσα δὲ ὑπερβάλλουσιν ἢ ἐλλείπουσιν [ἡ νεότης καὶ τὸ γῆρας], τούτων τὸ **μέτριον** καὶ τὸ ἁρμόττον [ἔχουσιν οἱ ἀκμάζοντες] 90 b 9 ; εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον 05 b 34 ; ἀλλὰ δεῖ στοχάζεσθαι τοῦ **μετρίου**, ἐπεὶ μεῖζον ποιεῖ κακὸν τοῦ εἰκῇ λέγειν 06 a 16.

μετρίως, avec mesure, modérément : οὐδὲ γὰρ ἐνταῦθα [sc. ἐν τῇ διηγήσει] ἐστὶ τὸ εὖ ἢ τὸ ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ μετρίως · τοῦτο δ' ἐστὶ τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι ἢ βεβλαφέναι ἢ ἠδικηκέναι 16 b 35.

μέτρον (τὸ), mesure, mètre ; **τὰ μέτρα**, les vers : διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή · ποίημα γὰρ ἔσται 08 b 30 ; ὁ δὲ παιὰν ληπτέος · ἀπὸ μόνου γὰρ οὐκ ἔστι μέτρον τῶν ῥηθέντων ῥυθμῶν, ὥστε μάλιστα λανθάνειν 09 a 9 ; ἔτι ὁρμῶν [ὁ ἀκροατὴς] ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρον 09 b 20 ; τὸ δὲ ἄρρυθμον ἀπέραντον, δεῖ δὲ πεπεράνθαι μέν, μὴ **μέτρῳ** δέ · ἀηδὲς γὰρ καὶ ἄγνωστον τὸ ἄπειρον 08 b 27 ; καὶ ἡ εἰς τὰ **μέτρα** τῶν ποιητῶν [εἰκών], ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις 06 b 36 ; περαίνεται δὲ ἀριθμῷ πάντα · ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά 08 b 29 ; διὸ καὶ τὰ μέτρα πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην · ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται 09 b 6 ; μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ **μέτρων**, γέρα, τεμένη, κ. τ. α. 61 a 35* ; ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων 04 a 32 ; ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο, καὶ ἁρμόττει ἐκεῖ 04 b 12 ; τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων 05 a 8 ; διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες 08 b 34 ; **μέτροις** 61 a 35 (*supra*) ; καὶ ἐν τοῖς μέτροις · οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν 12 a 30.

μέχρι, jusque, jusqu'à : πάντες γὰρ μέχρι τινὸς... καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν 54 a 4 ; οὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν 55 b 13* ; μέχρι γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ ἀδύνατα πρᾶξαι 59 a 39 ; ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα 90 b 10 ; οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον · καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος 02 a 1 ; ῥυθμὸν δὲ μὴ ἀκριβῶς · τοῦτο δὲ ἔσται ἐὰν μέχρι του ᾖ 08 b 32.

μηδέ, μηδ', ne... plus, ni non plus, pas même : διὰ τὸ μὴ ἐξ ὁμολογουμένων εἶναι μηδ' ἐνδόξων 57 a 13 ; ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι 60 a 29 ; μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς οὐκ ἔσται ἀπαθής 61 b 30 ; τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς 72 a 25 ; καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτικούς 72 b 28 ;

κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη 73 b 8; τὰ ἀδικήματα μὴ τοῦ ἴσου ἀξιοῦν, μηδὲ τὰ ἀτυχήματα 74 b 6; μηδὲ ποῖός τις νῦν, ἀλλὰ ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ 74 b 15; καὶ τοῖς μὴ ἀντιποιοῦσιν εὖ, μηδὲ τὴν ἴσην ἀνταποδιδοῦσιν 79 b 7; καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα ἢ μὴ εἰς χρηστοὺς μηδ' εἰς τοιούτους οἷοί περ αὐτοί 80 a 29-30*; μὴ φιλόνικοι μηδὲ δυσέριδες 81 a 31; καὶ τοὺς μὴ μνησικακοῦντας, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων 81 b 4; καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὐτῶν 81 b 7; ἐὰν μὴ παρενοχλῶσι μηδ' ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος 81 b 15; καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι 83 a 32; ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν 83 b 9; μὴ ἀντί τινος, μηδ' ἵνα τι αὐτῷ ὑπουργοῦντι 85 a 19; μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους 89 b 2; « εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι » 97 a 26; οἷον εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασιν 97 b 14; εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος, καὶ εἰ μηδ' οἱ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος 97 b 27-28; καὶ εἰ μηδ' ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ φιλόσοφοι 97 b 29; καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι..., οὐδ' οἱ σοφισταί 97 b 30; ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν 98 a 15; καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι 01 a 31; εἰ μηδὲ τούτων ἕκαστον... οὐδὲ τὸ αὔξειν καὶ μειοῦν 03 a 21; μήτε... μήτε... μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος 08 a 13; μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγραφήν, ἀλλὰ διὰ τὸν ῥυθμόν 09 a 20; τὸ δὲ μηδὲν προνοεῖν μηδὲ ἀνύειν ἀηδές 09 b 4. — Voir μήτε, οὐδὲ.

Μήδεια (ἡ), Médée : οἷον ἐν τῇ Καρκίνου **Μηδείᾳ** οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς. Ἥμαρτε γὰρ ἡ **Μήδεια** περὶ τὴν ἀποστολὴν τῶν παίδων · ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν · τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν 00 b 11-13.

μηδείς, μηδεμία, μηδέν, personne, aucun, pas un, rien : καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά 63 a 27; καὶ ἃ μηδεὶς φαῦλος 63 a 36; καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι... ὅτε δὲ οὗ μηδεὶς ἢ οὗ ὀλίγοι 65 a 6; (οἷα μηδ' ἂν εἷς 72 a 25); ὁ δὲ μηδεὶς πω ἠρρώστηκεν, οὐδεὶς εὐλαβεῖται 72 a 28; καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί 72 a 28; κἂν **μηδεμία** κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη 73 b 8; τοὺς **μηδὲν** ἀδικοῦντας 58 b 37; μηδὲν παρὰ τὴν χρῆσιν 61 a 18; διὰ τὸ μηδὲν ἔχειν ὧν... 61 b 14; εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθόν 62 b 27; βούλονται δὲ ἢ μηδὲν κακὸν ἢ ἔλαττον τοῦ ἀγαθοῦ 63 a 25; ἢ δι' ἀπορίαν μηδὲν ἕξει ὅ τι ἀπολέσῃ 72 a 36; ὅσα δὲ μηδέν τι ἢ μικρόν 78 b 13; τοῖς μηδὲν τούτων ποιοῦσιν 80 a 11; τῶν οἰομένων μηδὲν ἂν παθεῖν 82 b 31; ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι 83 b 8; καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον 83 b 29; καὶ ἐν οἷς μηδὲν ἀποτετυχήκασιν 84 b 11; τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες 84 b 16; τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν 85 b 23; καὶ τὸ ἢ μηδὲν γεγενῆσθαι ἀγαθόν 86 a 15; καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν 89 b 2; εἰ ἐβούλετο καὶ μηδὲν τῶν ἔξω ἐκώλυεν 92 b 21; ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ ἐπιλόγου 94 b 10; διὰ τὸ προεγνῶσθαι μηδὲν δεῖσθαι ἐπιλόγου 94 b 11; τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα 95 a 17; « μηδὲν ἄγαν » 95 a 22 & 32; μηδὲν γὰρ ἔχων ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν 96 a 6; μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον 04 a 4; ὅπερ ποιοῦσιν ὅταν **μηθὲν** μὲν ἔχωσι λέγειν 07 a 33; κἂν μηθὲν λέγῃ 08 a 24; τὸ δὲ μηδὲν προνοεῖν μηδὲ ἀνύειν ἀηδές 09 b 4; καὶ ἃ μηδὲν δεῖ ζητῆσαι 10 b 23; « ἀποθνήσκειν δεῖ μηθὲν ἁμαρτάνοντα » 12 b 28; περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψίν τινα 17 b 9; κρεῖττον γὰρ ἂν ἕνεκά του φαῦλον εἶναι ἢ **μηδενός** 77 a 17; περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον 78 b 11; ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν,

τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν 78 b 16-17 ; τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτε ἀγαθοῦ οὔτε κακοῦ 78 b 30 ; καὶ τοῖς ἐν **μηδενὶ** λόγῳ οὖσιν [ὀργίζονται], ἄν τι ὀλιγωρῶσι, μᾶλλον 79 b 10 ; ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ 96 b 14 ; ἀφύλακτα γὰρ διὰ τὸ ὅλως **μηδένα** ἂν οἴεσθαι 72 a 24 ; καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα 80 a 30 ; καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν μηδένα 83 b 3 ; ὁ γὰρ μηδένα οἰόμενος [ἐπιεικῆ] πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ 85 b 34 ; ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον 01 a 20 ; καὶ τὸ **μηδεμίαν** ἐργάζεσθαι βάναυσον τέχνην [καλόν] 67 a 31. — Voir οὐδείς.

μηδεπώποτε, jamais encore : καὶ τοὺς μηδεπώποτε [ἀδικηθέντας] καὶ τοὺς πολλάκις [ἀδικοῦσιν] 72 b 33. — Voir οὐδέποτε.

μηδέτερος, α, ον, aucun des deux : καὶ εἰ δίδωσι μέν, λαμβάνειν δὲ μὴ θέλει, καὶ εἰ λαμβάνειν καὶ διδόναι θέλει, εἴτε **μηδέτερον** 77 b 1. — Voir οὐδέτερος.

μηκέτι, ne... plus : ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές 54 b 10 ; καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος, πειρατέον τοῦτο δηλοῦν 75 b 14. — Voir οὐκέτι.

μῆκος (τὸ), longueur : ἀνάγκη δὲ τούτων τὸ μὲν μὴ εἶναι εὐεπακολούθητον διὰ τὸ μῆκος 57 a 11 ; μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν τοσούτῳ μείζονι ὥστε... 61 b 19 ; τὸ μὲν γὰρ ἀσαφὲς διὰ τὸ μῆκος, τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν 95 b 26 ; ἀλλ' ὁ ἐπίλογος ἔτι οὐδὲ δικανικοῦ παντός, ... συμβαίνει γὰρ τοῦ **μήκους** ἀφαιρεῖσθαι 14 b 7.

μήν, assurément : « καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει » 92 b 8 (Agathon) ; « ἀλλὰ μὴν ὅ γ' ἑταῖρος ἡμῶν... » 98 b 32 (Aristippe). — Voir οὐ μὴν ἀλλά.

μηνίειν, se fâcher, éprouver du ressentiment : διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς **ἐμήνισε** τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ · ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν, συνέβη δὲ τοῦτο διὰ τὸ μὴ κληθῆναι 01 b 18-19.

μῆνις (ἡ), colère, ressentiment : « Μῆνιν ἄειδε, θεά... » 15 a 16 (= *Iliade*, I, 1).

μηνύειν, indiquer, signifier : ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν 68 a 26.

μήποτε, ne... jamais : « μήποτ' εὖ ἔρδειν γέροντα » 76 a 5 (prov.) ; cf. 99 b 9 (ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε).

μήπω, ne... pas encore : καὶ τοῖς ταχὺ οἱ μήπω τυχόντες ἢ μὴ τυχόντες φθονοῦσιν 88 a 24 ; φιλοχρήματοι δὲ ἥκιστα [οἱ νέοι] διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι 89 b 14 ; καὶ οὐ κακοήθεις, ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας · καὶ εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι 89 a 16-17 ; καὶ φιλόφιλοι... διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους 89 b 1. — Voir οὔπω.

μήτε, μήτ', μήθ', ni, ni non plus : ἵνα μήτε λανθάνῃ πῶς ἔχει 55 a 32 ; διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης 59 b 6 ; ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως 69 a 33-34* ; ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς 69 b 32 ; ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τέ ἐστιν 74 b 9 ; ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα 79 a 34-35 ; καὶ τοὺς μὴ ὀνειδιστὰς μήτε τῶν ἁμαρτημάτων μήτε τῶν εὐεργετημάτων 81 b 2-3 ; καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὑτῶν 81 b 7-8 ; καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν 83 a 21* ; καὶ οἱ μήτε ἐν ἀνδρείας πάθει

ὄντες... μήτε ἐν ὑβριστικῇ διαθέσει... μήτ' αὖ φοβούμενοι σφόδρα 85 b 29-30-32 ; ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον 97 b 23* ; μηδὲν πλείω... ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 4-5 ; καὶ μήτε ταπεινὴν μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν 04 b 3* ; καὶ μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι 07 a 24-25 ; τὸ δ' ἀνάλογόν ἐστιν ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέγηται μήτε περὶ εὐτελῶν σεμνῶς 08 a 12-13 ; τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι μήτε ἄρρυθμον 08 b 21* ; δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε μυούρους εἶναι μήτε μακράς 09 b 18* ; μεταφοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, ... μήτ' ἐπιπόλαιον 10 b 32-33 ; οἳ μήτε εὐδοκιμοῦσιν μήτε φαῦλοι, ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι 14 b 37-38. — Voir μηδέ, οὔτε.

μήτηρ (ἡ), mère : τοῦτο μὲν γὰρ Ἀθήνησι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν υἱὸν ἀπέφηνεν ἡ μήτηρ 98 b 3 ; οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ **μητρός**, ὥσπερ Ζήνωνι 72 b 5 ; « μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς βεβηκότων » 17 a 32 (= Sophocle, *Antigone*, 911) ; « **μητέρα** δὲ τὴν σὴν οὔ τις ἐστύγει βροτῶν ; » 97 b 4 (= Théodecte, *Alcméon*, *fr.* 2 Nauck, p. 801 = Snell p. 231).

μητραγύρτης (ὁ), prêtre de Cybèle : ὡς καὶ Ἰφικράτης Καλλίαν **μητραγύρτην**, ἀλλ' οὐ δᾳδοῦχον, ὁ δὲ ἔφη ἀμύητον αὐτὸν εἶναι · οὐ γὰρ ἂν μητραγύρτην αὐτὸν καλεῖν, ἀλλὰ δᾳδοῦχον 05 a 20-21.

μητροφόντης (ὁ), meurtier de sa mère : καὶ ἐν τοῖς ἐπιθέτοις ἔστι μὲν τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχροῦ, οἷον ὁ « μητροφόντης », ἔστι δ' ἀπὸ τοῦ βελτίονος, οἷον ὁ « πατρὸς ἀμύντωρ » 05 b 22.

μιαιφόνος, ος, ον, souillé d'un meurtre, meurtrier : οἷον τοὺς πατραλοίας καὶ **μιαιφόνους**, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός 86 b 26.

μιγνύναι, mêler, mélanger, unir : τοιοῦτοι δὲ οἱ τεχνικώτατοι καὶ ἀδικώτατοι · τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πειρῶνται, **μιγνύντες** αὐτὰ τῷ κακῷ 16 b 8 ; καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ **μιχθῇ**, τὸ εἰωθὸς καὶ ξενικόν 14 a 27 ; ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται, καθάπερ πρὸς τοὺς οἴνους τοὺς **μεμιγμένους** 04 b 21.

μικραδικητής (ὁ), auteur de petites injustices : κἂν ἀδικῶσιν [οἱ δυνάμενοι], οὐ **μικραδικηταί** εἰσιν, ἀλλὰ μεγαλάδικοι 91 a 28.

μικροπρέπεια (ἡ), petitesse d'esprit, mesquinerie : μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική, μικροψυχία δὲ καὶ μικροπρέπεια τἀναντία 66 b 19.

μικρός, ά, όν, petit, faible, médiocre, de peu d'importance : εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν τέτακται τῶν τοιούτων ἀκολουθεῖν 69 a 26 ; ἀλλ' ὁ ἐπίλογος ἔτι οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος ἢ τὸ πρᾶγμα εὐμνημόνευτον 14 b 5 ; ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ **μικρὰ** ᾖ 63 a 26 ; εἰ δὲ μέγα ἢ **μικρὸν** ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν 54 a 29 ; ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ ἀγαθὸν ἢ τὸ κακόν 59 a 20 ; μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν 63 b 10-12 ; διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον 65 b 6 ; καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων 71 b 11 ; ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν 78 b 13 ; ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν 79 b 34 ; πρὸς τὸ δεῖξαι ὅτι μέγα ἢ μικρόν 03 a 18 ; τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ 04 a 9 ; ἔστι δὲ καὶ ἡ εἰκὼν μεταφορά · διαφέρει γὰρ μικρόν 06 b 20 ; τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν 09 b 19 ; καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν

ὑστερίζει ἡ διάνοια 10 b 25 ; καὶ « πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες » 11 b 11 (= Isocrate, *Panég.*, § 151) ; διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ 15 a 24 ; ἐὰν δὲ μὴ προσεκτικούς, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν 15 b 3 ; ἄλλος [τόπος] τῷ διαβάλλοντι τὸ ἐπαινοῦντα μικρὸν μακρῶς, ψέξαι μέγα συντόμως 16 b 5 ; καὶ οἷς **μικροῦ** ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν 87 b 28 ; πῶς αὐτῇ [τῇ φωνῇ] δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε **μικρᾷ** καὶ μέσῃ 03 b 28 ; ἐπὶ **μικρῷ** τε γὰρ διαλύονται καὶ ῥᾳδίως καταπαύονται [οἱ ξένοι καὶ αὐτουργοί] 73 a 9 ; ἢ ὧν τῇ κτήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν 88 a 4-5 ; διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα 00 b 30 ; καὶ οἷς τὰ μὲν κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ ζημίαι **μικραὶ** ἢ ἀφανεῖς ἢ πόρρω 72 a 37 ; πολλοὶ γὰρ διὰ **μικρὰ** δοκοῦντα τιμῆς τυγχάνουσιν 61 a 33 ; καὶ ὧν ἐλλείπειν οἴονται καὶ ἂν μικρὰ ᾖ 63 a 30 ; τοιαῦτα δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη 73 a 36 ; ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν 78 a 2 ; κἂν μικρὰ ὑπηρετήσωσιν 85 a 26 ; καὶ τὸ κερδαίνειν ἀπὸ **μικρῶν** ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων 83 b 22 ; περὶ δὲ μεγέθους... καὶ ὅλως μεγάλων καὶ μικρῶν ἐκ τῶν προειρημένων ἡμῖν ἐστιν φανερόν 93 a 10 ; εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέστερον, ἢ περὶ λίαν μικρῶν 04 b 16 ; τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης 11 b 17 ; τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν **μικροῖς** τόποις ἀφανιζόμενα 73 a 32 ; οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ **μικροῖς** ζημιοῦσιν 72 a 21 ; εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς **μικροὺς** τῶν ἀνδρῶν παῖδας εἶναι ψηφιοῦνται 99 a 38. — Voir ἐλάττων, ἐλάχιστος, μέγας, μέγιστος, μείζων.

μικρότης (ἡ), petitesse, médiocrité, brièveté : δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ **μικρότητος** καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος προτάσεις ἔχειν 59 a 23 ; περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων... ἐκ τῶν προειρημένων ἡμῖν ἐστιν φανερόν 93 a 9 ; ἔτι δὲ περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα 93 a 22.

μικροψυχία (ἡ), petitesse d'esprit, mesquinerie : μεγαλοψυχία δὲ ἀρετὴ μεγάλων ποιητικὴ εὐεργετημάτων, μικροψυχία δὲ τοὐναντίον · μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική, μικροψυχία δὲ καὶ μικροπρέπεια τἀναντία 66 b 18-19 ; καὶ φίλαυτοι [οἱ πρεσβύτεροι] μᾶλλον ἢ δεῖ · μικροψυχία γάρ τις καὶ αὕτη 89 b 35 ; καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν · **μικροψυχίας** γὰρ πάντα καὶ ταπεινότητος σημεῖα 84 a 4.

μικρόψυχος, ος, ον, étroit d'esprit, mesquin : καὶ οἱ **μικρόψυχοι** [φθονεροί] · πάντα γὰρ μεγάλα δοκεῖ αὐτοῖς εἶναι 87 b 34 ; καὶ μικρόψυχοι [οἱ πρεσβύτεροι] διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου · οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσι 89 b 25.

Μιλτιάδης (ὁ), Miltiade : καὶ παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισομένους ἔφη δεῖν ἐξιέναι τὸ **Μιλτιάδου** ψήφισμα 11 a 11.

μιμεῖσθαι, imiter : διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ 04 a 35 ; καὶ πᾶν ὃ ἂν εὖ **μεμιμημένον** ᾖ, κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον 71 b 7-8. — Voir μιμητικός.

μίμημα (τὸ), imitation, copie : τὰ γὰρ ὀνόματα **μιμήματά** ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 21.

μίμησις (ἡ), imitation : ἡ δ' ἐνέργεια μίμησις 12 a 10 *var.* : voir κίνησις.

μιμητικός, ή, όν, qui concerne l'imitation, imitatif, mimétique : ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον

τό τε **μιμητικόν**, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιΐα καὶ ποιητική, καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ, κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον 71 b 6 ; τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων **μιμητικώτατον** τῶν μορίων ἡμῖν 04 a 22.

μιμνῄσκεσθαι, chercher à se souvenir ; **μεμνῆσθαι**, avoir le souvenir de : ὥστε ηὔξησεν, ἅπαξ **μνησθείς**, διὰ τὸν παραλογισμόν, καὶ μνήμην πεποίηκεν 14 a 6 ; « **μνησάμενος** ὅτε πολλὰ πάθη καὶ πολλὰ ἐόργῃ » 70 b 6 (= *Odyssée*, XV, 401) ; ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ **μεμνῆσθαι** γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα 70 a 33 ; « ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων » 70 b 4 (= Euripide, *Andromède*, *fr.* 133 Nauck p. 199) ; ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν 70 b 27 ; τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα 89 a 23 ; κἀεὶ ἐν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοῖ ἂν φαντασία τις οὗ **μέμνηται** ἢ ἐλπίζει 70 a 29-30 ; δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις 07 a 24 ; αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, **μέμνηνται** δὲ τὰ γενόμενα 70 a 35 ; ἐν τῷ **μεμνημένῳ** 70 a 29 (*supra*) ; ἢ γὰρ **μεμνημένοι** ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν 70 b 16-18 ; ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου 70 b 21 ; τὰ δὲ μυριοστὸν ἔτος γενόμενα ἢ ἐσόμενα οὔτε ἐλπίζοντες οὔτε μεμνημένοι 86 a 31 ; εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ ἡδοναὶ ἅμα **μεμνημένοις** καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις 70 a 31 ; καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος... ὅταν μὴ μόνον παρόντος χαίρωσιν, ἀλλὰ καὶ ἀπόντος μεμνημένοις ἐρῶσιν λύπη προσγένηται τῷ μὴ παρεῖναι 70 b 24 ; ὅλως δὲ ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ **μεμνημένους** ὡς ἐπὶ τὸ πολύ 70 b 10.

Μιξιδημίδης (ὁ), Mixidémidès : ὥσπερ τὸ εἰς **Μιξιδημίδην** εἶπεν Αὐτοκλῆς, εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια, **Μιξιδημίδῃ** δ' οὔ 98 b 27-28.

μισεῖν, haïr, détester : πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρηται πολλάκις 54 b 9 ; περὶ δ' ἔχθρας καὶ τοῦ μισεῖν φανερὸν ὡς ἐκ τῶν ἐναντίων ἐστὶ θεωρεῖν 82 a 1 ; τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασίν, φιλεῖν ὡς μισήσοντας, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας 95 a 27* ; καὶ « οὐδὲ τὸ μηδὲν ἄγαν · δεῖ γὰρ τούς γε κακοὺς ἄγαν μισεῖν » 95 a 33 ; « δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται ἐποίουν » 16 a 20 ; τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη · τὸν γὰρ κλέπτην **μισεῖ** καὶ τὸν συκοφάντην ἅπας 82 a 7 ; ἔχθρα δὲ καὶ ἄνευ τοῦ πρὸς αὑτόν · ἂν γὰρ ὑπολαμβάνωμεν εἶναι τοιόνδε, **μισοῦμεν** 82 a 5 ; τίνας δὲ φιλοῦσι καὶ **μισοῦσι**, καὶ διὰ τί... λέγωμεν 80 b 34 ; καὶ τοὺς τοῖς αὐτοῖς ἐχθροὺς καὶ μισοῦντας οὓς αὐτοὶ μισοῦσιν, καὶ τοὺς μισουμένους ὑπὸ τῶν αὐτῶν μισουμένων · πᾶσι γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ αὑτοῖς 81 a 16*-17* ; ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν · κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσι 87 b 9 ; πάντα γὰρ ἄγαν πράττουσιν [οἱ νέοι] · φιλοῦσί γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως 89 b 5 ; καὶ οὔτε φιλοῦσι σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες 89 b 23-24-25 ; οἷον εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, ὅτι ἀλλ' οὐδ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν 02 b 7 ; ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ **μισῶν** οὔ 82 a 13 ; τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν, τῷ δὲ **μισοῦντι** τοὐναντίον 78 a 2 ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ **μισοῦντες** 56 a 16 ;

οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ **μισοῦσι**, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν 77 b 31 ; **μισοῦντας** 81 a 16 (*supra*) ; ἐὰν μὲν γάρ, ἔφη [ἡ ἱέρεια], τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε **μισήσουσιν**, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί 99 a 24 ; **μισήσοντες** 89 b 24 (*supra*) ; **μισήσοντας** 95 a 27 (*supra*) ; οὔτε δύνανται πείθειν ὡς **μισούμενοι** καὶ φθονούμενοι 72 b 37 ; **μισουμένων** & **μισουμένους** 81 a 17* (*supra*). — Opp. φιλεῖν ; voir μῖσος.

μισθός (ὁ), salaire : καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου **μισθὸν** ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν, ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν, ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, ἐποίησε 05 b 23.

μισθοφόρος (ὁ), salarié, mercenaire : καὶ Θεοδέκτης ἐν τῷ Νόμῳ, ὅτι « πολίτας μὲν ποιεῖσθε τοὺς **μισθοφόρους**... διὰ τὴν ἐπιείκειαν · φυγάδας δ' οὐ ποιήσετε τοὺς ἐν τοῖς **μισθοφόροις** ἀνήκεστα διαπεπραγμένους ; » 99 b 2 & 4.

μῖσος (τὸ), haine : καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαστα, οἷον Καλλίαν ἢ Σωκράτην, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη · τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἅπας 82 a 6 ; εἰς τὰ πάθη ἄγειν τὸν ἀκροατήν · ταῦτα δ' ἐστὶν ἔλεος καὶ δείνωσις καὶ ὀργὴ καὶ μῖσος καὶ φθόνος καὶ ζῆλος καὶ ἔρις 19 b 26. — Voir μισεῖν.

Μιτυληναῖος, α, ον, Mitylénien : voir Μυτιληναῖος.

μνήμενος, η, ον, qui se souvient : « μνήμενος ὅστις πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ » 70 b 6 *var.* = *Odyssée*, XV, 400.

μνήμη (ἡ), mémoire, souvenir, commémoration, mention : ἔτι εὐφυΐα, μνήμη, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα [ἀγαθά] 62 b 24 ; ἡ μὲν γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν, ἡ δὲ μνήμη τοῦ παροιχομένου 89 a 21 ; ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος, ἡ δὲ μνήμη τῶν παροιχομένων 90 a 8 ; καὶ ζῶσιν [οἱ πρεσβύτεροι] τῇ **μνήμῃ** μᾶλλον ἢ τῇ ἐλπίδι 90 a 6 ; οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ Πανηγυρικῷ ἐπὶ τέλει « φήμην δὲ καὶ **μνήμην** » 08 b 16 (= Isocrate, *Panég.*, § 196) ; καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος 14 a 6 ; μέρη δὲ τιμῆς θυσίαι, **μνῆμαι** ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, κ. τ. α. 61 a 34.

μνημονεύειν, conserver dans sa mémoire : καὶ τὸ μνημονεύειν μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν [ἐπιεικές] 74 b 16 ; διὸ καὶ τὰ μέτρα πάντες **μνημονεύουσι** μᾶλλον τῶν χύδην 09 b 7 ; τῷ δὲ διαβάλλοντι ἐν τῷ ἐπιλόγῳ διαβλητέον, ἵνα **μνημονεύσωσι** μᾶλλον 15 a 34.

μνημόνευμα (τὸ), ce dont on garde le souvenir : καὶ τὰ **μνημονεύματα** 67 a 24 (*var.*) : voir le suiv.

μνημονευτός, ή, όν, mémorable, dont on garde le souvenir : καὶ τὰ **μνημονευτὰ** [καλά ἐστι], καὶ τὰ μᾶλλον μᾶλλον 67 a 24 ; τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο 70 b 1.

μνησικακεῖν, garder rancune, avoir du ressentiment : καὶ [φιλοῦσι] τοὺς μὴ **μνησικακοῦντας**, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους 81 b 4.

μνησίκακος, ος, ον, qui éprouve du ressentiment, rancunier : καὶ [φιλοῦσι] τοὺς μὴ **μνησικάκους**, μηδὲ... κ. τ. α. 81 b 4 *var.*

μόγις, à peine, peu à peu : οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὐγήρως, οὔτ' εἰ μόγις μέν, λυπηρῶς δέ 61 b 28.

Μοιροκλῆς (ὁ), Moeroclès : καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, ὀνο-

μάσας τινὰ τῶν ἐπιεικῶν · ἐκεῖνον μὲν γὰρ ἐπιτρίτων τόκων πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων 11 a 16.

μοιχεία (ἡ), crime d'adultère : διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία 74 a 7 ; λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενεῖς περὶ αἰκίας καὶ ὁ πένης καὶ ὁ αἰσχρὸς περὶ **μοιχείας** 72 a 23 ; καὶ ἀδικήματα ἀδικοῦσιν [οἱ πλούσιοι] οὐ κακουργικά, ἀλλὰ τὰ μὲν ὑβριστικά, τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ **μοιχείαν** 91 a 19.

μοιχεύειν, commettre un adultère, corrompre une femme : ὁ γὰρ **μοιχεύων** καὶ τύπτων ἀδικεῖ τινα τῶν ὡρισμένων, ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν 73 b 23 ; οἷον λαβεῖν μέν, ἀλλ' οὐ κλέψαι... καὶ συγγενέσθαι, ἀλλ' οὐ **μοιχεῦσαι** 74 a 4.

μοιχός (ὁ), adultère, débauché : καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται, μοιχός · τοιοῦτοι γάρ 01 b 24 ; οἷον εἰ, ὅτι καθάριος ὁ μοιχός, καὶ ὁ δεῖνα ἄρα 16 a 24.

μοναρχία (ἡ), monarchie : εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία, ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 30 ; μοναρχία δ' ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν · τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς 65 b 37.

μονόκωλος, ος, ον, qui n'a qu'un seul membre : ἀφελῆ δὲ λέγω τὴν **μονόκωλον** [περίοδον] 09 b 17.

μόνος, η, ον, seul, unique ; **μόνον**, seulement, uniquement : ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν 62 a 10 ; οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ ὃ μάλιστα πεποίηκεν 68 a 10 ; καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων πεποίηκεν 75 a 2 ; ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος ἢ πρῶτος ἢ μάλιστα 85 a 21 ; ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων 91 b 16 ; εἶπεν αὐτοῖς [ὁ Στησίχορος] λόγον ὡς ἵππος κατεῖχε λειμῶνα μόνος 93 b 13 ; μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς 01 a 22 ; αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι **μόνον**, τὰ δ' ἄλλα προσθῆκαι 54 a 13 ; πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας 56 a 16 ; ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐστίν · μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστιν 57 b 16-17 ; οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται, ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ ἀγαθὸν ἢ τὸ κακόν 59 a 18 ; εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων 59 b 16 ; οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων 59 b 28 ; ταῦτα δ' οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων συμβουλήν 59 b 30 ; οὐ μόνον δὲ τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι 59 b 37 ; ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν 60 a 3 ; οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα 60 a 25 ; ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ οὕτως διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι 60 a 28 ; χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν 60 a 31 ; καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν, οὐ γὰρ μόνον ἡδύ, ἀλλὰ καὶ βέλτιον φαίνεται 63 a 38 ; καὶ τὸ ἀγαπητὸν [μεῖζον ἀγαθόν], καὶ τοῖς μὲν

μόνον, τοῖς δὲ μετ' ἄλλων 65 b 17; ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ 66 a 9; ἐπεὶ δὲ συμβαίνει... ἐπαινεῖν πολλάκις οὐ μόνον ἄνθρωπον ἢ θεόν, ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ τυχόν 66 a 29; τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα 70 b 1; ὅταν μὴ μόνον παρόντος χαίρωσιν, ἀλλὰ καὶ ἀπόντος μεμνημένοις ἐρῶσιν λύπη προσγένηται τῷ μὴ παρεῖναι 70 b 23; καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις, ἀλλὰ πᾶσιν 70 b 33; καὶ ὅσοις τὰ μὲν ἀδικήματα λήμματα, αἱ δὲ ζημίαι ὀνείδη μόνον 72 b 3; ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία 73 a 3; οἱ μὲν οὖν τοιοῦτοι τούτων μόνον μάρτυρές εἰσιν, εἰ γέγονεν ἢ μή, εἰ ἔστιν ἢ μή 76 a 13; ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὐτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν 77 b 22; αἰσχύνονται δὲ οὐ μόνον αὐτὰ τὰ ῥηθέντα αἰσχυντηλά, ἀλλὰ καὶ τὰ σημεῖα, οἷον οὐ μόνον ἀφροδισιάζοντες, ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ · καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες · ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον θεράποντας καὶ φίλους τούτων 84 b 17-18-19-21; ὡς ὁρῶντας καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν ψηφίσωνται 84 b 34; καὶ αἰσχυντηλοὶ [οἱ νέοι] · οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον 89 a 29; καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον [οἱ ἀκμάζοντες], οὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω 90 a 33; καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ 96 a 2; οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων 02 b 32; τῷ δ' ὅτι οὔ, ἀλλὰ διὰ τὸ μόνον μὴ ἀνταγωνιστεῖν ὡς φαῦλον 16 b 14; ὁ δὲ παιὰν ληπτέος · ἀπὸ **μόνου** γὰρ οὐκ ἔστι μέτρον τῶν ῥηθέντων ῥυθμῶν 09 a 8; διήγησις γάρ που τοῦ δικανικοῦ μόνου λόγου ἐστὶν 14 a 38; καὶ τὰ **μόνῳ** ὑπάρχοντα καλλίω · εὐμνημονευτότερα γάρ 67 a 26; μὴ λανθανέτω δ' ὅτι ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει **μόνῃ** τὸν ἕτερον εἶναι πονηρόν 17 b 28; τῶν μὲν οὖν ἄλλων τεχνῶν οὐδεμία τἀναντία συλλογίζεται, ἡ δὲ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ **μόναι** τοῦτο ποιοῦσιν 55 a 35; ὅτι ἀληθεῖς μόναι τῶν μαρτυριῶν εἰσιν αὗται [αἱ βάσανοι] 76 b 34; ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα **μόνα** 03 b 10; τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν · σημεῖον δ' ὅτι τούτοις **μόνοις** πάντες χρῶνται 04 b 32-33.

μόριον (τὸ), partie, portion, morceau : νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες οὐδὲν ὡς εἰπεῖν πεπορίκασιν αὐτῆς [τῆς ῥητορικῆς] μόριον 54 a 13; ἔστι γὰρ μόριόν τι τῆς διαλεκτικῆς [ἡ ῥητορικὴ] καὶ ὁμοία, καθάπερ καὶ ἀρχόμενοι εἴπομεν 56 a 30; εἰσὶν δὲ πολιτεῖαι τέτταρες... ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 31; κῶλον δ' ἐστὶν τὸ ἕτερον μόριον ταύτης [τῆς περιόδου] 09 b 16; καὶ τοῦτ' ἐστὶν ἐν κεφαλαίῳ εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ **μόρια** αὐτῆς... τί ἐστιν... ἡ εὐδαιμονία καὶ ἐκ τίνων τὰ μόρια ταύτης 60 b 6 & 8; ἡ δ' εὐτυχία κατὰ μόριά τε τῶν εἰρημένων ἔχει τὰ ἤθη 91 a 30; ἀναγκαῖα ἄρα μόρια [τοῦ λόγου] πρόθεσις καὶ πίστις 14 b 7; οἷον τί δεῖ τὸ προοίμιον ἢ τὴν διήγησιν ἔχειν, καὶ τῶν ἄλλων ἕκαστον **μορίων** 54 b 19; τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην [sc. τὴν εὐδαιμονίαν] ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν 60 b 11; περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου καὶ περὶ τῶν μορίων εἴρηται κατὰ τὸν ἐνεστῶτα καιρὸν ἱκανῶς 66 b 23; τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 22. — Voir μέρος.

μοῦσα (ἡ), muse : « Ἄνδρά μοι, ἔννεπε, **Μοῦσα**... » 15 a 16 (= *Odyssée*, I, 1).

μουσεῖον (τὸ), don des Muses, inspiration : διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται... καὶ οὐχὶ « μουσεῖον », ἀλλὰ « τὸ τῆς φύσεως παραλαβὼν μουσεῖον » 06 a 24-25.

μουσικός, ή, όν, musicien, musical; **ἡ μουσικὴ** [τέχνη], la musique : εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ μουσικὸς τῷ δικαίῳ · βέλτιον γὰρ ἡ δικαιοσύνη τῆς **μουσικῆς** 87 b 2* ; ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ **μουσικωτέρους** λέγειν 95 b 29.

μουσικωτέρως, plus musicalement : 95 b 29 (*var.*).

μοχθηρία (ἡ), vice, perversité : ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν 74 a 11 ; ἔστιν ἀτυχήματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ **μοχθηρίας**, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τέ ἐστιν 74 b 7 ; διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται... καὶ « οὕτως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν » 06 a 31 ; ἐὰν γάρ τινες ἔχωσιν **μοχθηρίαν** ἢ μίαν ἢ πλείους, περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν 68 b 14 ; ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξάζουσιν, ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν 78 a 11 ; καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας, διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν 03 b 34 ; ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν 04 a 8. — Voir πονηρία.

μοχθηρός, ά, όν, méchant, pervers, vicieux : οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ, ἀλλ' οὐδ' ὁ μοχθηρὸς κακῶς 02 b 6 ; ἐὰν γάρ τινες ἔχωσιν μοχθηρίαν ἢ μίαν ἢ πλείους, περὶ δὲ τοῦτο ὃ **μοχθηροὶ** τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, κ. τ. α. 68 b 15. — Voir πονηρός.

μυθολογεῖν, composer ou raconter des fables : ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων... ὡς τὸ μὲν μὴ τηλικοῦτον ὄντα γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν 95 a 5.

μυκτήρ (ὁ), narine, nez : ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ οὕτως διατίθεται ὥστε μηδὲ **μυκτῆρα** δοκεῖν εἶναι 60 a 30.

μυλών (ὁ), moulin : καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει **μύλωνας** ποικίλους 11 a 24.

μύουρος, ος, ον, en forme de queue de rat, mince, effilé : δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε **μυούρους** εἶναι μήτε μακράς 09 b 18. — Voir μείουρος.

μυριοστός, ή, όν, dix-millième : τὰ δὲ **μυριοστὸν** ἔτος γενόμενα ἢ ἐσόμενα οὔτε ἐλπίζοντες οὔτε μεμνημένοι ἢ ὅλως οὐκ ἐλεοῦσιν ἢ οὐχ ὁμοίως 86 a 30 ; φιλοτιμοῦνται γὰρ πρὸς τοὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας ἢ πρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδεὶς 88 a 10.

μῦς (ὁ, ἡ), rat, souris : ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι **μῦν**, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή · τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή 01 a 14 ; ἄλλος [τόπος] διὰ τὸ συμβεβηκός, οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς **μῦς**, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς 01 b 15.

Μυσία (ἡ), la Mysie : « κώπης ἀνάσσων κἀποβὰς εἰς **Μυσίαν** » 05 a 29 (= Euripide, *Télèphe*, *fr.* 705 Nauck p. 583).

Μυσός (ὁ), Mysien : καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν παροιμίαν τούτους « **Μυσῶν** λείαν » 72 b 33.

μυστήρια (τὰ) les mystères : ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή · τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή 01 a 15.

Μυτιληναῖοι (οἱ), les habitants de Mytilène : καὶ Μυτιληναῖοι Σαπφῶ καίπερ γυναῖκα οὖσαν [τετιμήκασιν] 98 b 13.

μύωψ (ὁ), myope : καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, λύχνῳ ψακαζομένῳ εἰς **μύωπα** · ἄμφω γὰρ συνάγεται 13 a 14.

* * *

ναί, oui : — « Οὐκοῦν σὺ ταῦτα ἔπραξας τὰ πονηρά ; » — « Ναί, ἔφη, οὐ γὰρ ἦν ἄλλα βελτίω » 19 a 30.

ναοποιός (ὁ), constructeur d'un temple : οἷον ὁ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς **ναοποιούς** 74 b 27.

ναύκληρος (ὁ), pilote (d'un navire) : καὶ ἡ εἰς τὸν δῆμον [εἰκών], ὅτι ὅμοιος **ναυκλήρῳ** ἰσχυρῷ μὲν ὑποκώφῳ δέ 06 b 35 (*cf.* Platon, *Resp.*, VI, 488 a-b).

ναυμαχητέον, il faut engager le combat naval : περὶ δὲ τῶν ἐσομένων καὶ οἱ χρησμολόγοι, οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων 76 a 2.

ναυμαχία (ἡ), combat naval : ἢ ἐπαινεῖν, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι **ναυμαχίαν** ἢ τὴν ἐν Μαραθῶνι μάχην ἢ τὰ ὑπὲρ τῶν Ἡρακλειδῶν πραχθέντα ἢ ἄλλο τι τῶν τοιούτων 96 a 13.

ναῦς (ἡ), navire, bateau : ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς **ναῦς** ἐπὶ χρήμασιν · οὐ φάσκοντος δέ, εἶτα εἶπεν · « σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης ; » 98 a 7 ; « εἰ τοῖς κακῶς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων οὐ παραδιδόασι τοὺς οἰκείους, οὐδὲ τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας ναῦς ⟨τὰς οἰκείας⟩ »... 98 b 8 (Théodecte). — Voir πλοῖον, τριήρης.

Ναυσικράτης (ὁ), Nausicratès : περὶ γὰρ τοιούτων ἡ ἀμφισβήτησις, ὥσπερ Ἰφικράτης πρὸς **Ναυσικράτην** · ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγεν καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν 16 a 10.

ναυτιᾶν, avoir le mal de mer : καὶ ὁ Δημοσθένης εἰς τὸν δῆμον, ὅτι ὅμοιός ἐστιν τοῖς ἐν τοῖς πλοίοις **ναυτιῶσιν** 07 a 7 (Démosthène, *fr. incert.* 16, Sauppe II, p. 254).

ναυτικός, ή, όν, naval, nautique : εἰ πολεμητέον... μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν, πότερον **ναυτικὴ** ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση 96 a 9.

νεκρός, ά, όν, mort ; *subst.* : cadavre : ὅθεν καὶ ἡ παροιμία τὸ « κἂν ἀπὸ **νεκροῦ** φέρειν » 83 b 24.

νέμειν, administrer, distribuer, répartir : « **νέμων** ἑκάστης ἡμέρας πλεῖστον μέρος » 71 b 33 (= Euripide. *Antiope*, *fr.* 183, Nauck p. 413).

νεμεσᾶν, éprouver de l'indignation, s'irriter : ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν, ὥστε ἃ μὴ ποιεῖ, δῆλον ὅτι νεμεσᾷ 84 b 4-5 ; ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμεσᾶν 86 b 8 ; δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν · ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν 86 b 13-15 ; δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν, ἔστι δ' ἕτερον 86 b 16 ; πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσι τε νεμεσῶσι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες αὐτοί 87 a 6* ; εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν · οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν

λήψεται, νεμεσήσει τούτῳ, ... ἀλλὰ ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις 87 a 9-11-12 ; ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν 87 a 18 ; **νεμεσᾷ** 84 b 5 (*supra*) ; **νεμεσῶσι** 87 a 6 (*supra*) ; οἷς μὲν οὖν νεμεσῶσι καὶ διὰ τί, ἐκ τούτων δῆλον 87 b 4 ; **νεμεσήσει** 87 a 12 (*supra*) ; « Ζεὺς γάρ οἱ **νεμέσασχ'**, ὅτ' ἀμείνονι φωτὶ μάχοιτο » 87 a 34 (= *Iliade*, XI, 543 : *var.* **νεμέσησ'**).

νεμεσητικός, ή, όν, enclin à l'indignation : αὐτοὶ δὲ **νεμεσητικοί** εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα κεκτημένοι 87 b 5 ; καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὑτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις καὶ τούτων. Διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι οὐ νεμεσητικοί · οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι 87 b 13-14.

νεμεσητός, ή, όν, propre à exciter l'indignation : ἂν οὖν ἀγαθὸς ὢν μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, **νεμεσητόν** 87 a 31.

νέμεσις (ἡ), indignation : οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας 86 b 21.

νεόπλουτος, ος, ον, récemment enrichi, nouveau riche : **νεόπλουτον** 91 a 17 *infra* ; καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ **νεόπλουτοι** ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι 87 a 22 ; διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς **νεοπλούτους** · ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι 91 a 16-17.

νέος, α, ον, nouveau, jeune ; *subst.* jeune homme (περὶ νέων : 89 a 3-89 b 12) : εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει 69 a 27 ; πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ ἵππος ἵππῳ καὶ νέος νέῳ 71 b 15* ; εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέστερον 04 b 16 ; ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρεία **νέου** ἀρεταί 61 a 3 ; νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν 61 b 7 ; **νέῳ** 71 b 15 *supra* ; ἀλλὰ δεῖ σκοπεῖν, ὡς νέῳ φοινικίς, οὕτω γέροντι τί (οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής) 05 a 13 ; διὸ οἱ **νέοι** καὶ οἱ πλούσιοι ὑβρισταί 78 b 28 ; διὸ οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι 88 b 3 ; οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοί, καὶ οἷοι ποιεῖν ἃ ἂν ἐπιθυμήσωσι κ. τ. α. 89 a 3 ; ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως, κ. τ. α. 89 a 19 ; εἰσὶν γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι 90 b 5 ; τὸ μὲν οὖν τῶν **νέων** τοιοῦτόν ἐστιν ἦθος, οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη 89 b 13 ; τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα 90 a 24 ; εἰ γὰρ συμβέβηκεν τοῖς **νέοις** ὀργίλοις εἶναι ἢ ἐπιθυμητικοῖς 69 a 9 ; τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολύ, τὸ δὲ παρεληλυθὸς βραχύ 89 a 22 ; ἐναντίως γὰρ διάκεινται τοῖς νέοις [οἱ πρεσβύτεροι] 89 b 30 ; ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὰ τοῖς νέοις 90 a 19 ; ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διῄρηται ταῦτα 90 b 4 ; καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ **νέους** καὶ πρεσβυτέρους 60 b 38 ; οἷον ὁ 'Ιφικράτης τὸν υἱὸν αὐτοῦ **νεώτερον** ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι... 99 a 36 ; διὸ πρεσβύτεροί τε **νεωτέροις** [φθονοῦσιν] 88 a 22 ; καὶ ὅτι **νεώτατος** [ὁ 'Αχιλλεὺς] καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσεν 96 b 17. — Voir πρεσβύτερος.

νεότης (ἡ), jeunesse : ἔστιν δὲ τῷ κοινῷ μὲν... νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ κατ' ἀρετὴν σώματος, ... ψυχῆς δὲ... 61 a 1 ; ἡλικίαι δέ εἰσι νεότης

καὶ ἀκμὴ καὶ γῆρας 88 b 36 ; καὶ φιλότιμοι μέν εἰσιν [οἱ νέοι], μᾶλλον δὲ φιλόνικοι · ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τίς 89 a 13 ; ὅσα μὲν διήρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν [οἱ ἀκμάζοντες] 90 b 7 ; περὶ μὲν οὖν **νεότητος** καὶ γήρως καὶ ἀκμῆς, ποίων ἠθῶν ἕκαστόν ἐστιν, εἰρήσθω τοσαῦτα 90 b 12 ; οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν **νεότητα** ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη 65 a 32 ; ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι 11 a 2. — Voir γῆρας.

νευρά (ἡ), corde d'arc : οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς **νευράς** 01 b 16.

νεωστί, récemment : ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν · μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι καὶ διὰ γένος 87 a 17-18 ; καὶ γάμοι διαφέροντες οὐ τοῖς νεωστὶ πλουσίοις, ἀλλὰ τοῖς εὐγενέσιν 87 a 29 ; διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους 91 a 15.

νεώτατος, très jeune ; **νεώτερος**, plus jeune : voir νέος.

νήπιος, α, ον, sot, insensé : « νήπιος ὃς πατέρα κτείνας υἱοὺς καταλείπει » 76 a 7 & 95 a 18 = *var.* παῖδας pour υἱούς (= Stasinos, *Chants Cypriens*, *fr.* 2).

νικᾶν, être vainqueur (à la guerre ou dans un concours) : καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις, ἀλλὰ πᾶσιν ·... ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι τὰς μαχητικὰς καὶ τὰς ἐριστικάς · πολλάκις γὰρ ἐν ταύταις γίγνεται τὸ νικᾶν 70 b 32 & 35-71 a 2 ; καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ **νικήσας** τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν 05 b 24 ; οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα **νενίκηκεν**, ἱκανὸν εἰπεῖν ὅτι Ὀλύμπια γὰρ νενίκηκεν, τὸ δ' ὅτι στεφανίτης τὰ Ὀλύμπια οὐδὲ δεῖ προσθεῖναι 57 a 19-20.

Νικάνωρ (ὁ), Nicanor : καὶ ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων **Νικάνορα** · ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν 97 b 9.

νίκη (ἡ), victoire (à la guerre ou au jeu) : καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή, κ. τ. α. 63 b 1 ; καὶ νίκη καὶ τιμὴ τῶν καλῶν · αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ 67 a 22 ; ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν 71 a 6 ; ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις 89 a 13 ; τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ παντὸς τοῦ πολέμου · ἄμφω γὰρ **νίκης** σημεῖα 11 b 19 ; καὶ ἄδικοί εἰσιν, οἷον... ὁ δὲ φιλόνικος διὰ **νίκην** 68 b 21.

Νικήρατος (ὁ), Nicératos : καὶ τὸ τὸν **Νικήρατον** φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι 13 a 7-9.

Νίκων (ὁ), Nicon : τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα, οἷον τὸ Θεοδώρου εἰς **Νίκωνα** τὸν κιθαρῳδόν · « Θρᾶττ' εἶ σύ », προσποιεῖται γὰρ λέγειν τὸ « θράττει σε » καὶ ἐξαπατᾷ 12 a 34.

Νιρεύς (ὁ), Nirée : « Νιρεὺς αὖ Σύμηθεν..., Νιρεὺς Ἀγλαΐης..., Νιρεὺς ὃς κάλλιστος » 14 a 33** (= *Iliade*, II, 671-673).

νομή (ἡ), pâturage : ἐλθόντος δ' ἐλάφου καὶ διαφθείροντος τὴν **νομὴν** 93 b 14 (Stésichore).

νομίζειν, avoir en usage, penser, estimer : δεῖ δὲ νομίζειν ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς 69 b 31 ; εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἄν οἵ τε πεπονθότες ἤδη καὶ διαπεφευγότες 85 b 24 ; « νομίζειν χρή σε καὶ τοὐναντίον » 97 a 18 (= Euripide, *fr.* 396, Nauck p. 481) ; οἷον Σωκράτης, Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν 19 a 9 ; « τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις **νομίζει** ; » 99 a 10 (Théodecte, *Socrate*) ; οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον **νομίζουσι** πάσχειν, ἡ δ' ὀργὴ τοῦτο ἦν 80 b 18 ; εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι 99 a 38 ; ὀρθῶς τοῦτο **νομίζοντες** 54 a 24 ; καὶ οἱ ἠδικημένοι ἢ νομίζοντες ἀδικεῖσθαι [φοβεροί] 82 b 10 ; οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινά 83 a 4 ; « καὶ τὴν τοῖς ἄλλοις κοινὴν εἰρήνην **νομιζόντων** τοῖς αὐτῶν ἰδίοις πόλεμον » 10 b 30 (= Isocrate, *Philippe*, § 73) ; ἡ Δωδωνὶς ἀπέδειξεν Ἰσμηνίου τὸν υἱόν, καὶ διὰ τοῦτο Θετταλίσκον Ἰσμηνίου **ἐνόμιζον** 98 b 5. — Voir οἴεσθαι.

νόμιμος, η, ον, conforme à l'usage, habituel ; **τὰ νόμιμα**, usages légaux : « ἀλλὰ τὸ μὲν πάντων **νόμιμον** διά τ' εὐρυμέδοντος αἰθέρος » 73 b 16 (= Alcidamas, *Discours Messéniaque*) ; καὶ **νόμιμα** καὶ συμφέροντα διελεῖν 65 b 24 ; ἀριστοκρατίας δὲ [τέλος] τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα 66 a 6 ; δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον 66 a 7 ; ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ **νομίμων** διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν... εἴρηται 66 a 20 ; οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς **νομίμοις** ἐν τῇ ἀριστοκρατίᾳ ἄρχουσιν 65 b 35.

νόμισμα (τό), monnaie en usage : πλούτου δὲ μέρη **νομίσματος** πλῆθος, γῆς, χωρίων κτῆσις κ. τ. α. 61 a 12.

νομοθεσία (ἡ), établissement des lois, législation : ταῦτα δ' ἐστὶν περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ **νομοθεσίας** 59 b 23 ; οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν 60 a 19 ; ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν **νομοθεσίαν** αἱ τῆς γῆς περίοδοι χρήσιμοι 60 a 34 ; ἔπειθ' αἱ μὲν **νομοθεσίαι** ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται 54 b 2 ; χρήσιμον δὲ πρὸς τὰς **νομοθεσίας** τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι 60 a 30.

νομοθετεῖν, légiférer : ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν 54 b 1 ; οὐ γὰρ ἂν μείζους ζημίας **ἐνομοθέτησεν** ἐάν τις μεθύων ἁμαρτάνῃ 02 b 12 ; ἂν οὖν ᾖ ἀόριστον, δέῃ δὲ **νομοθετῆσαι**, ἀνάγκη ἁπλῶς εἰπεῖν 74 a 34.

νομοθέτης (ὁ), législateur : εἰ δὲ μέγα ἢ μικρὸν ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν, αὐτὸν δή που τὸν δικαστὴν δεῖ γιγνώσκειν 54 a 29 ; τὸ δὲ πάντων μέγιστον, ὅτι ἡ μὲν τοῦ **νομοθέτου** κρίσις οὐ κατὰ μέρος, ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστίν 54 b 5 ; καὶ τὸ μὴ πρὸς τὸν νόμον, ἀλλὰ πρὸς τὸν νομοθέτην, καὶ μὴ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν [ἐπιεικές] 74 b 12-13 ; οὐ γὰρ δυνατὸν ταῦτα τὸν **νομοθέτην** προϊδεῖν 54 b 15 ; 74 b 12 (*supra*) ; καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι, ἀλλὰ δράκοντος · χαλεποὶ γάρ 00 b 23 ; συμβαίνει δὲ τοῦτο τὰ μὲν ἑκόντων, τὰ δὲ ἀκόντων τῶν **νομοθετῶν**, ἀκόντων μὲν ὅταν λάθῃ, ἑκόντων δ' ὅταν μὴ δύνωνται διορίσαι, ἀλλ' ἀναγκαῖον μὲν ᾖ καθόλου εἰπεῖν 74 a 29.

νόμος (ὁ), règle, coutume, usage, loi : διὸ καὶ πολλαχοῦ, ὥσπερ πρότερον εἶπον, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος 55 a 2 ; ἔστι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι' ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι, καὶ ὡς ὁ νόμος, ἀδικία δὲ δι' ἣν τὰ ἀλλότρια, οὐχ ὡς ὁ νόμος 66 b 10-11 ; ἀνδρεία δὲ δι' ἣν πρακτικοί εἰσι

τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ ὑπηρετικοὶ τῷ νόμῳ · δειλία δὲ τοὐναντίον 66 b 12-13 ; σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει · ἀκρασία δὲ τοὐναντίον 66 b 15 ; νόμος δ' ἐστὶν ὁ μὲν ἴδιος, ὁ δὲ κοινός · λέγω δὲ ἴδιον μὲν καθ' ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ 68 b 7 ; οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος τεθῇ καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη 75 a 5 ; καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τε καὶ συμφέρον, ἀλλ' οὐ τὸ δοκοῦν, ὥστ' οὐ νόμος ὁ γεγραμμένος · οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου 75 b 4-5 ; καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος, πειρατέον τοῦτο δηλοῦν καὶ μάχεσθαι ταύτῃ πρὸς τὸν νόμον 75 b 14*-15 ; ἐὰν δὲ ὁ γεγραμμένος [νόμος] ᾖ πρὸς τὸ πρᾶγμα, τό τε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ἀλλ' ἵνα, ἐὰν ἀγνοήσῃ τί λέγει ὁ νόμος, μὴ ἐπιορκῇ 75 b 17-18 ; ἡ γὰρ συνθήκη νόμος ἐστὶν ἴδιος καὶ κατὰ μέρος, καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ νόμους συνθήκας · καὶ ὅλως αὐτὸς ὁ νόμος συνθήκη τίς ἐστιν, ὥστε ὅστις ἀπιστεῖ ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ 76 b 7-8-9*-10-11 ; καὶ ὁ νόμος ὑπόθεσις ἐν τοῖς δικανικοῖς 18 a 26 ; παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ **νόμου** κειμένην 65 b 34 ; τὰ δὲ τοῦ ἰδίου νόμου καὶ γεγραμμένου ἔλλειμμα 74 a 25 ; 75 b 5 (*supra*) ; οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν [οἱ νέοι], ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον 89 a 29 ; οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι, « δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος, καὶ γὰρ οἱ ἰχθύες ἁλός... » 00 a 11-12* ; **νόμῳ** 66 b 13 (*supra*) ; καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ [ὁ νόμος] 75 b 8 ; « καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι » 10 a 13 (= Isocrate, *Panég.*, § 105) ; ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν **νόμον** 68 b 7 ; δι' ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶν καὶ ἀκρασία 68 b 13 ; λέγω δὲ νόμον τὸν μὲν ἴδιον, τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν ἑκάστοις ὡρισμένον πρὸς αὑτούς, καὶ τοῦτον τὸν μὲν ἄγραφον, τὸν δὲ γεγραμμένον, κοινὸν δὲ τὸν κατὰ φύσιν 73 b 4 ; τὸ γὰρ ἐπιεικὲς δοκεῖ δίκαιον εἶναι, ἔστιν δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον 74 a 27 ; κατὰ μὲν τὸν γεγραμμένον νόμον ἔνοχος ἔσται καὶ ἀδικεῖ, κατὰ δὲ τὸ ἀληθὲς οὐκ ἀδικεῖ, καὶ τὸ ἐπιεικὲς τοῦτό ἐστιν 74 a 36 ; καὶ τὸ μὴ πρὸς τὸν νόμον, ἀλλὰ πρὸς τὸν νομοθέτην [ἐπιεικές] 74 a 11 ; ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ, ὁ δὲ δικαστὴς τὸν νόμον 74 b 21 ; ἀπολογεῖται γὰρ [ἡ Ἀντιγόνη] ὅτι ἔθαψε παρὰ τὸν τοῦ Κρέοντος νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον 75 a 35 ; καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ, οἷον ἐνίοτε ὁ μὲν κελεύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον 75 b 8-11 ; 75 b 15 (*supra*) ; 75 b 17 (*supra*) ; 76 b 8 (*supra*) ; ἅπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχέσαιτο 76 b 16 ; ἀλλὰ τοὺς μὲν γνωρίμους τὰ πρὸς ἀλήθειαν δοκοῦντα, τοὺς δ' ἄπωθεν τὰ πρὸς τὸν νόμον 84 b 26 ; περὶ ὧν μὲν οἱ **νόμοι** ἀγορεύουσιν εἴρηται, τῶν δ' ἀγράφων δύο ἐστὶν εἴδη 74 a 20 ; εἰσὶν δὲ πέντε τὸν ἀριθμόν [αἱ ἄτεχνοι καλούμεναι πίστεις], νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος 75 a 24 ; 76 b 9 (*supra*) ; 00 a 12 (*supra*) ; καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι ἀλλὰ δράκοντος · χαλεποὶ γάρ 00 b 23 ; πρῶτον μὲν οὖν περὶ **νόμων** εἴπωμεν πῶς χρηστέον 75 a 25 ; καὶ ὅτι τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται. Καὶ περὶ μὲν τῶν νόμων οὕτως διωρίσθω 75 b 23-24-25 ; πρὸς δὲ τούτοις σκοπεῖν εἰ ἐναντία ἐστί τινι τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν, καὶ τῶν γεγραμμένων ἢ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις 75 b 25 ; καὶ ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν « ἐπιτείχισμα τῶν νόμων » 06 b 12 ; ἐν γὰρ τοῖς **νόμοις** ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ'

ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη 60 a 19 ; 65 b 35 (*var.*) ; 75 b 24 (*supra*) ; ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον 76 b 17 ; διὰ γὰρ τοῦτο καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες 77 b 9 ; ὅτι 'Αθηναῖοι τοῖς Σόλωνος νόμοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς Λυκούργου 98 b 17 ; ἅπαντες γὰρ οἱ μὲν οἴονται δεῖν οὕτω τοὺς **νόμους** ἀγορεύειν, οἱ δὲ καὶ χρῶνται καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν 54 a 21 ; μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς 54 a 32 ; ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι · ἐντεῦθεν γὰρ λαβεῖν ἔστιν τοὺς τῶν ἐθνῶν νόμους 60 a 35 ; ὥρισται δὴ τὰ δίκαια καὶ τὰ ἄδικα πρός τε νόμους δύο καὶ πρὸς οὕς ἐστι διχῶς 73 b 3 ; 76 b 9 & 11 (*supra*) ; διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται ·... καὶ οὐχὶ νόμους, ἀλλὰ « τοὺς τῶν πόλεων βασιλεῖς νόμους » 06 a 22-23.

Νόμος, la Loi (ouvrage de Théodecte) : καὶ πάλιν ἐκ τοῦ **Νόμου** τοῦ Θεοδέκτου 98 b 6 ; καὶ Θεοδέκτης ἐν τῷ **Νόμῳ** 99 b 1.

νοσεῖν, être malade : τὸ δέ, οἷον εἴ τις εἴπειεν σημεῖον ὅτι **νοσεῖ**, πυρέττει γάρ 57 b 15 ; καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν, οἷον εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ **νοσῆσαι** · ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία 92 a 11. — Voir κάμνειν.

νοσερός, ά, όν, qui concerne la maladie : τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὑτῇ ὑποκείμενόν ἐστιν διδασκαλικὴ καὶ πειστική, οἷον ἰατρικὴ περὶ ὑγιεινῶν καὶ **νοσερῶν** 55 b 29.

νόσημα (τὸ), maladie : 05 b 33 (voir le suivant).

νοσημάτιον (τὸ), maladie légère, petite maladie : ὥσπερ καὶ ὁ 'Αριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις... καὶ ἀντὶ **νοσήματος** νοσημάτιον 05 b 33.

νόσος (ἡ), maladie : καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν, ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ **νόσῳ** δεδεμένον 11 a 23 ; μάλιστα μὲν [ὀργίζονται] πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον κάμνων μὲν τοῖς πρὸς τὴν **νόσον**, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν 79 a 21 ; ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ **νόσοι** καὶ τροφῆς ἔνδεια 86 a 9 ; καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ **νόσοις** 65 a 34.

νοσώδης, ης, ες, malsain, maladif : καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον **νοσῶδες**, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι · ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθά, ἓν κακόν ἐστιν 01 a 31.

νουθετεῖν, avertir, réprimander, redresser : ἔστι δ' ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ, οἷον οἱ **νουθετοῦντες** ποιοῦσιν ἢ πείθοντες 91 b 10 ; οἷον · « ἐγὼ δ' **ἐνουθέτουν**, ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν » 17 a 4.

νοῦς (ὁ), esprit, pensée, intelligence spéculative, attention : καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ, τοῦτό ἐστιν ἑκάστῳ ἀγαθόν 62 a 24-25 ; καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ **νοῦν** ἢ εἰ λάβοι νοῦν 62 a 24* ; ἐπεὶ οὖν ἀγαθὸν λέγομεν... καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο 63 b 14 ; καὶ ὅτι « τὸν νοῦν ὁ Θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ » 11 b 12 (cit. adespot.) ; ὥστε ὅπου ἂν ᾖ καιρός, λεκτέον · « καί μοι προσέχετε τὸν νοῦν » 15 b 13 ; « χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας » 18 b 35. — Voir διάνοια, φρόνησις.

νύκτωρ, de nuit, nuitamment : καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται, μοιχός · τοιοῦτοι γάρ 01 b 24.

νῦν, maintenant, aujourd'hui, pour l'instant : νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες 54 a 11 ; τοὺς νῦν τεχνολογοῦντας 56 a 17 ; νῦν δὲ περὶ αὐτῶν τούτων μᾶλλον διορίσωμεν καθαρῶς 56 b 26 ; εἴρηται μὲν καὶ νῦν 57 b 22 ; πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ [τῇ ῥητορικῇ] 59 b 7 ; εἴπωμεν καὶ νῦν 59 b 18 ; εἰς τὰ νῦν 61 b 34 ; ταῦτα μὲν οὖν ὕστερον ἐροῦμεν, νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον 69 a 31 ; περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν 69 b 31 ; πῶς δὲ ἔχοντες καὶ τίνας, λέγωμεν νῦν 72 a 5 ; « οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε » 73 b 12 & 75 b 1 (= Sophocle, *Antigone*, 456) ; μηδὲ ποῖός τις νῦν, ἀλλὰ ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ 74 b 15 ; δύναται δὲ νῦν 82 b 2 ; ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν 82 b 28 ; καὶ τιμῶσι ἔτι καὶ νῦν 98 b 17 ; μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταὶ 03 b 33 ; καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων 04 a 26 ; καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες ἀφείκασιν 04 a 35 ; καὶ οἱ μὲν λησταὶ αὑτοὺς ποριστὰς καλοῦσι νῦν 05 a 26 ; ἡ μεταφορὰ δὲ τοῖς ἰαμβείοις, τούτοις γὰρ νῦν χρῶνται 06 b 4 ; νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι 09 a 10 ; ταύτῃ γὰρ πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται 09 a 30 ; « σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς καὶ νῦν γράφεις κακῶς » 10 a 36 ; « νῦν δ' ὅτε πάντα δέδασται... » 15 a 4 (Choerilos de Samos, *Perséide*, *fr.* 1) ; εἰ ἐμπεριείληπται ὁ διαβάλλων, ἢ νῦν ἢ πρότερον 16 a 21 ; ἢ ἄνευ διαβολῆς ὑπελαμβάνοντο ὥσπερ αὐτὸς νῦν 16 a 26 ; καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως 17 a 24.

νῦν δέ, tandis qu'en réalité : οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν · καὶ γὰρ ἂν τὸ δικαίως, νῦν δ' οὐχ αἱρετὸν τὸ δικαίως ἀποθανεῖν 97 a 22 ; νῦν δὲ διαιροῦσι γελοίως 14 a 37 ; νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν 16 b 30.

νύξ (ἡ), nuit : « μετὰ δὲ γᾶν ὕδατά τ' ὠκεανὸν ἠφάνισε νύξ » 09 a 17 (= Simonide?).

νυστάζειν, s'assoupir, s'endormir : τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε **νυστάζοιεν** οἱ ἀκροαταί, παρεμβάλλειν τῆς πεντηκονταδράχμου αὐτοῖς 15 b 16.

νωθρότης (ἡ), lenteur, lourdeur, nonchalance : ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη..., τὰ δὲ στάσιμα εἰς ἀβελτερίαν καὶ **νωθρότητα**, οἷον οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους 90 b 30.

* * *

ξενικός, ή, όν, étrange, insolite (ξενικὸν ὄνομα, mot rare, obsolète) : ὥστε δῆλον ὡς ἂν εὖ ποιῇ τις, ἔσται τε **ξενικὸν** καὶ λανθάνειν ἐνδέξεται καὶ σαφηνιεῖ · αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή 04 b 36 ; καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά 05 a 8 ; καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ, τὸ εἰωθὸς καὶ ξενικόν, καὶ ὁ ῥυθμός, καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος 14 a 27 ; ἐπεὶ δεῖ γε χρῆσθαι αὐτοῖς [sc. τοῖς ἐπιθέτοις], ἐξαλλάττει γὰρ τὸ εἰωθὸς καὶ **ξενικὴν** ποιεῖ τὴν λέξιν 06 a 15.

ξένος, η, ον, étranger, étrange (ξενὸν ὄνομα, mot insolite, rare) : καὶ « οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος » · « οὐ μᾶλλον ἢ σε δεῖ » τὸ αὐτὸ καὶ « οὐ δεῖ τὸν ξένον ξένον ἀεὶ εἶναι » · ἀλλότριον γὰρ καὶ τοῦτο 12 b 15-16* ; καὶ Λαμψακηνοὶ Ἀναξαγόραν **ξένον** ὄντα ἔθαψαν καὶ τιμῶσι ἔτι καὶ νῦν 98 b 16 ; 12 b 16* (*supra*) ; ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσιν καὶ πρὸς τὴν λέξιν · διὸ δεῖ ποιεῖν **ξένην** τὴν διάλεκτον · θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν, ἡδὺ δὲ τὸ θαυμαστόν ἐστιν 04 b 9-10 ; καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηροῦσιν ἢ δίκην ἢ ἔκτισιν, οἷον οἱ **ξένοι** καὶ αὐτουργοί 73 a 8 ; τὰ δὲ ὀνόματα τὰ διπλᾶ

καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ **ξένα** μάλιστα ἁρμόττει λέγοντι παθητικῶς 08 b 11 ; δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ 15 a 7 ; **ξένους** 04 b 9 (*supra*).

Ξενοφάνης (ὁ), Xénophane : οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν 99 b 6 ; οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 6 ; καὶ τὸ τοῦ **Ξενοφάνους** ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο 77 a 19 ; καὶ τὸ τοῦ Ξενοφάνους μεταστρέψαντα φατέον οὕτως ἴσον εἶναι ἂν ὁ μὲν ἀσεβὴς διδῷ, ὁ δ' εὐσεβὴς ὀμνύῃ 77 a 23.

Ξέρξης (ὁ), Xerxès : καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησεν πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη, ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται 93 b 2 ; μία δὲ τὸ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων **Ξέρξην** « πέλωρον ἄνδρα » 06 a 7.

ξύλινος, η, ον, de bois : οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ **ξύλινον** τεῖχος λέγων 76 a 2.

ξυνός, ή, όν, commun : καὶ ἐπὶ τὸ ἧττους ὄντας · « ξυνὸς Ἐνυάλιος » 95 a 16 (= *Iliade*, XVIII, 309).

*
* *

ὀγδοήκοντα, quatre-vingts : οἷον Σοφοκλῆς ἔφη τρέμειν οὐχ ὡς ὁ διαβάλλων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης · οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοήκοντα 16 a 17.

ὄγκος (ὁ), ampleur, pompe : εἰς **ὄγκον** δὲ τῆς λέξεως συμβάλλεται τάδε · τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, κ. τ. α. 07 b 26. — Voir συντομία.

ὅδε, ἥδε, τόδε, celui-ci, celle-ci, ceci :
  ἥδε, 09 a 29, 36 ; 09 b 10 ;
  τόδε, 63 b 27 ; 64 a 7 ; 99 b 16 ; 05 b 10* (τόδε ἀντὶ τοῦδε) & 13* (τόδε καὶ τόδε) ; 16 a 18 ;
  τοδί, 85 b 6 ;
  τοῦδε (masc.), 07 b 17 ;
  τοῦδε (neut.), 64 a 7 ; 98 a 32** ; 05 b 10 (*supra*) ;
  τῷδε (masc.), 97 a 16 (*tragic. adespot.*) ;
  τῷδε (neut.), 63 b 28 ;
  τήνδε, 04 a 25 ;
  αἵδε, 07 b 35 ;
  τάδε, 62 b 10 ; 83 b 12 ; 07 b 18, 23*, 24*, 26 ; 20 a 1, 2*, 3 ;
  ταδί, 20 a 1, 3 ;
  τῶνδε (neut.), 62 b 30 ; 92 b 15 ; 16 b 24 ;
  τοῖσδε (neut.), 11 b 34.
  Voir ὧδε, ὡδί.

ὁδοποιεῖν, frayer la route, tracer une méthode : ἐπεὶ δ' ἀμφοτέρως ἐνδέχεται, δῆλον ὅτι εἴη ἂν αὐτὰ [sc. τὸ ἀπολογεῖσθαι καὶ κατηγορεῖν] καὶ ὁδοποιεῖν 54 a 8 ; ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας, ὅπερ ὥσπερ **ὁδοποιεῖ** τῷ ὑποκρίνεσθαι 13 b 23.

ὁδοποίησις (ἡ), ouverture du chemin : πάντα γὰρ ἀρχαὶ ταῦτ' εἰσί, καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι 14 b 21.

ὁδός (ἡ), route, chemin : καὶ ὡς Ἰφικράτης εἶπεν · « ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν », μεταφορὰ κατ' ἀναλογίαν 11 b 2.

ὀδυνηρός, ά, όν, douloureux, atroce : ἔστι δὲ **ὀδυνηρὰ** μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ νόσοι καὶ τροφῆς ἔνδεια, ὧν δ' ἡ τύχη αἰτία κακῶν 86 a 7 ; ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ **ὀδυνηρῶν** φθαρτικά, πάντα ἐλεεινά, καὶ ὅσα ἀναιρετικά 86 a 5.

ὀδυρτικός, ή, όν, porté à se plaindre, à se lamenter : πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν, ὅθεν **ὀδυρτικοί** εἰσι, καὶ οὐκ εὐτράπελοι οὐδὲ φιλογέλοιοι · ἐναντίον γὰρ τὸ **ὀδυρτικὸν** τῷ φιλογέλωτι 90 a 21-23.

Ὀδύσσεια (ἡ), l'*Odyssée* : καὶ ὡς Ἀλκιδάμας... τὴν **Ὀδύσσειαν** « καλὸν ἀνθρωπίνου βίου κάτοπτρον » 06 b 12.

Ὀδυσσεύς (ὁ), Ulysse : καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ 00 a 29 (= Théodecte, *Ajax*, Nauck, p. 801 = Snell, *fr.* 1, p. 230) ; κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ · ἡ γὰρ Ἡσιόνη ἀδελφή 16 b 2 (= Sophocle, *Teucer*, Nauck p. 256) ; καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν, οἷον **Ὀδυσσέα** Ἀθηνᾶ καὶ Ἑλένην Θησεύς, κ. τ. α. 63 a 18 ; « φάσθαι Ὀδυσσῆα πτολιπόρθιον » 80 b 23 (= *Odyssée*, IX, 504) ; καὶ τὸ ἐκ τοῦ Αἴαντος τοῦ Θεοδέκτου, ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν · ἐνδέχεται γὰρ τούτου ἕνεκα ποιῆσαι 99 b 31 (= Théodecte, *Ajax*, Nauck, p. 801 = Snell, *fr.* 1, p. 230) ; οἷον ὅτι ὁ Διομήδης τὸν Ὀδυσσέα προείλετο, τῷ μὲν ὅτι διὰ τὸ ἄριστον ὑπολαμβάνειν τὸν Ὀδυσσέα, τῷ δ' ὅτι οὔ, ἀλλὰ διὰ τὸ μόνον μὴ ἀνταγωνιστεῖν ὡς φαῦλον 16 b 12-14.

ὄζος (ὁ), excroissance, superfétation : εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ, ἐπούρωσιν ὀνομάζων καὶ ἀποπλάνησιν καὶ **ὄζους** 14 b 18.

ὅθεν, d'où, de là vient que... : ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός 54 b 22 ; ὅθεν λέγεται ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους 62 b 38 ; ὅθεν ταῦτ' εἴρηται 63 a 5 ; ὅθεν λέγεται 64 a 27 ; ὅθεν καὶ ὁ Ποιητής φησι 65 a 11 & 30 ; ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ 65 a 24 ; ὅθεν καὶ τοὔνομα εἴληφεν τοῦτο 65 b 37 ; ὅθεν καὶ τοῦτο εἴρηται 70 b 3 ; 87 a 32 ; 99 b 23 ; ὅθεν εἴρηται 71 a 27 ; 75 a 33 ; 88 a 7, 16 (*var*) ; 97 b 23 ; ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται 71 b 15 ; ὅθεν μὲν οὖν φρόνιμοι... φανεῖεν ἂν 78 a 15 ; ὅθεν καὶ ἡ παροιμία 83 b 23 ; 84 a 34 ; ὅθεν καὶ Ἀντιφῶν ὁ ποιητής... 85 a 10 ; ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν 85 a 35 ; καὶ τὸ ὅθεν προσήκεν ἀγαθόν τι ὑπάρξαι, κακόν τι συμβῆναι 86 a 11 ; ὅθεν ὀδυρτικοί εἰσι 90 a 21 ; ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται 91 a 8 ; ὅθεν καὶ Ἀγάθωνι εἴρηται 92 b 6 ; ὅθεν τε εὐπορήσομεν καὶ ὡς αὐτὰ λύσομεν 03 b 1 ; ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσιν 08 a 6 ; ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται καὶ διότι 13 a 20 ; ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν ἔκκεινται οἱ τόποι πρότερον 19 b 23.

οἶδα, je sais : voir εἰδέναι.

Οἰδίπους (ὁ), Œdipe : οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ **Οἰδίποδι** ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν 17 b 19 (= Carcinos, *Oedipe*, Nauck, p. 798 = Snell, *fr.* 1 f, p. 212).

οἴεσθαι, penser, croire, présumer, s'imaginer, être d'avis : ἀφύλακτα γὰρ διὰ τὸ ὅλως μηδένα ἂν οἴεσθαι 72 a 25 ; ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι

ὧν ἐφίεται 78 b 2; τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν τι κακόν 85 b 17; σαλάκωνες δὲ καὶ σόλοικοι [οἱ πλούσιοι] διὰ... τὸ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί 91 a 6; καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν 91 a 12; 98 a 18 (*infra*); ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατήν 15 b 29; ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις, ἃ **οἴεται** ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον 61 b 36; καὶ μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν 71 a 10; τοὺς δὲ μὴ ὀμόσαντος οἴεται καταδικάσειν 77 a 13; ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν 79 a 8; ἔστω δὴ τὸ φιλεῖν τὸ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά 80 b 36; καίτοι ὅς τις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι 98 a 17-18; ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὑτῷ κριτέον 02 b 30; καὶ ὅτι ἀεί τι οἴεται ἔχειν ὁ ἀκροατὴς καὶ πεπεράνθαι τι αὑτῷ 09 b 3; « ἔστιν οὖν, ἔφη [ὁ Σωκράτης], ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ; » 19 a 12; ἔτι δὲ προσήκειν **οἰόμεθα** δυνάμεις ὑπάρχειν καὶ τύχην 60 b 28; ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις... οὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον 76 b 18; καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς αὐτά 78 b 12; ἅπαντες γὰρ οἱ μὲν **οἴονται** δεῖν οὕτω τοὺς νόμους ἀγορεύειν 54 a 21; ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον 57 b 7-8; καὶ ὧν ἐλλείπειν οἴονται καὶ ἂν μικρὰ ᾖ 63 a 30; καὶ πρὸς ἃ εὐφυεῖς εἰσιν καὶ ἔμπειροι· ῥᾷον γὰρ κατορθῶσαι οἴονται 63 a 36; ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου 70 b 21; αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ κ. τ. α. 72 a 11; καὶ μάλιστα μὲν ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι 72 a 15; καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυλάττεσθαι, οἱ δὲ... 72 a 29; καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τεύξεσθαι 73 a 28; ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν 78 b 16; αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. Διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες 78 b 27-29; προσήκειν δὲ οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν 78 b 35; καὶ τοῖς φίλοις [ὀργίζονται] μᾶλλον ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή 79 b 3; καὶ γὰρ ὑπὸ τούτων οἴονται καταφρονεῖσθαι 79 b 6; ὥσπερ εἰληφέναι γὰρ οἴονται τιμωρίαν 80 b 15; οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον οἴονται πάσχειν 80 b 18 (*var.*); οἴονται δὲ φίλοι εἶναι οἱ οὕτως ἔχειν οἰομένοι πρὸς ἀλλήλους 81 a 2-3; οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὐτοὺς οἴονται 81 b 6; φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν, οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. Ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε. Οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες... οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες... 82 b 31*-32*-33-34; καὶ [θαρραλέοι εἰσὶν] ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δὲ ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων 83 a 33*; οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται· πεπόνθασι γάρ 85 b 20; οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν· εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν 85 b 21-22; οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι 87 b 15; πάντας γὰρ οἴονται τὰ αὑτῶν φέρειν 87 b 30; καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν 88 a 4; οὐδ' ὧν πολὺ οἴονται παρ' αὑτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι

88 a 12; οἰκεῖα γὰρ οἴονται αὑτοῖς εἶναι, καὶ ἄξιοι τούτων 88 b 9; 89 a 23 (*var.* : οἷόν τε); καὶ εἰδέναι ἅπαντα οἴονται καὶ διϊσχυρίζονται [οἱ νέοι] 89 b 6; καὶ οἴονται [οἱ πρεσβύτεροι], ἴσασι δ' οὐδέν 89 b 18; πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὑτοῖς παθεῖν 90 a 20; ἔχειν γὰρ οἴονται [οἱ πλούσιοι] ὧν ἕνεκεν ἄρχειν ἄξιον 91 a 13; 98 b 25 (*var.* : οἷόν τε); καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα 04 a 27; ὥστ' οἴονται... τὰ πράγματα οὕτως ἔχειν 08 a 22; 19 a 4 (*var.* : οἷόν τε); **οἴωνται** 57 b 7 (*supra*); αὐτοὶ μὲν οὖν ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὑτοῖς δυνατόν 72 a 5; ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπερέχειν ἐν τούτοις 79 b 1; καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δικαίως πάσχειν 80 b 16; καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴωνται ὅτι δι' αὑτοὺς καὶ ἀνθ' ὧν ἔπαθον 80 b 20; ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ 81 a 13; ἂν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι 83 a 26; καὶ ἂν ὑπάρχειν αὑτοῖς οἴωνται πλείω καὶ μείζω 83 a 35; καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται 83 b 9; κἂν οἴωνταί τινας εἶναι τῶν ἐπιεικῶν · ὁ γὰρ μηδένα οἰόμενος πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ 85 b 34*-86 a 1; ἀλλ' ἀγανακτοῦσιν ἂν οἴωνται ἀδικεῖσθαι [οἱ νέοι] 89 a 11; καὶ ἄρχειν ἄξιος **οἰόμενος** τοῦ ἄρχεσθαι ἀξίου 79 a 3; 85 b 34 (*supra*); **οἰόμενοι** 81 a 3 & 85 b 21 (*supra*); **οἰομένων** 82 b 31 (*supra*); **οἰομένους** 82 b 33 (*supra*); ἢ ὥσπερ 'Αρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς **ᾤετο** 98 b 31; « ... χίμεθλα » · ὁ δ' ᾤετο πέδιλα ἐρεῖν 12 a 32; καὶ τοὺς τοιούτους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ **ᾤοντο**, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο 83 a 11-12; **οἰήσεσθαι** 85 b 17 (*var.*); **οἰήσεται** 86 a 1 (*supra*); « **ᾠήθης** ἂν αὐτὸν οὐ παιδίον τετοκέναι, ἀλλ' αὐτὸν παιδίον γεγονέναι » 10 a 32; « ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κωρύκῳ » ... « ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα ἔχειν, οὕτως οὖλα » 13 a 26 & 29; « τελεσφόρον **ᾠήθη** τὴν προθυμίαν αὐτῶν γενήσεσθαι » 06 a 2 (Alcidamas); ἀμφοτέρως γὰρ ὃ οὐκ ἂν ᾠήθη τις ἐρεῖν, τοῦτ' εἴρηται, καὶ ἐγνώσθη ὅτι ἀληθές 12 b 8; « **ᾠήθητε** δ' ἂν αὐτὸν εἶναι συκαμίνων κάλαθον » 13 a 22; οὐδεὶς γὰρ βούλεται ἀλλ' ἢ ὅταν **οἰηθῇ** εἶναι ἀγαθόν 69 a 4. — Voir νομίζειν. Opp. εἰδέναι.

οἰκεῖν, habiter : καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν 01 b 26.

οἰκεῖος, α, ον, qui appartient en propre à, particulier, qui est de la famille; **οἰκεῖον ὄνομα**, mot propre, consacré à un seul objet : οἷον ἐν τῷ Τεύκρῳ ὁ 'Οδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ · ἡ γὰρ 'Ησιόνη ἀδελφή 16 b 2 (Sophocle, *Teucer*, Nauck p. 256); πιθανοῖ δὲ τὸ πρᾶγμα καὶ ἡ **οἰκεία** λέξις 08 a 20; τοῖς δὲ ῥητορικοῖς οὐκ **οἰκεῖον** ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις 94 a 13; τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον [ὄνομα] καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν 04 b 32; εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος καὶ τὸ ἀλλότριον 14 a 13; οὐθὲν γὰρ οἰκεῖον ὑπάρχει τοῖς ἐριστικοῖς καὶ 'Ελένῃ 14 b 28; οὐ μόνον δὲ τῆς **οἰκείας** πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι 59 b 37; ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν οὔσης αὐξητέον 76 b 6; οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ **οἰκείῳ** πάθει 85 b 33; καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν **οἰκείαν** σωτηρίαν 98 b 10; καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ **οἰκεῖοι** ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα · οἰκεῖα γὰρ οἴονται αὑτοῖς εἶναι, καὶ ἄξιοι τούτων 88 b 8-9; ἐξ ὧν ἐάν τε ὑπάρχωσιν **οἰκεῖαι** [αἱ μαρτυρίαι] αὔξειν ἔστιν 76 b 34; ταῦτα δὲ πάντα ⟨**οἰκεῖα**⟩ καὶ ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα 61 a 15; ὅρος... τοῦ δὲ οἰκεῖα εἶναι ὅταν ἐφ' αὑτῷ ᾖ ἀπαλλοτριῶσαι ἢ μή 61 a 21; οἱ γὰρ φίλοι συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν 79 b 23; 88 b 9 (*supra*); ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ

ἦθος 08 a 31 ; δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ 15 a 7 ; καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν **οἰκείων** ὕβρεις ἢ εἰς αὑτοὺς ἢ εἰς υἱεῖς 73 a 35 ; ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ **οἰκείων** κρίνει 54 b 30 ; πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ [τῇ ῥητορικῇ] τῶν οἰκείων θεωρημάτων 59 b 8 ; ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκεν καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. Λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι... 60 a 22-23 ; ἐκ τῶν οἰκείων 08 a 26 (*var.*) ; δεῖ δὲ μεταφέρειν... ἀπὸ οἰκείων καὶ μὴ φανερῶν 12 a 11 ; σκοπεῖν εἰ ἐναντία ἐστί τινι τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν, καὶ τῶν γεγραμμένων ἢ τοῖς **οἰκείοις** ἢ τοῖς ἀλλοτρίοις 76 b 26 ; πάντες γὰρ μεταφοραῖς διαλέγονται καὶ τοῖς οἰκείοις [ὀνόμασιν] καὶ τοῖς κυρίοις 04 b 34 ; ἀναγκαῖον... μὴ μόνον τοὺς **οἰκείους** πολέμους τεθεωρηκέναι, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων 60 a 4 ; εἰ τοῖς κακῶς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων οὐ παραδιδόασι τοὺς οἰκείους, οὐδὲ τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας ναῦς ⟨τὰς **οἰκείας**⟩... 98 b 7-8 ; ἔστιν γὰρ ἄλλο ἄλλου κυριώτερον [ὄνομα] καὶ ὡμοιωμένον μᾶλλον καὶ **οἰκειότερον** τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 12 ; ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ **οἰκειότερα** [τὰ ὑπάρχοντα] καὶ ἧττον κοινά 96 b 10 ; περὶ δὲ ἀρετῆς ἐπείπερ **οἰκειότατος** ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον 62 a 13 ; ἔστιν δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν **οἰκειότατον** τοῖς ἐπιδεικτικοῖς, τὸ δὲ γεγονὸς τοῖς δικανικοῖς, ... τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς 92 a 4. — Voir ἀλλότριος, κοινός.

οἰκειότης (ἡ), appartenance à une même maison : εἴδη δὲ φιλίας ἑταιρεία, οἰκειότης, συγγένεια καὶ ὅσα τοιαῦτα 81 b 34 ; ἐλεοῦσι δὲ τούς τε γνωρίμους, ἂν μὴ σφόδρα ἐγγὺς ὦσιν **οἰκειότητι** · περὶ δὲ τούτους ὥσπερ περὶ αὑτοὺς μέλλοντας ἔχουσιν 86 a 19.

οἰκέτης (ὁ), serviteur, domestique : σημεῖον δὲ ἐπὶ τῆς τῶν **οἰκετῶν** κολάσεως 80 a 17 ; « ἰδίᾳ μὲν τοῖς βαρβάροις **οἰκέταις** χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας » 10 a 15 (= Isocrate, *Panég.*, § 181).

οἰκία (ἡ), maison : καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία 75 b 33 ; καὶ εἰ τὸ ἕνεκα τούτου γέγονε, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία 93 a 8 ; ἔστι γὰρ εἰκάσαι τὴν ἀσπίδα φιάλῃ Ἄρεως καὶ τὸ ἐρείπιον ῥάκει **οἰκίας** 13 a 7 ; χαλεπώτερον γὰρ καλὴν οἰκίαν ἢ **οἰκίαν** εἶναι 92 a 15*.

οἰκοδομεῖν, bâtir, construire : οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος τεθῇ καὶ δι' οὓς τὸ δεσμωτήριον **ᾠκοδομήθη** 75 a 6.

οἴκοι, chez eux, dans leur patrie : « τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δ' ἱκανὴν τὴν οἴκοι κατέλιπον » 10 a 4* (= Isocrate, *Panég.*, § 35) ; « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται » 10 a 19 (Lycophron).

οἰκονόμος (ὁ), administrateur : καὶ οὐ χάριτος, ἀλλὰ πανδήμου χάριτος δημιουργός, καὶ οἰκονόμος τῆς τῶν ἀκουόντων ἡδονῆς 06 a 26 (Alcidamas).

οἶκτος (ὁ), compassion : ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ **οἶκτον** ἢ δείνωσιν φέρει 17 a 13.

οἰκτρός, ά, όν, digne de pitié, misérable : « καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ » 97 b 25 (*fr. trag. adesp.* n° 81, Nauck p. 855).

Οἰνεύς (ὁ), Œnée : « Οἰνεὺς δ' ἄρ' οὐχὶ κλεινὸν ἀπολέσας γόνον ; » 97 b 26 (*fr. trag. adesp.*. n° 81, Nauck p. 855) ; καὶ ὁ ἐν τῷ **Οἰνεῖ** πρόλογος 17 a 16 (cf. Euripide, *Œnée*, Nauck, p. 536-539).

οἶνος (ὁ), vin : οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων **οἴνῳ** 71 a 18 ; καθάπερ πρὸς τοὺς **οἴνους** τοὺς μεμιγμένους 04 b 21.

οἰνοῦσθαι, être légèrement pris de vin : ὥσπερ γὰρ οἱ **οἰνωμένοι**, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως 89 a 18.

οἷος, α, ον, quel, quelle, que ; **οἷον**, comme, ainsi, par exemple ; **οἷός τε**, capable de, tel que ; **οἷόν τε**, [il est] possible :

οἷος : 70 b 28 (καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν) ; 71 a 9 (τοιοῦτος οἷος ὁ σπουδαῖος) ; 93 b 8 (λόγος δέ, οἷος ὁ Στησιχόρου) ;

οἷον : 54 b 18 (οἷον τί δεῖ τὸ προοίμιον... ἔχειν) ; 55 b 5, 24, 28, 36 ; 56 a 25 ; 56 b 30, 34 ; 57 a 19 ; 57 b 11 (οἷον εἴ τις), 14 (*id.*), 18 (*id.*), 30 ; 58 a 14, 18 ; 58 b 4, 5, 31 ; 59 a 3, 11 & 13 (οἷόν τε... οἷόν τε...), 24 (οἷόν τι μεῖζον ἀγαθόν), 28 ; 60 a 25 ; 60 b 21 ; 61 a 2, 36 ; 62 a 3, 7 (οἷον εἰ), 30 ; 62 b 15, 32 (οἷον εἰ) ; 63 a 18 ; 63 b 1, 23 (οἷον εἰ) ; 64 a 1, 4, 24, 37 ; 64 b 20, 21, 35 (οἷον εἰ) ; 65 a 31, 34 ; 65 b 8 ; 67 a 17, 29, 34, 37 ; 67 b 2, 10, 12 (οἷον εἰ), 15 (*id.*), 29 ; 68 a 3, 10 (οἷον εἰ), 17 ; 68 b 16 ; 69 a 29 ; 70 a 21 ; 70 b 17, 21 ; 71 a 5 ; 71 b 6, 14, 22 ; 72 a 22 ; 72 b 1, 4 (οἷον εἰ), 27 ; 73 a 8, 12* (οἷον... οἷον εἴ τις...), 19, 29, 34 ; 73 b 9 ; 74 a 2, 13, 14, 23, 32 ; 74 b 25, 36 ; 75 a 5, 9 ; 75 b 9, 29 ; 76 a 1, 3 (οἷον εἴ τις...), 9, 15 (οἷον εἰ) ; 77 a 30 (οἷον εἰ) ; 78 a 21, 23, 34 ; 79 a 1, 14, 20, 37 ; 79 b 28, 34 ; 80 b 3 ; 81 b 11 ; 82 a 5, 23 (οἷον εἰ) ; 83 b 18, 23 ; 84 a 12, 30 ; 84 b 10, 18, 21 ; 85 a 23, 27 ; 85 b 18 (τοιοῦτο... οἷον), 29 ; 86 a 14 ; 86 b 1, 4, 26 ; 87 a 10 (ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι), 15, 28 ; 87 b 1 (οἷον εἰ) ; 88 b 14, 16 ; 89 a 23 (οἷόν τε) ; 90 b 28, 30 ; 91 a 1, 19 ; 91 b 6, 10 ; 92 a 17, 20 (οἷον εἰ) ; 92 b 2 (*id.*), 18 (*id.*), 27 (*id.*), 30 (*id.*) ; 93 a 6 (*id.*), 7 (*id.*), 14, 30 ; 93 b 4 (οἷον εἴ τις) ; 94 a 22, 23, 28, 32 ; 94 b 12, 15, 22, 30 (οἷον εἴ τις), 35 (*id.*) ; 95 a 12, 19, 21, 23 (οἷον εἴ τις), 29 ; 95 b 7 (οἷον εἴ τις), 32 ; 96 a 7, 17, 31 ; 96 b 15 ; 97 a 10, 21, 25 ; 97 b 14 (οἷον εἰ), 34 ; 98 a 5, 16, 29, 31 (οἷον εἰ), 34 ; 98 b 25* (οἷόν τε... οἷον...), 26 ; 99 a 14, 22, 36 ; 99 b 2, 6, 16, 22 (οἷον εἰ), 37 (*id.*) ; 00 a 10, 18, 26, 28, 33 ; 00 b 6, 11, 18 ; 01 a 28 ; 01 b 10 (οἷον εἴ τις), 15, 20, 30, 32, 35 ; 02 a 5, 19, 20, 37 (οἷον εἰ) ; 02 b 4 (*id.*), 6 (*id.*), 9 (οἷον εἴ τις) ; 03 a 25 (οἷον εἰ) ; 03 b 28, 29 ; 04 a 14, 26 ; 04 b 22 ; 05 a 1, 16, 32, 37 ; 05 b 19, 22*, 36 ; 06 a 7, 20, 36 ; 06 b 9, 27 ; 07 a 17 (οἷον εἰ), 22, 35 ; 07 b 15, 20, 22, 27, 39 ; 08 a 9, 14, 27 ; 08 b 6, 15 ; 09 b 21, 34 ; 10 a 2 ; 10 b 4, 26, 29 ; 11 a 31 ; 11 b 26, 34 ; 12 a 12, 23, 34 ; 12 b 4, 12, 27, 32 (οἷον εἰ), 36 ; 13 a 4, 18, 22 ; 13 b 13, 19, 25 ; 14 b 5, 17, 21, 31, 36 ; 15 a 3 ; 15 b 14 (« οἷον οὐδεπώποτε ἀκηκόατε δεινόν ») ; 16 a 15, 23 (οἷον εἰ) ; 16 b 1, 12, 27 (οἷον εἰ) ; 17 a 4, 11 (οἷον εἰ), 22 ; 17 b 18, 23 (οἷον εἰ) ; 18 a 28, 31, 34 ; 18 b 10, 34 ; 19 a 2, 4 (οὐχ οἷόν τε ἀτέλεστον ἀκούειν), 8, 18 (οὐ γὰρ οἷόν τε πολλὰ ἐρωτᾶν), 26 ; 20 a 2 ;

οἵας 04 a 38 (ἀλλ' ὅσα περὶ τοιαύτης [λέξεως] οἵας λέγομεν ;

οἷον 85 b 17 (τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν) ;

οἵαν 14 a 39 (πῶς ἐνδέχεται εἶναι διήγησιν οἵαν λέγουσιν) ;

οἷοι 72 b 10 (οἷοι ἀναμάχεσθαι) ; 80 a 3 (τοιούτους οἷοι ὄντες), 31 (εἰς τοιούτους οἷοί περ αὐτοί) ; 83 a 9 (τοιοῦτοί εἰσιν οἷοι παθεῖν) ; 85 b 24 (εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἄν) ; 88 a 29 (οἷοι οἱ εἰρημένοι) ; 89 a 3 (οἷοι ποιεῖν ἃ ἂν ἐπιθυμήσωσι), 9 (οἷοι ἀκολουθεῖν τῇ ὀργῇ) ;

οἷα 67 b 18 (« ἐξ οἵων εἰς οἷα » : Iphicrate) ; 72 a 25 (τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς) ; 73 a 10 (ἢ τοιαῦτα οἷα ἀδικοῦνται) ; 85 b 28 (καὶ οἷα παθεῖν τὰ εἰρημένα) ; 19 b 24 (καὶ οἷα καὶ ἡλίκα) ;
οἵων 76 a 32 (ἐκ τῶν αὐτῶν τόπων λεκτέον ἐξ οἵων περ...) ;
οἵων 67 b 18 (« ἐξ οἵων εἰς οἷα » : Iphicrate, *supra*) ;
οἵοις 80 a 4 (καὶ τοιούτους οἵοις ὀργίζονται) ;
οἵους 81 b 5 (οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι...) ; 84 b 28 (οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται).

οἰστέος, α, ον, qu'il faut porter, transporter : τὰς δὲ μεταφορὰς ἐντεῦθεν **οἰστέον**, ἀπὸ καλῶν 05 b 17 ; **οἰστέαι** δὲ [αἱ εἰκόνες] ὥσπερ αἱ μεταφοραὶ 06 b 25. — Voir φέρειν.

ὀϊστός (ὁ), trait, flèche : « ἔπτατ' ὀϊστός » 12 a 1 (= *Iliade*, V, 99 = XIII, 587).

οἴχεσθαι, s'en aller : « ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα **ᾤχετο** » 07 b 9 ; « ὁ δ' ᾤχετό με ὑποβλέψας » 17 a 38.

οἰωνός (ὁ), présage : « εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης » 95 a 14 (= *Iliade*, XII, 243).

ὀλιγάκις, rarement, peu de fois : τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει 64 a 27 ; τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον 04 b 29 ; χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ · ποιητικὸν γάρ 06 b 24 ; ὀλιγάκις γὰρ καὶ τούτων ἀποδείξεις φέρουσιν 17 b 32.

ὀλιγαρχία (ἡ), oligarchie : εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία 65 b 29 ; ὀλιγαρχία δὲ ἐν ᾗ [διανέμονται τὰς ἀρχάς] οἱ ἀπὸ τιμημάτων 65 b 33 ; ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, **ὀλιγαρχίας** δὲ πλοῦτος, ἀριστοκρατίας δὲ... 66 a 4 ; οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς **ὀλιγαρχίαν**, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα 60 a 26.

ὀλιγαχοῦ, en peu d'endroits : τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον 04 b 29 ; καὶ μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου · ὀλιγαχοῦ γὰρ ἁρμόττει 07 a 26.

ὀλίγος, η, ον, peu nombreux ; **ὀλίγον**, peu, un peu : « ἔστι τις ἠνεμόεις ὀλίγος λόφος » 08 a 3 (= Antimaque, *Thébaïde, fr.* 2) ; μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ **ὀλίγον** πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως 63 b 10-12 ; τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν [τοῖς πρεσβυτέροις] ὀλίγον, τὸ δὲ παρεληλυθὸς πολύ 90 a 7 ; ἤδη μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα 93 b 29 ; ἐγκεχειρήκασιν δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινές 04 a 14 ; ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπης ἢ ἐν **ὀλίγῳ** χρόνῳ 63 a 23 ; ἡ μάθησις διὰ μὲν τὸ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν **ὀλίγῳ** θᾶττον γίνεται 12 b 25 ; καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν **ὀλίγον** αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν 05 b 23 ; ὁτὲ δὲ οὗ μηδεὶς ἢ οὗ **ὀλίγοι** [μετέχουσι] 65 a 6 ; ἐπεὶ δ' ἐστὶν **ὀλίγα** μὲν τῶν ἀναγκαίων ἐξ ὧν οἱ ῥητορικοὶ συλλογισμοί εἰσι 57 a 22 ; καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν 88 a 23 ; πέμπτον ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν 07 b 9 ; οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' **ὀλίγων** 68 a 11 ; καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων [μᾶλλον οἴονται ἀληθεύειν] 71 a 13 ; καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων πεποίηκεν 75 a 2 ; καὶ ἐξ **ὀλίγων** τε καὶ πολλάκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός 57 a 16 ; τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν **ὀλίγοις** 94 a 13 ; πρῶτον μὲν ὅτι ἕνα λαβεῖν καὶ **ὀλίγους** ῥᾷον ἢ πολλοὺς εὖ φρονοῦντας 54 a 34.

ὀλιγοφιλία (ἡ), petit nombre d'amis : [ὀδυνηρὰ καὶ φθαρτικὰ]... ὧν δ' ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία 86 a 10.

ὀλιγοχρόνιος, ος, ον, qui dure peu, de brève durée : καὶ τὰ πολυχρονιώτερα τῶν **ὀλιγοχρονιωτέρων** [μείζω ἀγαθά] 64 b 30.

ὀλιγωρεῖν, négliger, dédaigner, faire peu de cas de : τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος 78 a 32 (voir ὀλιγωρία) ; 78 b 18 *var.* ; προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν 79 b 12 ; οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν 80 a 14 ; ὅ τε γὰρ καταφρονῶν **ὀλιγωρεῖ** 78 b 16 ; ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ 78 b 20 ; καὶ ὁ ὑβρίζων δὲ ὀλιγωρεῖ 78 b 23 ; ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ 78 b 30 ; φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ 80 a 24 ; οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ 80 a 36 ; ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν 78 b 17 ; ὀλιγωροῦσι τοῦ δοκεῖν [οἱ πρεσβύτεροι] 90 a 3 ; κἂν ὁτιοῦν ἄλλο **ὀλιγωρῇ** τις 79 a 23 ; ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον 79 b 26 ; καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι **ὀλιγωρῶσι**, μᾶλλον [ὀργίζονται] 79 b 11 ; καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις [ὀργίζονται]... ἢ γὰρ ἐχθροῦ ἢ **ὀλιγωροῦντος** σημεῖον 79 b 18 ; ὅμοιοι γάρ εἰσιν ἢ **ὀλιγωροῦσιν** ἢ ἐχθροῖς 79 b 22 ; ἔτι [ὀργίζονται] τοῖς ὀλιγωροῦσι πρὸς πέντε 79 b 23 ; καὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν 79 b 27 ; εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἑκούσιον... 80 a 10 ; ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος **ὀλιγωροῦντας** 79 a 20 ; ἐφοβεῖτο γὰρ ἂν καὶ οὐκ **ὠλιγώρει** 78 b 21 ; ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι **ὀλιγωρήσας** τοῦ αὑτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν 59 a 2 ; διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται **ὀλιγωρούμενοι** [οἱ νέοι] 89 a 11.

ὀλιγωρία (ἡ), dédain, mépris, indifférence : ἐπεὶ δὲ ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον 78 b 11 ; καὶ τοῖς χάριν μὴ ἀποδιδοῦσιν [ὀργίζονται] · παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία 79 b 30 ; ἡ δ' ἀμέλεια ὀλιγωρία τίς ἐστιν 79 b 36 ; εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἑκούσιον 80 a 10 ; ἡ δ' ἀναισχυντία ὀλιγωρία καὶ καταφρόνησις 80 a 20 ; ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης 80 a 36 ; ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα 83 b 15 ; τρία δ' ἐστὶν εἴδη **ὀλιγωρίας**, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις 78 b 14 ; ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας 79 b 11 ; ὀλιγωρίας γὰρ τὸ μὴ αἰσθάνεσθαι σημεῖον 79 b 15 ; ὀλιγωρίας γὰρ δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι 79 b 35 ; ὁ δ' ἀναίσχυντος δι' **ὀλιγωρίαν** δόξης [ἄδικός ἐστιν] 68 b 23 ; ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ τῶν αὐτοῦ, τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος 78 a 31 ; οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι 80 a 35.

ὀλίγωρος, ος, ον, méprisant, dédaigneux : οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ ὑβρισταὶ καὶ **ὀλίγωροι** καὶ θρασεῖς 83 a 2 ; καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' **ὀλιγώροις** εἰς μηδένα [πρᾶοί εἰσιν] 80 a 30.

ὀλιγώρως, avec mépris, avec dédain : ὀλιγώρως ἔχουσιν 80 a 3 *var.*

ὅλος, ὅλη, ὅλον, tout entier, qui forme un tout ; **τὸ ὅλον**, le tout, la somme : ὅλος δὲ ὁ τόπος παραλογιστικός 01 a 34 ; ἔστι δ' ὁ τόπος οὗτος **ὅλη τέχνη** ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου 00 a 4 ; ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη 00 b 17 ; ἔστιν δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ καὶ ἡ εἰρημένη περίοδος, ἀλλ' ὅλη 09 b 16 ; ἔστι δὲ [τὸ παράδειγμα] οὔτε ὡς μέρος πρὸς **ὅλον**, οὔθ' ὡς ὅλον πρὸς μέρος, οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον 57 b 27*-

28* ; καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ 65 b 14 ; εἰσὶν δὲ πολιτεῖαι τέτταρες ... ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 31 ; καὶ μὴ πρὸς τὸ μέρος [ἐπιεικές], ἀλλὰ πρὸς τὸ ὅλον 74 b 15 ; καὶ ὧν τὰ μέρη δυνατά, καὶ τὸ ὅλον, καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ 92 a 28* ; καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος 92 b 1 ; περὶ δὲ συλλογισμοῦ ὁμοίως ἅπαντος τῆς διαλεκτικῆς ἐστιν ἰδεῖν, ἢ αὐτῆς **ὅλης** ἢ μέρους τινός 55 a 9 ; ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν 04 a 1 ; διαλύοι ἄν τις τἀληθῆ λέγων καθ' **ὅλου** τοῦ γένους τῶν βασάνων 77 a 2 ; καὶ τοὺς καθαρίους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ **ὅλον** τὸν βίον [φιλοῦσιν] 81 b 2 ; ἁρμόττει καὶ μὴ ὅλον τὸν λόγον ὁμοειδῆ εἶναι 14 b 29. — Voir καθόλου, ὅλως.

'Ολύμπια (τά), Jeux Olympiques : οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα νενίκηκεν, ἱκανὸν εἰπεῖν ὅτι 'Ολύμπια γὰρ νενίκηκεν, τὸ δ' ὅτι στεφανίτης τὰ 'Ολύμπια, οὐδὲ δεῖ προσθεῖναι · γιγνώσκουσι γὰρ πάντες 57 a 20-21.

'Ολυμπίασιν, à Olympie : καὶ 'Ηγησίπολις ἐν Δελφοῖς ἠρώτα τὸν θεόν, πρότερον κεχρημένος 'Ολυμπίασιν, ἐν αὐτῷ τὰ αὐτὰ δοκεῖ ἅ περ τῷ πατρί, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν 98 b 34.

ὀλυμπιονίκης (ὁ), vainqueur aux Jeux Olympiques : καὶ τὸ τοῦ **ὀλυμπιονίκου** · « πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν » 67 b 18 ; ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ **ὀλυμπιονίκῃ** 65 a 25.

'Ολυμπικὸς λόγος (ὁ), *Discours Olympique* : οἷον Γοργίας μὲν ἐν τῷ **'Ολυμπικῷ λόγῳ** 14 b 31.

'Ολύμπιος, α, ον, de l'Olympe, Olympien : « ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν **'Ολύμπιοι** » 01 a 19 (= Pindare, *Parthénée*, *fr.* 96 Snell = *fr.* 4 Puech).

'Ολυνθιακός, ή, όν, d'Olynthe : καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν **'Ολυνθιακὸν** πόλεμον, ἠγανάκτει 11 a 7.

ὅλως, en entier, complètement, tout à fait : εἴπερ καὶ ὅλως ἀνάγκη ἢ συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι 56 b 8 ; ὅλως μὲν γὰρ συλλογισμὸς ἐκ ποτάσεών ἐστιν 59 a 8 ; ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι 61 a 23 ; ἢ ὅλως ἢ ἐνταῦθα ἢ τότε 61 a 32 ; ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστιν ἀπὸ τύχης, ἐφ' οἷς ἐστιν ὁ φθόνος 62 a 5 ; καὶ ὅλως ὃ οἱ ἐχθροὶ βούλονται 62 b 34 ; καὶ ὅλως τὰ προαιρετὰ [ἀγαθά] 63 a 19 ; καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν μείζους · καὶ εἰ οἱ ἄνδρες ὅλως τῶν γυναικῶν μείζους 63 b 24-25 ; καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος 64 a 29 ; καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν 67 b 11 ; ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς 68 a 26 ; καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων 69 a 28 ; καὶ αἱ περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά 70 a 24 ; ὅλως δὲ ὅσα παρόντα εὐφραίνει 70 b 9 ; καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν 72 a 21 ; ἀφύλακτα γὰρ διὰ τὸ ὅλως μηδένα ἂν οἴεσθαι 72 a 24 ; καὶ ὅλως ἁμαρτεῖν ἀλλὰ μὴ ἀδικεῖν 72 b 18 ; καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί 73 a 17 ; καὶ ὅλως αὐτὸς ὁ νόμος συνθήκη τίς ἐστιν 76 b 9 ; κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν, καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ 79 a 1 ; ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντές τι 79 a 18 ; ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως ἢ μὴ ἰσχυρῶς 79 a 40 ; καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις καὶ ὅλως εὐθυμουμένοις ἐν ταῖς αὐτῶν ἀτυχίαις 79 b 17 ; ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραΰνοντα 80 a 31 ; ἐν κατορθώσει, ἐν πληρώσει, ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδονῇ μὴ ὑβριστικῇ 80 b 4 ; καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους 81 b 26 ;

ἀλλ' ἢ ὅλως ἀδύνατα ἢ μὴ ἐπ' αὐτοῖς 82 b 23; ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως ἢ μὴ ἔχωσιν δύναμιν 83 a 22; καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ 83 b 4; οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι 84 a 1; ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου 84 a 11; ὅλως δὲ οὐκ αἰσχύνονται οὔθ' ὧν πολὺ καταφρονοῦσι... 84 b 22; καὶ ὅλως ὑπὲρ ὧν αἰσχύνονται αὐτοί 85 a 4; καὶ ὅλως δὴ ὅταν ἔχῃ οὕτως ὥστ' ἀναμνησθῆναι 86 a 1; ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν ὅτι... 86 a 27; ἢ ὅλως οὐκ ἐλεοῦσιν ἢ οὐχ ὁμοίως 86 a 31; καὶ φωναῖς καὶ ἐσθῆσι καὶ ὅλως ἐν ὑποκρίσει 86 a 33; καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὐτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι 87 b 12; καὶ ὅλως οἱ φιλόδοξοι περί τι φθονεροὶ περὶ τοῦτο 87 b 33; ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται 88 a 15; καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν 89 a 2; ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων 91 b 16; καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι 92 a 14; περὶ δὲ... μείζονος καὶ ἐλάττονος καὶ ὅλως μεγάλων καὶ μικρῶν 93 a 10; ὅλως γὰρ βούλεται ὁ κατηγορῶν βελτίων εἶναι τοῦ φεύγοντος 98 a 12; καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκάστου λαμβάνειν ὡς τὸ αὐτὸ ἀεί 99 b 9; ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμημάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν 03 b 1; καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς 05 b 3; καὶ διὰ τὸ ὅλως ἔλαττον εἶναι ἁμάρτημα διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις 07 b 1; ὅλως δὲ δεῖ εὐανάγνωστον εἶναι τὸ γεγραμμένον καὶ εὔφραστον 07 b 11. — Voir καθόλου, ὅλος.

Ὅμηρος (ὁ), Homère : καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν, οἷον Ὀδυσσέα Ἀθηνᾶ... καὶ Ἀχιλλέα Ὅμηρος 63 a 19; διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ, ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ 70 b 11; καὶ ὡς κέχρηται πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς 11 b 32; τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος ἐν τῷ « Νιρεὺς αὖ Σύμηθεν... » 14 a 2; πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ **Ὁμήρου** ἔστιν 17 b 4; οἷον Ἀθηναῖοι **Ὁμήρῳ** μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος 75 b 30; καὶ Χῖοι **Ὅμηρον** [τετιμήκασιν] οὐκ ὄντα πολίτην 98 b 13. — Voir ποιητής & *Index des citations.*

ὁμιλεῖν, être en relations, fréquenter : καὶ [ὀργίζονται] τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως **ὁμιλῶσιν** 79 b 5.

ὁμιλία (ἡ), compagnie, société : ὑπεριδὼν γὰρ τὴν πολλῶν **ὁμιλίαν** ἐν τῇ Ἴδῃ διέτριβεν καθ' αὑτόν 01 b 21.

ὄμμα (τὸ), œil, regard; **πρὸ ὀμμάτων εἶναι**, être mis devant les yeux, être l'objet d'une représentation, d'une peinture : « αἰδώς κέν σε οὐκ εἶχεν **ὄμματ'**, ἀλλ' ἔλεγες περὶ τῶ δικαίω » 67 a 13 (= Sappho, *fr.*. 137, Lobel-Page, p. 94); ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι **πρὸ ὀμμάτων** ποιοῦντες 86 a 34; ἔστιν γὰρ ἄλλο ἄλλου κυριώτερον καὶ ὡμοιωμένον μᾶλλον καὶ οἰκειότερον, τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 12; ἔτι εἰ πρὸ ὀμμάτων ποιεῖ, ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον ἢ μέλλοντα 10 b 34; τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 26, 28 & 35; καὶ τὸ « διὰ μέσου » πρὸ ὀμμάτων ποιεῖ 11 b 4; πρὸ ὀμμάτων μεταφορά 11 b 6; μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ αεί, ἀλλὰ πρὸ ὀμμάτων 11 b 9; ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται· λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο. Λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν, ὅσα ἐνεργοῦντα σημαίνει 11 b 23-24-25.

ὀμνύναι, prêter serment : καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι περὶ ὧν ἄλλους ἀξιοῦσιν ὀμνύναι 77 a 28-29 ; ἂν ὁ μὲν ἀσεβὴς διδῷ, ὁ δ' εὐσεβὴς **ὀμνύῃ** 77 a 24 ; ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὑπεναντίος καὶ ὀμωμοσμένος, ὅτι πάντα ἀναιρεῖ μὴ ἐμμένων οἷς **ὤμοσεν** · διὰ γὰρ τοῦτο καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες 77 b 7-8-9 ; καὶ διότι ὁ μὲν **ὀμόσας** οὐκ ἀποδίδωσιν, τοὺς δὲ μὴ ὀμόσαντος οἴεται καταδικάσειν 77 a 12-13 ; ὀμόσας μὲν οὖν ἕξει, μὴ ὀμόσας δ' οὔ 77 a 17-18 ; **ὀμόσαντος** 77 a 13 (*supra*) ; **ὀμόσαντες** 77 b 9 (*supra*) ; καὶ ὑμᾶς μὲν ἀξιοῦσιν ἐμμένειν οἷς ὀμόσαντες δικάζετε, αὐτοὶ δὲ οὐκ ἐμμένουσιν ; 77 b 10 ; δεινόν τε τὸ μὴ θέλειν αὐτόν, ὑπὲρ ὧν ἐκείνους ἀξιοῖ **ὀμόσαντας** δικάζειν 77 a 25 ; « ἡ γλῶσσ' **ὀμώμοχ'**, ἡ δὲ φρὴν ἀνώμοτος » 16 a 32 (= Euripide, *Hippolyte*, 612) ; ἔτι ἄλλως παρὰ ταῦτα, εἰ **ὀμώμοσται** οὗτος ἢ ὑπ' αὐτοῦ ἢ ὑπ' ἐκείνου 77 a 11 ; **ὀμωμοσμένος** 77 b 7 (*supra*). — Voir ἐπιορκεῖν, κατόμνυσθαι, συνομνύναι.

ὁμογενής, ής, ές, de même genre, de même espèce : ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἐπὶ θάτερα τῶν **ὁμογενῶν** 07 a 16.

ὁμοεθνής, ής, ές, du même peuple : ὁμοίους δὲ λέγω **ὁμοεθνεῖς**, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου 84 a 10.

ὁμοειδής, ής, ές, uniforme, ressemblant, monotone : ἅμα δὲ καὶ ἐὰν ἐκτοπίσῃ, ἁρμόττει, καὶ μὴ ὅλον τὸν λόγον **ὁμοειδῆ** εἶναι 14 b 29 ; ἔτι δὲ οὐ πόρρωθεν δεῖ ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν **ὁμοειδῶν** μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως 05 a 35.

ὅμοιος α, ον, semblable, conforme, égal : εἰσὶν δ' εἰκόνες οἷον ἣν 'Ανδροτίων εἰς 'Ιδριέα, ὅτι ὅμοιος τοῖς ἐκ τῶν δεσμῶν κυνιδίοις 06 b 27 ; καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκώφῳ δέ 06 b 35 ; καὶ ὁ Δημοσθένης εἰς τὸν δῆμον, ὅτι ὅμοιός ἐστιν τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσιν 07 a 7 ; ἔστι γὰρ [ἡ ῥητορικὴ] μόριόν τι τῆς διαλεκτικῆς καὶ **ὁμοία** 65 a 31 ; ὁμοία δ' ἐστὶν [ἡ ῥητορικὴ] τὰ μὲν τῇ διαλεκτικῇ, τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις 59 b 11 ; ὅτι οὐκ ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο 77 a 20 ; **ὅμοιον** γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν 54 a 25 ; τό τε γὰρ ἀληθὲς καὶ τὸ ὅμοιον τῷ ἀληθεῖ τῆς αὐτῆς ἐστι δυνάμεως ἰδεῖν 55 a 14 ; [παράδειγμα] ὡς... ὅμοιον πρὸς ὅμοιον 57 b 28-29 ; ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει 70 a 7 ; ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν 71 b 18 ; καὶ τοιοῦτο κακὸν οἷον εἴρηται ἐν τῷ ὅρῳ ἢ ὅμοιον ἢ παραπλήσιον 85 b 19 ; καὶ εἰ τὸ ὅμοιον δυνατόν, καὶ τὸ ὅμοιον 92 a 12* ; ὅμοιον γὰρ ἐπαγωγῇ τὸ παράδειγμα 93 a 26 ; ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη 93 b 5 ; ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν 94 a 5 ; ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς... 01 b 24 ; μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει 03 a 9 ; ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνονται καὶ ἀναβολῇ ὅμοιον 09 b 25 ; οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου 12 a 12 ; τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ 14 b 22 ; καὶ ὁ φθόνος ἐστὶν καὶ ἐπὶ εὐπραγίᾳ, ἀλλ' οὐ τοῦ ἀναξίου ἀλλὰ τοῦ ἴσου καὶ **ὁμοίου** 86 b 19 ; ἄλλος [τόπος] ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ ἢ **ὁμοίου** ἢ ἐναντίου 98 b 21 ; ἢ γὰρ ἐξ ἑαυτοῦ ἢ ἐκ τοῦ ὁμοίου ἢ ἐκ τοῦ ἐναντίου ἢ ἐκ τῶν κεκριμένων 02 a 36 ; ἀπὸ δὲ τοῦ ὁμοίου, οἷον εἰ... 02 b 6 ; τὰ δὲ [ἐνθυμήματα] διὰ τοῦ ὁμοίου, ἢ ἑνὸς ἢ πλειόνων 02 b 17 ; ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ **ὁμοίῳ** καὶ αὐτῷ 86 b 30 ; προσέχειν γὰρ ποιεῖ τῷ **ὁμοίῳ**, πότε πάλιν ἥξει 08 b 23 ; ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν **ὁμοῖον**, καὶ ἔγνω δὲ θὴρ θῆρα 71 b 16 ; τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην... ἢ κατεστραμμένην καὶ **ὁμοίαν** ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις 09 a 27 ; εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ **ὅμοιοι** ἢ οἱ ἥττους κατώρθωσαν 63 a 32 ; ὅμοιοι γὰρ εἰσιν

ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς 79 b 21 ; τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι 84 a 9 ; ἢ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι 85 a 6 ; φθονήσουσι μὲν γὰρ οἱ τοιοῦτοι οἷς εἰσί τινες ὅμοιοι ἢ φαίνονται 87 b 26 ; εἰσὶν δὲ καὶ οὗτοι οἱ ἐγγὺς καὶ ὅμοιοι 88 a 19 ; καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι 88 b 19 ; καὶ ἡ Περικλέους [εἰκὼν]... εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις 07 a 4 ; καὶ τὰς δυνάμεις, πότερον **ὅμοιαι** ἢ ἀνόμοιαι 60 a 2 ; ἀπὸ γὰρ τῶν ὁμοίων τὰ **ὅμοια** γίγνεσθαι πέφυκεν 60 a 5* ; ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως 67 b 25 ; πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ 71 b 13 ; καὶ...οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχεν τῷ ἀδικοῦντι 73 a 33 ; καὶ τὰ σημεῖα καὶ τὰ ὅμοια αἰσχρὰ καὶ ἀναίσχυντα 84 a 8 ; ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν 94 a 3 ; ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν 94 a 7 ; τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται 07 a 2 ; ἅπαντα δὴ ταῦτα ὅμοια, ὥστ' ἂν μὴ τοιούτου τινὸς ἕνεκα, φευκτέον 07 b 5 ; παρομοίωσις δὲ ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον 10 a 25 ; τὰ μὲν γὰρ τῶν διθυράμβων [προοίμια] ὅμοια τοῖς ἐπιδεικτικοῖς 15 a 11 ; οἴονται δὲ ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν **ὁμοίων** 83 a 34 ; καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶν τοῖς προγόνοις αὐτῶν 90 b 19 ; καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τῶν **ὁμοίων** πτώσεων 64 b 34 ; ἄλλος [τόπος] ἐκ τῶν ὁμοίων πτώσεων 97 a 20 ; ὅτι τὸ μὲν ἐπὶ πολλῶν καὶ **ὁμοίων** δείκνυσθαι ὅτι οὕτως ἔχει ἐκεῖ 56 b 14 ; *cf.* 60 a 5* (*supra*) ; 87 b 7* (*infra*) ; καὶ ὅταν τοῖς **ὁμοίοις** φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι 83 a 32 ; εἰ γὰρ παρὰ δύναμιν καὶ παρὰ ἡλικίαν καὶ παρὰ τοὺς **ὁμοίους** 65 a 22 ; καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας [φιλοῦσιν] 81 b 15 ; ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου 84 a 10 ; φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους 84 a 31 ; καὶ τοὺς ὁμοίους ἐλεοῦσιν κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη 86 a 25 ; τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον 87 b 7* ; εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους 87 b 24 ; εἰ γάρ ἐστιν ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει 88 a 34 ; ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους 90 a 26 ; ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων **ὁμοιότατον** εἶναι τῶν ἄλλων 04 a 32.

ὁμοιοτέλευτος, ος, ον, qui se termine de la même façon, « homéotéleute » : ἔστιν δὲ ἅμα πάντα ἔχειν ταὐτό, καὶ ἀντίθεσιν εἶναι τὸ αὐτὸ καὶ πάρισον καὶ **ὁμοιοτέλευτον** 10 b 2. — Voir παρίσωσις, παρομοίωσις.

ὁμοιοῦν, assimiler, faire ressembler : ἔστι γὰρ ἄλλο ἄλλου κυριώτερον καὶ **ὡμοιωμένον** μᾶλλον καὶ οἰκειότερον, τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 11.

ὁμοίωμα (τὸ), objet ressemblant, image : ἔστι γὰρ [ἡ ῥητορικὴ] μόριόν τι τῆς διαλεκτικῆς καὶ ὁμοίωμα (*var.* ὁμοία), καθάπερ καὶ ἀρχόμενοι εἴπομεν 56 a 31.

ὁμοίως, semblablement, pareillement, de la même façon : περὶ δὲ συλλογισμοῦ ὁμοίως ἅπαντος τῆς διαλεκτικῆς ἐστιν ἰδεῖν 55 a 9 ; διὸ πρὸς τὰ ἔνδοξα στοχαστικῶς ἔχειν τοῦ ὁμοίως ἔχοντος καὶ πρὸς τὴν ἀλήθειάν ἐστιν 55 a 18 ; ὁμοίως γάρ εἰσιν ἀμφότεραι τῶν ἐναντίων (sc. ἡ διαλεκτικὴ καὶ ἡ ῥητορική) · τὰ μέντοι ὑποκείμενα πράγματα οὐχ ὁμοίως ἔχει 55 a 35-37 ; ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν 55 b 30 ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες 56 a 15 ; καθάπερ καὶ ἐν τοῖς διαλεκτικοῖς... καὶ ἐνταῦθα ὁμοίως 56 b 2 ; καθάπερ γὰρ καὶ

ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει 56 b 21 ; καὶ ῥήτορες ὁμοίως οἱ μὲν παραδειγματώδεις, οἱ δὲ ἐνθυμηματικοί 56 b 22 ; ὁμοίως δὲ τοῦτ' ἔχει ἐπὶ πάντων 58 a 21 ; τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων 58 a 32 ; ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις προΐενται 58 b 33 ; ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες 58 b 38 ; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων 59 a 25 ; λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν 60 b 30 ; ὁμοίως δὲ καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας δεῖ ζητεῖν 61 a 7 ; ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι 62 b 25 ; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων 68 a 18 ; ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων 68 b 23 ; ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι 69 a 15 ; καὶ περὶ τὰς ἐσπουδασμένας δὲ παιδιὰς ὁμοίως 71 a 4 ; ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις 71 b 35 ; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων 74 a 17 ; καὶ γὰρ ταῦτα εὐθεώρητα ὁμοίως 76 b 30 ; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων 78 a 26 ; ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν 79 a 15 ; ἐρῶν δὲ τοῖς πρὸς τὸν ἔρωτα, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις 79 a 22 ; οἷον οἱ ἐπὶ φιλοσοφίᾳ... οἱ δ' ἐπὶ τῇ ἰδέᾳ... ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων 79 a 39 ; καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν 81 b 24 ; ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακιῶν τὰ ἔργα καὶ τὰ σημεῖα καὶ τὰ ὅμοια αἰσχρὰ καὶ ἀναίσχυντα 84 a 6 ; αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως 84 a 12 ; ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς 84 b 20 ; ἢ ὅλως οὐκ ἐλεοῦσιν ἢ οὐχ ὁμοίως 86 a 32 ; ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν 86 b 20 ; ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα 87 a 5 ; ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πολύφιλοι κ. τ. α. 87 a 19 ; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων 87 a 23 ; φιλοῦσι γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἄλλα πάντα ὁμοίως 89 b 5 ; διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν 90 a 3 ; ὁμοίως δὲ καὶ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίαν 90 b 2 ; ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη 91 a 20 ; ἐάν τε πρὸς ἀμφισβητοῦντα, ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις, ὁμοίως 91 b 13 ; ὁμοίως δὲ καὶ « θνατὰ χρὴ τὸν θνατὸν... φρονεῖν » 94 b 25 ; ὁμοίως δὲ καὶ ψέγουσιν ἐκ τῶν ἐναντίων 96 a 16 ; ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν 96 a 30 ; ἄλλος [τόπος] ἐκ τῶν ὁμοίων πτώσεων · ὁμοίως γὰρ δεῖ ὑπάρχειν ἢ μὴ ὑπάρχειν 97 a 20 ; ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς 98 a 26 ; οὐκοῦν εἰ ὁμοίως ἐφ' ἁπάντων 98 b 9 ; οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν 99 b 7 ; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων 02 a 21 ; μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει 03 a 9 ; ἔτι οὐχ ὁμοίως ἔχον σημαίνει τόδε καὶ τόδε 05 b 13 ; ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν « πότνια συκῆ » 08 a 15 ; ἐὰν δὲ ἐλεεινά, ταπεινῶς, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως 08 a 19 ; ὥστε καὶ ἀποδέχονται δηλονότι ὁμοίως ἔχοντες 08 b 18 ; ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγον γίνονται καὶ ἀναβολῇ ὅμοιον 09 b 24 ; ἔστιν δὲ οὐχ ὁμοίως 15 a 29 ; καὶ ἐνταῦθα ὁμοίως 16 b 33 ; Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν, ὁμοίως δὲ καὶ ἀνδρείαν 18 a 37. — Voir ἴσως, ὡσαύτως.

ὁμολογεῖν, convenir, reconnaître, admettre, avouer ; **τὰ ὁμολογούμενα**, ce qui est communément admis, les propositions sur lesquelles on s'accorde : ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι 76 a 11 ; φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι 80 a 23 ; οὐδεὶς γὰρ **ὁμολογεῖ** δεῖσθαι φαύλων 85 b 9 ; ὁμολογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες 08 a 34 ; σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαιμο-

νίαν **ὁμολογοῦσιν** εἶναι ἅπαντες 60 b 18 ; ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες 63 a 12 ; ἐπεὶ δ' ὁμολογοῦντες πολλάκις πεπραχέναι ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν ἢ περὶ ὃ τὸ ἐπίγραμμα, οἷον λαβεῖν μὲν ἀλλ' οὐ κλέψαι 73 b 38-74 a 1 ; ἄλλος [τόπος], εἰ ἄλλοι ἐμπεριλαμβάνονται οὓς ὁμολογοῦσι μὴ ἐνόχους εἶναι τῇ διαβολῇ 16 a 23 ; διὰ γὰρ τὸ φανερὸν **ὁμολογοῖεν** ἄν, ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι 63 a 13 ; ἐπεὶ δὲ πολλάκις **ὁμολογοῦντες** ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν 63 b 5 ; 73 b 38 (*supra*) ; διὰ τὸ γὰρ εἶναι κοινά, ὡς **ὁμολογούντων** πάντων, ὀρθῶς ἔχειν δοκοῦσιν 95 a 12 ; καὶ τοῖς **ὁμολογοῦσι** καὶ μεταμελομένοις [πρᾶοί εἰσιν] 80 a 14 ; πρὸς δὲ τοὺς **ὁμολογοῦντας** δικαίως κολάζεσθαι παυόμεθα θυμούμενοι 80 a 18 ; ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν **ὁμολογήσειεν** · οὐδὲν γὰρ ἂν ἔδει δίκης 58 b 32 ; τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται, τὸ δὲ τοιοῦτον ἤδη πάντες ἂν **ὁμολογήσαιεν** τέχνης ἔργον εἶναι 54 a 11 ; ὡς δὲ ἀσύμφορα συμβουλεύουσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμολογήσαιεν 58 b 35 ; ὅτι πάντες ἂν **ὁμολογήσειαν** τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν 98 a 23 ; λέγω δὲ ἴδιον μὲν [νόμον] καθ' ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσι **ὁμολογεῖσθαι** δοκεῖ 68 b 9 ; δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν 19 b 21 ; ὥστε περὶ τὸ **ὁμολογούμενον** οὐ διατριπτέον 17 a 10 ; εἰ μὴ γὰρ κατὰ τοῦ πράγματος ἢ αὐτῷ **ὁμολογουμένης** [μαρτυρίας] ἢ τῷ ἀμφισβητοῦντι ἐναντίας 76 a 27 ; ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν οὔσης αὐξητέον 76 b 6 ; ταῦτα μὲν οὖν σχεδὸν τὰ **ὁμολογούμενα** ἀγαθά ἐστιν 62 b 29 ; τὰ δὲ μὴ πιθανὰ διὰ τὸ μὴ ἐξ **ὁμολογουμένων** εἶναι μηδ' ἐνδόξων 57 a 12 ; καὶ τὰ τῶν ὁμολογουμένων ἢ φαινομένων μεγάλων μείζω 65 a 9 ; ἔστι δὲ τὸ μὲν δεικτικὸν ἐνθύμημα τὸ ἐξ ὁμολογουμένων συνάγειν, τὸ δὲ ἐλεγκτικὸν τὰ ἀνομολογούμενα συνάγειν 96 b 36 ; **ὁμολογουμένους** 90 a 26 *var.* ; τὰς γὰρ πράξεις **ὁμολογουμένας** λαμβάνουσιν [οἱ ἐπιδεικτικοὶ λόγοι], ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος 68 a 28. — Voir ἀνομολογούμενος, ἀμφισβητεῖν, ἀμφισβητήσιμος, ἀντιλέγειν, ἐνδέχεσθαι.

ὅμορος, ος, ον, limitrophe, voisin : οὐ μόνον δὲ τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν **ὁμόρων** ταῦτα ἀναγκαῖον εἰδέναι 59 b 38.

ὁμωνυμία (ἡ), homonymie, similitude de nom : ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ **ὁμωνυμίᾳ** ἢ μεταφορᾷ, τότε τὸ εὖ · οἷον « Ἀνάσχετος οὐκ ἀνασχετός » ὁμωνυμίαν ἀπέφησε, ἀλλὰ προσηκόντως, εἰ ἀηδής 12 b 12-13 ; ἓν δὲ τὸ παρὰ τὴν **ὁμωνυμίαν**, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή · τὰ γὰρ μυστήρια... 01 a 13 ; 12 b 13 (*supra*) ; τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ **ὁμωνυμίαι** χρήσιμοι (παρὰ ταύτας γὰρ κακουργεῖ), τῷ ποιητῇ δὲ συνωνυμίαι 04 b 38. — Voir συνωνυμία, ὠνομασμένως.

ὅμως, cependant, toutefois : ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς 55 b 14 ; ὅμως δὲ ὅσα πρὸ ἔργου μέν ἐστι διελεῖν... εἴπωμεν καὶ νῦν 59 b 16 ; ἀλλ' ὅμως μέγα δύναται... διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν. Τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ 04 a 7 & 8 ; ἑνὸς ὄντος λιμένος ὅμως λέγουσιν [οἱ ποιηταὶ]... 07 b 33 ; περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψίν τινα 17 b 10.

ὀνειδίζειν, reprocher : καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν · μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα 84 a 3.

ὀνειδιστής (ὁ), enclin au reproche, au blâme : καὶ τοὺς μὴ **ὀνειδιστὰς** μήτε τῶν ἁμαρτημάτων, μήτε τῶν εὐεργετημάτων [φιλοῦσιν] 81 b 2.

ὄνειδος (τὸ), blâme, reproche, opprobre : καὶ ὧν ἢ κεκτημένων ἢ κατορθούντων ὄνειδος αὐτοῖς [φθονοῦσιν] 88 a 18 ; καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ **ὀνείδη**, ταῦτ' ἐστίν 68 a 36 ; καὶ ὅσοις τὰ μὲν ἀδικήματα λήμματα, αἱ δὲ ζημίαι ὀνείδη μόνον [ἀδικοῦσιν] 72 b 3 ; τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς καὶ κακίας, ἐφ' οἷς ὀνείδη καὶ ἔπαινοι καὶ ἀτιμίαι καὶ τιμαὶ καὶ δωρεαὶ 74 a 22 ; πάσχοντες δὲ ἢ πεπονθότες ἢ πεισόμενοι τὰ τοιαῦτα αἰσχύνονται ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη 84 a 17.

ὀνίνασθαι, être utile, profitable, avantageux ; **ὄνασθαι**, trouver son avantage à : « ἀμφοτέρους δ' **ὤνησαν**, καὶ τοὺς ὑπομείναντας καὶ τοὺς ἀκολουθήσαντας » 10 a 2 (= Isocrate, *Panég.* § 35) ; οὕτω δὲ καὶ τὰ ἀστεῖα, οἷον τὸ φάναι 'Αθηναίοις τὴν τῆς θαλάττης ἀρχὴν μὴ ἀρχὴν εἶναι τῶν κακῶν · **ὄνασθαι** γάρ 12 b 6 ; « ἐγὼ δὲ ἐβουλόμην · καὶ προειλόμην γὰρ τοῦτο · ἀλλ' εἰ μὴ **ὠνήμην**, βέλτιον » 17 a 26.

ὄνομα (τὸ), nom, mot, expression : ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους, ὅθεν καὶ **τοὔνομα** [sc. « ἀριστοκρατία »] εἴληφεν τοῦτο. Μοναρχία δ' ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν 65 b 37-66 a 1 ; « σαφῶς σιδήρῳ καὶ φοροῦσα τοὔνομα » 00 b 19 (= Sophocle, *Tyrô*, *fr.* 597, Nauck p. 274) ; « καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς » 00 b 26 (= Euripide, *Troyennes*, 990) ; εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου **ὄνομα** 07 b 29 ; καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές, ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ τὸ αἰσχρόν, τοὔνομα λέγειν, ἐὰν δ' ἐν τῷ ὀνόματι, τὸν λόγον 07 b 30* ; καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα 10 a 27-28-29 ; ταὐτὸ δ' ὄνομα 10 a 35 ; τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα 12 a 34 ; ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ 12 b 12 ; δεῖ δὲ εἰδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι 14 b 16 ; ἄλλος [τόπος] ἀπὸ τοῦ **ὀνόματος** 00 b 18 ; κάλλος δὲ ὀνόματος τὸ μὲν ὥσπερ Λικύμνιος λέγει, ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ 05 b 6 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε · τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον 07 b 27 ; 10 a 28 (*supra*) ; **ὀνόματι** 07 b 30 (*supra*) ; τὸ δ' ἀνάλογόν ἐστιν ἐὰν μήτε... μήτε... μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος 08 a 13 ; τὰ γὰρ **ὀνόματα** μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 21 ; τῶν δ' ὀνομάτων καὶ ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια, μὴ ταπεινὴν δέ, ἀλλὰ κεκοσμημένην τἆλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ Ποιητικῆς 04 b 5-7 ; ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσιν, τὸ ἄχορδον καὶ τὸ ἄλυρον μέλος 08 a 6 ; ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος 08 a 30 ; λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ καὶ τοῖς ἁρμόττουσιν 08 b 6 ; τὰ δὲ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς 08 b 11 ; 10 a 27 (*supra*) ; τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσιν ἐστί, τὰ δὲ ὀνόματα σημαίνει τι, ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα 10 b 11* ; οἷον εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ παρίσωσις 12 b 32 ; τὰ δὲ τοιαῦτα τῶν **ὀνομάτων** προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή 74 a 12 ; ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν 79 b 34 ; οὕτω [οἱ τὰς τραγῳδίας ποιοῦντες] καὶ τῶν ὀνομάτων ἀφείκασιν ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν, οἷς δ' οἱ πρῶτοι ἐκόσμουν 04 a 33 ; 04 b 5 (*supra*) ; ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγος συνέστηκεν, τῶν δ' ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ Ποιήσεως, τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον 04 b 26-27-29 ; τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι, ...

τῷ ποιητῇ δὲ συνωνυμίαι 04 b 37 ; τέταρτον, ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη 07 b 7 ; 10 b 11 (*supra*) ; **ὀνόμασι** 04 b 29 (*supra*) ; τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων, κ. τ. α. 05 b 36 ; δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν καὶ μὴ τοῖς περιέχουσιν 07 a 31 ; τοῖς δ' ὀνόμασιν [ἀντίκειται], ἐὰν ἔχῃ μεταφοράν 10 b 31. — Voir γλῶττα, μεταφορά.

ὀνομάζειν, nommer, appeler : πέμπτον ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν · « οἱ δ' ἐλθόντες ἔτυπτόν με » 07 b 10 ; οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ, ἐπούρωσιν **ὀνομάζων** καὶ ἀποπλάνησιν καὶ ὄζους 14 b 18 ; καὶ ὡς Γοργίας **ὠνόμαζεν** · « πτωχομουσοκόλακας » 05 b 38 ; καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, **ὀνομάσας** τινὰ τῶν ἐπιεικῶν 11 a 17. — Voir ὠνομασμένως.

ὄνος (ὁ), âne : « Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων · » καίτοι καὶ τῶν **ὄνων** θυγατέρες ἦσαν 05 b 28.

ὀξύθυμος, **ος**, **ον**, enclin à s'emporter, irascible : ἄδικοί εἰσιν, οἷον... ὁ δ' ὀξύθυμος δι' ὀργήν 68 b 20 ; οὐχ οἱ **ὀξύθυμοι** καὶ παρρησιαστικοὶ [φοβεροί], ἀλλὰ οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι 82 b 19 ; καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ [οἱ νέοι] 89 a 9.

ὀξύς, **εῖα**, **ύ**, aigu, vif, prompt : ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, ... καὶ πῶς τοῖς τόνοις, οἷον **ὀξείᾳ** καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστα 03 b 29 ; καὶ οἱ θυμοὶ [τῶν πρεσβυτέρων] **ὀξεῖς** μέν, ἀσθενεῖς δέ εἰσιν 90 a 11 ; **ὀξεῖαι** γὰρ αἱ βουλήσεις [τῶν νέων] καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι 89 a 7.

ὅπλον (τὸ), arme : οἷον **ὅπλων** κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει, ἀλλὰ τῷ ἀνδρείῳ 87 a 28.

ὁποῖος, **α**, **ον**, quel, de quelle nature : **ὁποῖα** 74 b 2 (*var.*) ; **ὁποῖοι** γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν 76 b 4. — Voir ποῖος.

ὁποιοσοῦν, **αοῦν**, **ονοῦν**, quel qu'il soit : εἴτε πολιτικῷ συλλογισμῷ εἴθ' **ὁποιῳοῦν**, ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα 96 a 5.

ὁπόσος, **η**, **ον**, combien grand : τὴν δύναμιν εἰδέναι τῆς πόλεως, **ὁπόση** τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι 59 b 34. — Voir πόσος.

ὁπότερος, **α**, **ον**, lequel des deux : καθ' **ὁπότερον** ἂν δέῃ δεῖξαι 97 b 18 ; ὁπότερον δεῖ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει εἴθ' ὅτι οὔ 97 b 22 ; ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον 99 b 13 ; ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν 01 a 27 ; καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' **ὁπότερ'** ἂν προαιρῆταί τις ἄγειν 82 a 19. — Voir πότερος.

ὁποτεροσοῦν, **αοῦν**, **ονοῦν**, qui que ce soit des deux : δίκης δὲ τὸ μὲν κατηγορία, τὸ δ' ἀπολογία · τούτων γὰρ **ὁποτερονοῦν** ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας 58 b 11.

ὁποτέρως, de laquelle des deux façons : ὁποτέρως ἂν ᾖ χρήσιμον 76 b 28 ; εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει 97 b 1 ; ἔστι δὲ τοῦτο καὶ ἐπὶ ἀγαθῶν καὶ κακῶν, ὅπως οὐκ ἔχει, ὁποτέρως ἂν ᾖ χρήσιμον 08 a 5.

ὅπου, là où : πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν 67 b 5 ; ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν 71 a 6 ; καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν 01 b 26 ; ὅπου δέ, ὕστερον ἐροῦμεν, τό τε διὰ τί εἴρηται 04 b 30 ; ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι · τοῦτο δὲ ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης 14 a 15-16-17 ; ὥστε ὅπου ἂν ᾖ καιρός, λεκτέον... 15 b 12.

ὅπως, de la façon que, en sorte que : πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν 54 b 20 ; οὐχ ὅπως ἀμφότερα πράττωμεν... καὶ ὅπως... λύειν ἔχωμεν 55 a 31-32 ; ὅπως... λαμβάνωμεν τὰ στοιχεῖα 58 a 34 ; ὅπως... προστεθῇ... ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ 59 b 25 & 27 ; ὅπως... εἰρηνεύηται 59 b 39 ; τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν 64 a 23 ; ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν 73 a 26 ; ὅπως... ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον 74 a 8 ; ὅπως τὸ ἐπιεικὲς ἰσχύῃ 74 b 22 ; ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον καὶ τὸ ἀληθές 75 b 6 ; δῆλον ὅπως λεκτέον 77 a 29 ; ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός 77 b 23 ; ἀλλ' ὅπως ἡσθῇ 78 b 25 ; 87 a 7 *var.* ; ὅπως... ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν 92 a 3 ; ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν 95 a 2 ; εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα 99 b 17-18 ; « ὅπως δὲ μάρτυρες ἀρετῆς γένωνται... » 99 b 28 (= Antiphon, *Méléagre*, *fr.* 2 Nauck, p. 792) ; ὅπως οὐκ ἔχει 08 a 5 ; ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες 08 a 35 ; « ἡγεό μοι λόγον ἄλλον, ὅπως 'Ασίας ἀπὸ γαίης... » 15 a 17 (= Choerilos de Samos, *Perséide*) ; « ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο... » 15 b 20 (= Sophocle, *Antigone*, 223) ; « δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται ἐποίουν » 16 a 20 ; ὅπως τὸ ἁρμόττον αὐτῷ λήψεται 19 b 7 ; ὅπως ἐπίλογος ἀλλὰ μὴ λόγος ᾖ 20 b 3. — Voir ἵνα, ὡς.

ὁπωσοῦν, d'une façon quelconque : κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι 87 b 1.

ὁρᾶν, voir, observer, prendre garde : οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι 64 a 38 ; ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον καὶ ἃ ἔπραττεν καὶ οἷος ἦν 70 b 27 ; καὶ ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον 75 b 12 ; ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς 76 b 29 ; ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν... ἀλλὰ καὶ αὑτὸν ποιόν τινα... 77 b 23 ; « τοὺς σοφοὺς γάρ, ἔφη [ὁ Σιμωνίδης], ἔστιν ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας » 91 a 11 ; ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν 94 a 5 ; ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον ἢ μέλλοντα 10 b 34 ; ὁρᾶν δεῖ ἐκ τῶν ἀπαγγελλόντων 17 b 9 ; δεῖ δὲ καὶ ὁρᾶν εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος 17 b 36 ; ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς **ὁρᾷ**, ὁ δὲ δικαστὴς τὸν νόμον 74 b 21 ; ὥστε ὅταν ἐπαινεῖν βούλῃ, **ὅρα** τί ἂν ὑπόθοιο, καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσειας 68 a 7-8 ; « οὕτω δὲ καὶ ὑμεῖς, ἔφη [ὁ Στησίχορος], **ὁρᾶτε** μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι τὸ αὐτὸ πάθητε τῷ ἵππῳ » 93 b 19 ; καὶ οὗτοι ἢ **ὁρῶντες**... ἢ ἂν πλησίον ὦσιν οἱ τοιοῦτοι 84 b 32 ; ὡς **ὁρῶντας** καὶ μὴ μόνον ἀκουσομένους 84 b 34 ; διὸ καὶ **ὁρᾶσθαι** ἀτυχοῦντες ὑπὸ τῶν ζηλούντων ποτὲ οὐ βούλονται 84 b 36 ; καὶ μέλλοντες ὁρᾶσθαι καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς συνειδόσιν αἰσχυντηλοὶ μᾶλλον εἰσίν 85 a 8. — Voir θεωρεῖν, ἰδεῖν.

ὀργή (ἡ), colère, emportement : διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ περὶ τοῦ πράγματός ἐστιν, ἀλλὰ πρὸς τὸν δικαστήν 54 a 17 ; ἄλογοι δ' ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία 69 a 4 ; τί μὲν οὖν ἐστιν ἡ ὀργή, δῆλον ἔσται ἐν τοῖς περὶ τῶν παθῶν 69 b 14 ; ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή, οἷον ὀργή, ἔλεος, φόβος καὶ ὅσα ἄλλα τοιαῦτα 78 a 21 ; ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ τῶν αὐτοῦ, τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος 78 a 30 ; εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι 78 a 32 ; ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας 79 b 11 ; ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι καὶ ὀργὴ πραότητι 80 a 7 ; ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή 80 a 25 ; ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης 80 b 1 ; οὐ γίγνεται ἡ ὀργὴ πρὸς τὸ δίκαιον 80 b 17 ; οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον νομίζουσι πάσχειν, ἡ δ' ὀργὴ τοῦτο ἦν 80 b 18 ; ἡ

γὰρ ὀργὴ πρὸς τὸν καθ' ἕκαστόν ἐστιν 80 b 21 ; ποιητικὰ δὲ ἔχθρας ὀργή, ἐπηρεασμός, διαβολή. Ὀργὴ μὲν οὖν ἐστιν ἐκ τῶν πρὸς αὑτόν, ἔχθρα δὲ καὶ ἄνευ τοῦ πρὸς αὑτόν 82 a 2-3 ; καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαστα, οἷον Καλλίαν ἢ Σωκράτην, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη 82 a 5 ; τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι 82 a 32 ; θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν 83 b 6-7 ; ταῦτα δὲ [sc. τὰ πάθη] ἐστὶν ἔλεος καὶ δείνωσις καὶ ὀργὴ καὶ μῖσος καὶ φθόνος καὶ ζῆλος καὶ ἔρις 19 b 26 ; δεῖ δὲ διαιρεῖν περὶ ἕκαστον εἰς τρία, λέγω δ' οἷον περὶ **ὀργῆς**, πῶς τε διακείμενοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις 78 a 23 ; ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν 79 b 33 ; ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς 80 a 9 ; ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς 80 a 16 ; διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς τεθνεῶτος 80 b 29 ; 83 b 7 (*supra*) ; καὶ πάσῃ **ὀργῇ** ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι 78 b 1 ; ἔτι κεχρονικότες καὶ μὴ ὑπόγυιοι τῇ ὀργῇ ὄντες [πρᾶοί εἰσιν] 80 b 6 ; καὶ οἱ μήτε ἐν ἀνδρίας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ θάρρει 85 b 29 ; καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ [οἱ νέοι] 89 a 9 ; καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα 93 a 3 ; καὶ « ἀκράτῳ τῆς διανοίας ὀργῇ τεθηγμένον » 06 a 10 (Alcidamas) ; καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ ψόγοις ἢ ὀργῇ ἢ φιλίᾳ 08 b 15 ; οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν εἰς **ὀργὴν** προάγοντας ἢ φόβον ἢ ἔχθραν 54 a 24 ; καὶ ἄδικοί εἰσιν... ὁ δ' ὀξύθυμος δι' ὀργήν 68 b 20 ; οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα, ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν 69 a 11 ; διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά 69 b 11 ; εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν 78 a 26 ; προωδοποίηται γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους 79 a 24 ; διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε 79 a 29 ; αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες εὐκίνητοι πρὸς ὀργήν 79 a 31 ; καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται 80 a 34 ; παύει γὰρ ὀργὴν ὁ χρόνος 80 b 6 ; παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον 80 b 7 ; πρᾶοι γὰρ γίγνονται ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν 80 b 11 ; καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' ὁπότερ' ἂν προαιρῆταί τις ἄγειν 82 a 18 ; λέγω δὲ πάθη μὲν ὀργήν, ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον, ἕξεις δὲ... 88 b 33 ; « ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν » 94 b 23 (*fragm. trag. adespot.* 79, Nauck, p. 854) ; « εἴ περ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν » 97 a 14 (*fragm. trag. adespot.* 80, Nauck, p. 854).

ὀργίζειν, irriter, exciter la colère ; **ὀργίζεσθαι**, s'irriter, se mettre en colère [voir 78 a 30-80 a 5 : livre II, ch. 2] : τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι καὶ ἐκ τοῦ **ὀργίσαι**, καὶ ἐνίοτε τὸ προσεκτικὸν ἢ τοὐναντίον 15 a 36 ; διὸ καὶ τὸ **ὀργίζεσθαι** ἡδύ 70 b 10 ; πῶς τε διακείμενοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις 78 a 24 ; εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι, οἷον Κλέωνι, ἀλλ' οὐκ ἀνθρώπῳ 78 a 33* ; ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι καὶ ὀργὴ πρᾳότητι 80 a 6 ; ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι 80 a 34 ; καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι πρᾶοί εἰσιν 80 b 2 ; οὐθεὶς γὰρ **ὀργίζεται** τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν 70 b 13 ; καὶ ἐάν τε ἀντιπράττῃ τις, ἐάν τε μὴ συμπράττῃ, ἐὰν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, πᾶσιν ὀργίζεται 79 a 17 ; ὁ μὲν γὰρ ἀντι-

παθεῖν βούλεται ᾧ ὀργίζεται, ὁ δὲ μὴ εἶναι 82 a 15 ; οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει ἢ οὐκ ὀργίζονται ἢ ἧττον 70 b 14 ; φανερὸν οὖν ἐκ τούτων ἤδη πῶς τε ἔχοντες **ὀργίζονται** αὐτοὶ καὶ τίσιν καὶ διὰ ποῖα 79 a 11 ; ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσιν καὶ σκώπτουσιν 79 a 31 ; διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται 79 b 20 ; ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον 79 b 26 ; οἷς μὲν οὖν ὀργίζονται καὶ ὡς ἔχοντες καὶ διὰ ποῖα, ἅμα εἴρηται 80 a 1 ; καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται 80 a 4-5 ; εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἑκούσιον 80 a 9 ; καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται, ἕως ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται · ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. Καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται 80 a 33-34*-35 ; ὥστε οὔτε τοῖς ἄλλοις ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς τεθνεῶσιν ἔτι 80 b 25 ; αὐτοὺς μὲν παρασκευάζουσι τοιούτους οἷς δ' ὀργίζονται ἢ φοβεροὺς ἢ αἰσχύνης ἀξίους ἢ... 80 b 32 ; ὅταν ὁ κατηγορῶν **ὀργίζηται** 01 b 7 ; ὁ δὲ **ὀργιζόμενος** ἐφίεται δυνατῶν αὐτῷ 78 b 4 ; διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεύς 78 b 31 ; ... ὡς διὰ ταῦτα ὀργιζόμενος 78 b 35 ; οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ 80 a 36 ; αἴσθεσθαι γὰρ βούλεται ὁ ὀργιζόμενος 82 a 9 ; ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ μισῶν οὔ 82 a 13 ; οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν 89 a 27 ; ἔστι δὲ παθητικὴ μὲν [ἡ γνώμη] οἷον εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι ὡς δεῖ γιγνώσκειν αὐτόν 95 a 24 ; εἰπόντος τινὸς **ὀργιζομένου** τοῦ δήμου τί οὐκ ἀπολογεῖ ; 80 b 8 ; παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις 08 a 16 ; συγγνώμη γὰρ **ὀργιζομένῳ** κακὸν φάναι οὐρανόμηκες 08 b 12 ; ἀνάγκη τὸν **ὀργιζόμενον** ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι 78 a 33* ; οἱ δ' **ὀργιζόμενοι** λυποῦνται ἀνυπερβλήτως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν 70 b 31 ; καὶ [πρᾶοι γίγνονται] ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν 80 b 14 ; οὗ οἱ ὀργιζόμενοι ἐφίενται 80 b 27 ; διὸ ὀργιζόμενοι λέγουσι μάλιστα 13 a 31 ; οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' **ὀργιζομένοις** καὶ πράως ἔχουσιν 77 b 32 ; καὶ [φιλοῦσι] τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις ἢ σπουδάζουσιν 81 b 9 ; καὶ εἰ δυνατὸν καὶ **ὠργίζετο** 92 b 22.

ὀργίλος, η, ον, irascible, emporté, enclin à la colère : καὶ ἕκαστον δ' ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον, οἷον τὸν **ὀργίλον** καὶ τὸν μανικὸν ἁπλοῦν καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν 67 a 37 ; οἷον περὶ ὀργῆς, πῶς τε διακείμενοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις 78 a 23 ; ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι 79 a 19 ; εἰ γὰρ συμβέβηκεν τοῖς νέοις **ὀργίλοις** εἶναι ἢ ἐπιθυμητικοῖς, οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα, ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν 69 a 9.

ὀργίλως, avec colère, avec emportement : δῆλον δ' ὅτι δέοι ἂν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν 80 a 3.

ὀρέγεσθαι, tendre à, viser à : ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι προτρέποντας ὡς ἐσομένων ἢ ὄντων... εἴρηται 66 a 17 ; τὴν γὰρ ἡδονὴν πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι **ὀρέγονται** 64 b 24 ; ἔστιν δὲ ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται 72 b 13 ; ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτήμασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐστιν, σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν 88 a 2-3 ; ὡς γὰρ ἐπὶ τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν 92 b 23 ; πρῶτον μὲν οὖν διελώμεθα τίνων **ὀρεγόμενοι** καὶ ποῖα φεύγοντες ἐγχειροῦσιν ἀδικεῖν 68 b 28 ; καὶ ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοί τινων πραγμάτων [νεμεσητικοί εἰσιν] 87 b 10.

ὄρεξις (ἡ), impulsion, désir instinctif, appétit : ἔστιν δ' ἡ μὲν βούλησις ἀγαθοῦ ὄρεξις · οὐδεὶς γὰρ βούλεται ἀλλ' ἢ ὅταν οἰηθῇ εἶναι ἀγαθόν 69 a 3 ; ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ὄρεξις 70 a 18 ; ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν 78 a 30 ; ὅσα δὲ δι' αὐτούς, καὶ ὧν αὐτοὶ αἴτιοι, τὰ μὲν δι' ἔθος, τὰ δὲ δι' **ὄρεξιν**, τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν, τὰ δὲ δι' ἄλογον 69 a 1-2 ; αἱ γὰρ μείζους **ὀρέξεις** μειζόνων εἰσίν 64 b 5 ; ἄλογοι δ' ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία 69 a 4 ; δεήσεις δέ εἰσιν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου 85 a 22 : *var.* διορέξεις (faute d'onciale).

Ὀρέστης (ὁ), *Oreste* (tragédie de Théodecte) : ἢ τὸ ἐν τῷ **Ὀρέστῃ** τῷ Θεοδέκτου · ἐκ διαιρέσεως γάρ ἐστιν 01 a 36.

ὀρεύς (ὁ), mulet : καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς **ὀρεῦσιν**, οὐκ ἤθελε ποιεῖν 05 b 24.

ὀρθός, ή, όν, droit, juste, conforme au droit : αἱ γὰρ ὕστεραι [συνθῆκαι] κύριαι, ἢ αἱ πρότεραι **ὀρθαί**, αἱ δ' ὕστεραι ἠπατήκασιν 76 b 28.

ὀρθῶς, directement, correctement, à juste titre : ὀρθῶς τοῦτο νομίζοντες 54 a 23 ; τοὺς ὀρθῶς κειμένους νόμους 54 a 32 ; 57 a 7 *var.* ; ὀρθῶς εἴρηται 70 a 10 ; ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν 76 b 17 ; ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξάζουσιν, ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν 78 a 10-11 ; διὸ ὀρθῶς πεποίηται 80 b 22 ; ὀρθῶς ἔχειν δοκοῦσιν 95 a 12 ; ἄλλος [τόπος] ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς Τοπικοῖς περὶ τοῦ ὀρθῶς 98 a 30 ; « καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς » 00 b 26 (= Euripide, *Troyennes*,, 990) ; οὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίου 04 a 2 ; δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς 07 b 8 ; τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν 07 b 10 ; δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι 12 b 26 ; καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται 13 b 20 ; εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως 14 a 23 ; ὀρθῶς λέγων 19 b 5 ; οὐκ ὀρθῶς λέγοντες 19 b 29.

ὁρίζειν, ὁρίζεσθαι, délimiter, déterminer, définir : τὸ γὰρ χαλεπὸν **ὁρίζεται** ἢ λύπῃ ἢ πλήθει χρόνου 63 a 24 ; οὐχ ἁπλῶς δὲ καθάπερ **ὁρίζονταί** τινες 57 a 35 ; **ὁριζομένου** 08 a 16 *var.* ; πάλιν οὖν οἷον ἐξ ὑπαρχῆς **ὁρισάμενοι** αὐτὴν τίς ἐστιν, λέγωμεν τὰ λοιπά 55 b 24 ; τὴν φιλίαν καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν 80 b 35 ; πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγουσιν 98 a 27 ; τίσιν δὲ χάριν ἔχουσι καὶ ἐπὶ τίσιν καὶ πῶς αὐτοὶ ἔχοντες, **ὁρισαμένοις** τὴν χάριν δῆλον ἔσται 85 a 17 ; εἰ δή ἐστιν αἰσχύνη ἡ **ὁρισθεῖσα**, ἀνάγκη αἰσχύνεσθαι ἐπὶ τοῖς τοιούτοις... 83 b 16 ; **ὥρισται** γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον 64 b 17 ; ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος 64 b 24 ; ὥρισται δὴ τὰ δίκαια καὶ τὰ ἄδικα πρός τε νόμους καὶ πρὸς οὕς ἐστι διχῶς 73 b 2 ; ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνούντων ἃ δεῖ πράττειν καὶ μὴ πράττειν 73 b 19 ; τὸ γὰρ ἀδικεῖν ὥρισται πρότερον ἑκούσιον εἶναι 73 b 29 ; εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως 14 a 23 ; ἔστω οὖν ἐκεῖνα τεθεωρημένα καὶ **ὡρίσθω** λέξεως ἀρετὴ σαφῆ εἶναι 04 b 1 ; εἰ δέ ἐστι τὸ **ὡρισμένον** τὸ ἐπιεικές 74 b 2 *var.* ; τοῦ φίλου **ὡρισμένου**, ὅτι ἔστιν... 61 b 36 ; περὶ οὐδενὸς γὰρ **ὡρισμένου** οὐδετέρα αὐτῶν ἐστιν ἐπιστήμη 56 a 32 ; λέγω δὲ νόμον τὸν μὲν ἴδιον, τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν ἑκάστοις **ὡρισμένον** πρὸς αὐτούς 73 b 5 ; ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς τὸ κοινόν [ἀδικεῖν καὶ δικαιοπραγεῖν] 73 b 22 ; ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινα τῶν **ὡρισμένων** ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν 73 b 23 ; ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων, ἀλλ' ἐκ τῶν **ὡρισμένων** λεκτέον 95 b 32. — Voir διορίζειν.

ὁρισμός (ὁ), définition, délimitation : δῆλον δ' ἐκ τοῦ **ὁρισμοῦ** τῆς τύχης περὶ τούτων 69 a 35 ; δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ 80 b 22 ; ἐκ τοῦ ὁρισμοῦ δῆλον 86 a 5 ; ἄλλος [τόπος] ἐξ ὁρισμοῦ, οἷον τί τὸ δαιμόνιόν ἐστιν ; 98 a 16. — Voir ὅρος.

ὅρκος (ὁ), serment [voir 77 a 8-77 b 11] : εἰσὶν δὲ πέντε τὸν ἀριθμόν [αἱ ἄτεχνοι πίστεις] · νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος 75 a 25 ; ὅτι ἀντὶ χρημάτων ὅρκος 77 a 16 ; περὶ δ' **ὅρκων** τετραχῶς ἔστι διελεῖν 77 a 8 ; οἷον **ὅρκους**, δεξιάς, πίστεις, ἐπιγαμίας 75 a 10. — Voir ὀμνύναι.

ὁρμᾶν, s'élancer : ὅταν [ὁ ἀκροατὴς] ἔτι **ὁρμῶν** ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρον, ἀντισπασθῇ παυσαμένου 09 b 20.

ὁρμή (ἡ), assaut, impulsion, élan : καὶ θυμικοὶ [οἱ νέοι] καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ **ὁρμῇ** 89 a 9 *var.* ; καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα, ταῦτα καὶ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει ἔσται 93 a 3 ; καὶ οὐ δρόμῳ, ἀλλὰ « δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ » 06 a 24 (Alcidamas).

ὄρνις (ὁ, ἡ), oiseau : « αἰσχρόν γε, ὦ Φιλομήλα », **ὄρνιθι** μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν 06 b 17.

ὀρνύναι, faire surgir, faire sourdre : « ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον **ὦρσε** γόοιο » 70 b 29 (= *Iliade*, XXIII, 108 & *Odyssée*, IV, 183).

ὅρος (ὁ), limite, détermination, définition : ὅρος δὲ ἀσφαλείας μὲν τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆσθαι ὥστ' ἐφ' αὐτῷ εἶναι τὴν χρῆσιν αὐτῶν 61 a 19 ; ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο 65 b 1 ; ἔστι γὰρ καὶ τοῦ ποσοῦ ὅρος 18 a 7 ; καὶ τοιοῦτο κακὸν οἷον εἴρηται ἐν τῷ **ὅρῳ** ἢ ὅμοιον ἢ παραπλήσιον 85 b 18 ; ὅταν [ὁ ἀκροατὴς] ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ **ὅρον**, ἀντισπασθῇ παυσαμένου 09 b 21 ; δεῖ δὲ νομίζειν ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς 69 b 31. — Voir ὁρίζειν, ὁρισμός.

ὀρχεῖσθαι, danser : ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ **ὀρχοῦνται** 01 b 25.

ὅς (dém.), celui-ci = καὶ ὃς ἔφη 19 a 33.

ὀσμή (ἡ), odeur, odorat : καὶ αἱ [ἐπιθυμίαι] περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ **ὀσμὴν** καὶ ἀκοὴν καὶ ὄψιν 70 a 24.

ὅσος, η, ον, combien grand, combien nombreux ; **ὅσοι, ὅσαι, ὅσα**, tous ceux qui, toutes celles qui, tout ce qui, tout ce que :

ὅσον (nom. & acc., adv. « combien, autant que ») 59 b 4 ; 66 a 20, 32 ; 75 b 22 ; 76 a 34 ; 15 b 8 ;

ὅσῳ (neut., adv.) 58 a 23 ; 59 b 12 ; 74 b 24 ; 96 b 8, 9 ; 05 a 7 ; 12 b 22, 31 ; 14 a 9 ;

ὅσοι 54 b 17 ; 72 b 19 ; 76 a 8 ; 80 a 13 ; 80 b 25 ; 84 a 29 ; 88 b 25 ; 14 b 38 ;

ὅσαι 65 b 28 ; 67 a 4 ; 70 a 20 ; 76 a 31 ; 94 b 9, 10 ; 07 a 13 ;

ὅσα (nom. & acc., adv.) 54 a 29, 32 ; 55 b 36, 37, 38 ; 58 a 17 ; 59 a 32*, 38 ; 59 b 16 ; 61 a 30 ; 62 a 24, 25 ; 63 a 23, 34 ; 63 b 22 ; 65 a 13 (ὅσσα : Homère) ; 65 b 5 ; 66 b 29, 36, 37 ; 67 a 1, 3, 28 ; 67 b 12 ; 68 b 9, 10*, 11, 36, 38 ; 69 a 5, 28 ; 69 b 5, 16, 18, 20, 21, 22 ; 70 a 25 ; 70 b 1, 8, 9 ; 71 b 17 ; 73 a 29, 34, 35 ; 73 b 33 ; 74 a 25, 31 ; 74 b 6, 7, 9 ; 76 b 14, 30 ; 77 b 11 ; 78 a 19, 21 ; 78 b 13, 16 ; 79 a 33 ; 81 b 34 ; 82 a 23, 28 ; 82 b 13, 22, 25 ; 83 b 17, 18, 32 ; 84 a 16 ; 86 a 5, 6, 28 ; 86 b 2, 3 ; 87 a 15 ; 88 a 2, 21 ; 88 b 5, 11 ; 90 b 7, 8, 14 ; 91 a 23 ; 92 b 26, 28 ; 93 a 5 ; 96 a 20 ; 96 b 18 ; 00 b 33 ; 04 a 33, 37, 38 ; 04 b 7, 27 ; 10 b 11, 21, 24 ;

11 b 25 ; 13 a 32 (Homère) ; 14 a 1 ; 15 a 28 ; 16 b 36 ; 17 a 1, 3, 7, 12 ; 18 a 8 (Homère) ; 18 b 2 ; 19 b 34 ;
ὅσων (masc.) 75 b 29 ;
ὅσων (neut.) 59 a 37 ; 62 a 3 ; 64 b 28, 29 ; 69 a 32, 35 ; 72 b 13 ; 86 a 6 ; 87 a 13 ; 88 b 13 ; 92 a 25 ; 94 a 24 ; 00 b 35 ; 10 b 24 ;
ὅσοις (masc.) 61 a 9 ; 72 a 33 ; 72 b 2 ; 95 b 13 ;
ὅσαις 94 b 21 ;
ὅσοις (neut.) 66 b 34, 35 ;
ὅσους 57 b 33 ;
ὅσας 70 a 19.

ὅσπερ, ἥπερ, ὅπερ, celui ou celle précisément qui, ce qui justement :
ἥπερ 58 a 3 ; 66 a 27 ;
ὅπερ 54 a 15 ; 57 b 16 ; 59 b 8 ; 64 a 2 ; 66 a 27 *var.* ; 68 a 20 ; 75 a 11 ; 81 a 19 ; 90 a 9 ; 90 b 23 ; 94 a 5 ; 95 a 1 ; 03 b 18, 25 ; 04 b 25 ; 07 a 33, 36 ; 07 b 12, 32 ; 12 a 29 ; 13 b 7, 22 ; 14 b 13, 19, 26 ; 15 a 9 ; 18 a 10, 30 ; 18 b 26 ;
οὗπερ (neut.) 08 a 35 ;
ᾗπερ (adv.) 15 b 17 ;
αἵπερ 94 b 20 ;
ἅπερ 76 b 16 ; 81 a 10 ; 86 b 30 ; 98 b 34. — Voir περ, ὥσπερ.

ὅστις, ἥτις ὅ τι, celui qui, quiconque :
ὅστις 61 b 36 ; 70 b 6 *var.* ; 76 b 10 ; 94 a 29 (Euripide) ; 94 b 2 (*id.*), 4 (*id.*), 16 (*id.*), 19 (*id.*) ; 98 a 17 ; 19 a 11 ;
ὅ τι 54 a 20 ; 59 a 3 ; 61 a 19 ; 12 a 20 *var.* ; 14 b 23, 25 ;
ὅτου (masc.) 80 b 24 ; (neut.) 73 b 13 (ἐξ ὅτου : Sophocle) ; 80 b 25 ;
ὅντινα 93 b 7 ;
οἵτινες 08 b 16 (Isocrate).

ὁστισοῦν, ὁτιοῦν, n'importe qui, n'importe quoi :
ὁτιοῦν 56 b 9 ; 74 b 29 ; 79 a 14, 23 ; 87 a 20 ; 03 a 20 ;
ὁτουοῦν (neut.) 58 a 16 ; 96 a 31 ; 98 b 11 *var.* ;
ὁντινοῦν 56 b 9 (?).

ὀσφραίνεσθαι, flairer, sentir, avoir de l'odorat : καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ καλλίων, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι 64 a 38.

ὄσφρησις (ἡ), odorat, olfaction : καὶ γὰρ ὄψις **ὀσφρήσεως** [αἱρετωτέρα καὶ καλλίων] 64 b 1.

ὅταν, quand éventuellement : 55 a 5 ; 56 a 5, 14, 18, 19 ; 57 b 7, 29 ; 61 a 21 ; 62 a 14 ; 63 a 1 ; 63 b 27 ; 64 a 7 ; 64 b 33 ; 68 a 7*, 9 ; 69 a 3 ; 69 b 9, 17 ; 70 a 4 ; 70 b 23 ; 71 a 10 ; 72 a 5 ; 73 a 11 ; 74 a 29, 30 ; 79 a 12 ; 80 b 10 ; 82 b 2, 9 ; 83 a 8, 32 ; 83 b 8 ; 85 a 1 ; 85 b 15 ; 86 a 1 ; 86 b 27 ; 88 b 27 ; 90 b 17 ; 92 b 19 ; 95 a 22 ; 98 a 13 ; 99 a 19, 28 ; 00 b 5 ; 01 b 4, 6, 7 ; 02 a 3 ; 02 b 17 ; 04 a 12 ; 06 a 34, 35 ; 06 b 21, 22 ; 07 a 33, 37 ; 08 b 13 ; 09 b 19 ; 10 b 14 ; 12 a 27 ; 13 a 5, 12 ; 14 b 3 ; 15 a 32 ; 18 a 12, 15 ; 18 b 37 ; 19 a 1, 5, 12, 13.

ὅτε, quand, au moment où : 70 b 2, 6 (Homère) ; 79 a 29 ; 82 b 32 ; 83 a 12 ; 83 b 21, 27*, 28 ; 87 a 34 (Homère) ; 05 b 23 ; 13 b 26 ; 15 a 4 (Choerilos) ; 15 b 11, 16 ; 17 a 14.

ὁτὲ μὲν... ὁτὲ δὲ..., tantôt... tantôt... : 65 a 4-5 ; 74 b 29-30 ; 99 b 18-19.

ὅτι, que, parce que, à savoir que, le fait que : 54 a 8, 27, 28, 33, 34 ; 54 b 5, 16, 27, 29, 30 ; 55 a 4, 10, 19 ; 55 b 2, 8, 9, 10, 15 ; 56 a 21 ; 56 b 14, 15, 19 ; 57 a 19, 20, 30 ; 57 b 12, 15, 16, 18, 26, 30, 36 ; 58 b 29, 32 ; 59 a 2, 3, 4, 6, 19, 22, 37 ; 59 b 9 ; 60 a 23, 33 ; 61 b 10, 36 ;

62 a 33; 62 b 16, 33; 64 a 16, 26; 64 b 18; 65 a 18; 65 b 7; 66 a 6; 66 b 25; 68 a 3; 70 a 1, 31; 70 b 7; 71 a 9; 71 b 9; 72 a 31; 73 a 23; 73 b 10, 32; 74 b 26; 75 a 9, 14, 15, 27, 29, 31, 34; 75 b 3, 5, 7, 17, 19, 20, 21, 23, 32; 76 a 1, 11, 18, 19, 20, 21, 22, 26; 76 b 19, 32, 34; 77 a 12, 15, 16, 19, 22, 26, 27, 28; 77 b 4, 6, 8; 78 a 34; 78 b 20, 25, 27; 80 a 2, 10, 19, 24; 80 b 2, 20, 31; 81 a 24; 81 b 30; 82 a 16, 26, 33; 82 b 1, 21, 30; 83 a 9; 84 b 2, 5; 85 a 30; 85 b 2, 3, 6, 8, 16, 22; 86 a 28; 86 b 19, 22, 23; 87 a 10, 24; 88 a 19, 34; 88 b 6; 90 a 28; 91 b 2; 92 b 13, 24; 93 a 15, 32; 93 b 4, 28; 94 a 3, 23; 95 a 1, 26, 29; 95 b 9, 23; 96 a 1, 4, 17; 96 b 2, 3, 8, 11, 12, 17, 23; 97 a 10, 21; 97 b 16, 17, 19, 22, 23, 27, 31*, 35; 98 a 1, 19, 21, 23, 34; 98 b 11, 17, 29; 99 a 2, 4, 21, 37*; 99 b 2, 6, 7, 11, 30; 00 a 7, 8, 31, 32, 34; 00 b 1, 12, 14, 23; 01 a 10, 17, 20, 21, 23, 29, 30, 35; 01 b 4, 8, 12, 16, 21, 22, 25, 26*, 35; 02 a 5, 6, 7, 20, 32; 02 b 2*, 5, 7*, 10, 11, 21, 23, 24, 27, 28, 34*; 03 a 4, 6, 8, 13*, 18, 19, 24, 25*, 26*, 28, 30*; 03 b 9, 24; 04 a 37; 04 b 2, 33; 05 a 4, 18, 30, 33, 37; 05 b 5; 06 a 14; 06 b 27, 33, 35, 36; 07 a 4, 7, 11, 14; 07 b 4; 08 a 21, 26; 08 b 18; 09 a 22; 09 b 2, 5*; 10 a 21, 22; 10 b 19; 11 a 25, 34; 11 b 12, 19, 22; 12 a 20, 24; 12 b 8, 24; 13 a 15; 13 b 3, 17, 34; 14 a 20, 26, 36; 14 b 34, 36; 15 a 9; 15 b 3, 4*, 5, 17, 31; 16 a 18, 23, 36, 37; 16 b 2, 3, 4, 12, 13, 14, 20, 21*, 23; 17 a 5, 20, 22, 30, 34; 17 b 1, 8, 12, 23, 25*, 26, 27, 31; 18 a 1, 35; 18 b 2, 3; 19 a 3, 6, 15, 19 (ὅτι μάλιστα); 19 b 16, 17**. — Voir διότι.

ὅ τι, ce qui : voir ὅστις.

ὁτιοῦν, n'importe quoi : voir ὁστισοῦν.

ὅτου : voir ὅστις.

ὁτουοῦν : voir ὁστισοῦν.

οὗ, là où (adv.) : 55 b 13; 67 b 4; 75 a 11; 83 b 21; 17 a 6; 18 a 4.

οὐ, οὐκ, οὐχ, ne... pas, non pas : 54 a 17, 24, 28*, 30; 54 b 5; 55 a 1, 31; etc...; **οὐ μὴν ἀλλὰ**, néanmoins : 61 a 29; **οὐ μόνον... ἀλλὰ καὶ...**, non seulement... mais encore : 59 a 18; 59 b 28, 30, 37; 60 a 3, 25, 28, 31; 63 a 38; 66 a 9, 29; 70 b 1, 23, 33; 77 b 22; 84 b 17, 18, 19, 21; 96 a 2 (μὴ μόνον... ἀλλὰ καὶ...); 02 b 32.

οὐδαμοῦ, nulle part : καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος 14 a 6.

οὐδὲ, pas même, et... ne... pas, ni... non plus : 55 a 24 (οὐδ' εἰ... ἔχοιμεν); 55 b 12 (οὐδὲ γὰρ... ἀλλὰ); 55 b 33; 57 a 4 (οὐ δύνανται... συνορᾶν οὐδὲ λογίζεσθαι), 18 (οὐδὲ δεῖ λέγειν), 21 (οὐδὲ δεῖ προσθεῖναι); 58 a 25 (οὐκέτι διαλεκτικὴ οὐδὲ ῥητορική); 58 b 32 (οὐδέ ποτ' ἂν); 59 a 12, 34; 61 b 30 (οὐκ... ἀπαθής, οὐδ' ἄλυπος); 69 a 11; 70 b 14; 74 a 15; 75 a 32 (οὐδ' ὁ κοινός); 76 b 32 (οὔκουν χαλεπὸν οὐδὲ περὶ τούτων εἰπεῖν); 77 b 31; 80 b 27; 82 b 31-32*; 85 b 4 (οὐδ' οὕτως), 8 (οὐδὲ ταῦτα); 87 a 12, 14 (οὐδ' εἰ); 88 a 11, 12, 13; 89 b 26 (οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ); 90 a 22; 92 a 16, 24; 95 a 32 (« οὐδὲ τὸ μηδὲν ἄγαν »); 97 a 4, 13 (*tragic. adespot.*), 15 (*id.*), 26 (μηδ' ὑμῖν... οὐδ' ἡμῖν); 97 b 16, 27 (εἰ μηδὲ... οὐδὲ), 28 (*id.*), 30 (*id.*), 31 (*id.*); 98 a 33; 98 b 8; 00 a 13 (οὐκ εἰκὸς οὐδὲ πιθανόν); 02 b 6, 8; 03 a 22* (εἰ μηδὲ... οὐδὲ... οὐδὲ...); 04 a 29; 07 b 13; 08 a 31 (οὐ γὰρ ταὐτὰ οὐδ' ὡσαύτως); 10 b 19 (οὐκοῦν οὐδὲ); 11 b 6 (Lycoléon); 13 a 32 & 34 (Homère); 13 b 4 (οὐ γὰρ... οὐδὲ); 14 a 25; 14 b 5, 12; 16 a 2 (οὐδὲν γὰρ... οὐδὲ); 16 b 33,

34*; 17 a 20; 18 a 15 (οὐδ' ὅταν... οὐ δεῖ); 18 b 15, 29 (Archiloque).

παραλία (ἡ), littoral, région côtière : καὶ Ἰφικράτης σπεισαμένων Ἀθηναίων πρὸς Ἐπίδαυρον καὶ τὴν **παραλίαν** ἠγανάκτει, φάσκων αὐτοὺς τὰ ἐφόδια τοῦ πολέμου παρῃρῆσθαι 11 a 12.

παραλογίζεσθαι, faire un faux calcul ou un faux raisonnement, tromper, se tromper : οὔκουν ἐστὶν ἐνθύμημα · **παραλογίζεται** γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου 01 b 7 ; παραλογίζεταί τε γὰρ ἡ ψυχὴ ὡς ἀληθῶς λέγοντος 08 a 20 ; ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτω λυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὐτῷ κριτέον, **παραλογιζόμενος**, ὥσπερ ἐλέγομεν 02 b 31 ; ἔστι δ' ἐν τούτῳ **παραλογίσασθαι** · εἰ γὰρ δικαίως ἔπαθέν τι, ... ἄλλ' ἴσως οὐχ ὑπὸ σοῦ 97 a 28 ; οἷον ὁ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι **παρελογίσατο** τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς 74 b 26. — Voir συλλογίσασθαι.

παραλογισμός (ὁ), raisonnement faux, paralogisme : διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν **παραλογισμόν** 02 b 26 ; εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ, ὥστε ηὔξησεν, ἅπαξ μνησθείς, διὰ τὸν παραλογισμόν, καὶ μνήμην πεποίηκεν 14 a 6.

παραλογιστικός, ή, όν, qui concerne l'art de détourner un raisonnement : ὅλος δὲ ὁ τόπος παραλογιστικός 01 a 34 ; δόξει τε γὰρ τοῖς πολλοῖς, καὶ ἅμα **παραλογιστικὸν** ἐκ τῆς αἰτίας 67 b 4.

παράλογος, ος, ον, inattendu, inopiné, contraire à ce qu'on a calculé : ἔστιν ἀτυχήματα μὲν ὅσα **παράλογα** καὶ μὴ ἀπὸ μοχθηρίας, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τέ ἐστιν 74 b 7-8-9 ; ἔστιν δὲ καὶ τῶν **παραλόγων** ἀγαθῶν αἰτία τύχη 62 a 7 *var.*

πάραλος, ος, ον, proche de la mer ; **ἡ Πάραλος**, la trière paralienne : καὶ Πειθόλαος τὴν **Πάραλον** ῥόπαλον τοῦ δήμου [ἐκάλει] 11 a 14.

παραμπίσχειν, recouvrir, vêtir : καὶ οὐ τὸ σῶμα **παρήμπισχεν**, ἀλλὰ « τὴν τοῦ σώματος αἰσχύνην » 06 a 28 (Alcidamas).

παράπαν, tout à fait : οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν, ἀλλ' ἢ **τὸ παράπαν** ἕτερα ἢ κατὰ μέγεθος ἕτερα 77 b 32.

παραπεποιημένα (τὰ), mots inventés pour parodier, parodies : καὶ ὃ λέγει Θεόδωρος, τὸ καινὰ λέγειν · γίγνεται δὲ ὅταν παράδοξον ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς ἔμπροσθεν δόξαν, ἀλλ' ὥσπερ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα 12 a 28.

παραπλήσιος, α, ον, presque semblable, presque égal : καὶ τοιοῦτο κακὸν οἷον εἴρηται ἐν τῷ ὅρῳ ἢ ὅμοιον ἢ **παραπλήσιον** 85 b 19.

παραποιεῖσθαι, contrefaire, parodier : voir παραπεποιημένα.

παραρρητός, ή, όν, qu'on peut fléchir ou persuader : « δωρητοί τ' ἐπέλοντο **παράρρητοί** τ' ἐπέεσσιν » 10 a 31 (= *Iliade*, IX, 526).

παρασημαίνειν, marquer d'un signe à côté, annoter : καὶ λέγωμεν **παρασημαινόμενοι** τοὺς ἐλεγκτικοὺς καὶ τοὺς ἀποδεικτικοὺς καὶ τοὺς τῶν φαινομένων ἐνθυμημάτων [τόπους] 97 a 2.

παρασκευάζειν, préparer, procurer, disposer : ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς 83 a 8 ; ὁ μὲν γὰρ αὐτὸν **παρασκευάζει** διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν 88 a 36 ; καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν 91 a 32 ; αὐτοὺς μὲν **παρασκευάζουσι** τοιούτους 80 b 31 ; τὰ μὲν γὰρ **παρασκευάζοντα** ταύτην [τὴν εὐδαιμονίαν] ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν 60 b 11 ; ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους **παρασκευάσῃ** ὁ λόγος 87 b 19 ; ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα **παρασκευάζεσθαι** καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι 93 a 32 ; ὥστε ἂν αὐτοὶ μὲν **παρασκευασθῶσιν** οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι 88 a 27.

παρασκευαστέον, il faut préparer (l'argumentation) : ὥστε ἐπεὶ φανερὸν καὶ οἷς καὶ ἐφ' οἷς γίγνεται χάρις καὶ πῶς ἔχουσι, δῆλον ὅτι ἐκ τούτων παρασκευαστέον 85 a 32.

παρασκευή (ἡ), préparatifs, préparation : καὶ εἰ ἄνευ τέχνης καὶ **παρασκευῆς** δυνατὸν γίγνεσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν 92 b 5 ; καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι · ἐν **παρασκευῇ** γὰρ ἀνάγκη εἶναι καὶ τὸν τοιοῦτον 82 b 3 ; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον **παρασκευῶν**, ἢ πασῶν ἢ τῶν μεγίστων 83 b 2.

παρασοφίζεσθαι, surpasser en habileté (ou s'en convaincre !) : καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι τὸν ἰατρόν · οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι 75 b 21.

παρατηρεῖν, observer, épier, être à l'affût : ἐξαγγελτικοὶ δὲ οἵ τε ἠδικημέ-

νοι διὰ τὸ παρατηρεῖν καὶ οἱ κακολόγοι 84 b 7 ; εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον 05 b 33.

παραφυής, ής, ές, qui croît auprès, qui forme une excroissance ou une ramification : ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον **παραφυές** τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας 56 a 25.

παραχρῆμα, sur-le-champ, immédiatement : καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον 72 b 11.

παρεῖναι, être présent, se trouver auprès : μεμνημένοις ἐρῶσιν λύπη προσγένηται τῷ μὴ παρεῖναι 70 b 24 ; περὶ γὰρ τῶν ἐσομένων... περὶ γὰρ τῶν πεπραγμένων... τῷ δ' ἐπιδεικτικῷ κυριώτατος μὲν ὁ **παρὼν** [χρόνος] 58 b 18 ; μαχετέον ἢ ὅτι τὸ **παρὸν** οὐχ ὅμοιον ἢ οὐκ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει 03 a 8 ; καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον **παρόντος** χαίρωσιν, ἀλλὰ καὶ ἀπόντος μεμνημένοις... λύπη προσγένηται 70 b 23 ; ἔστω δὴ ἀγαθὸν... καὶ οὗ **παρόντος** εὖ διάκειται καὶ αὐτάρκως ἔχει 62 a 26 ; τὰ διὰ χρόνου ἡδέα... μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστὶν 71 a 30 ; μάλιστα μὲν [ὀργίλοι] πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας 79 a 20 ; ἐφ' ὅσον ἦν τῷ **παρόντι** καιρῷ σύμμετρον 66 a 21 ; τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστίν, οὐ μόνον ὅσα ἐν τῷ **παρόντι**, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα 70 b 1-2 ; μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ ἀεί 11 b 8 ; οὐ δεῖ κατὰ τὸν **παρόντα** καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης 59 b 5 ; καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα 83 b 32 ; καὶ ἃ μὴ λανθάνει **παρόντα** ἢ ἃ λανθάνει 65 b 14 ; ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα · αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, μέμνηνται δὲ τὰ γενόμενα, ἐλπίζουσι δὲ τὰ μέλλοντα 70 a 33-34 ; τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντα ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται μεγάλα, καὶ ἄνευ λύπης ὠφελεῖν. Ὅλως δὲ ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ 70 b 8-9 ; ὁ δ' ἐκκλησιαστὴς καὶ δικαστὴς ἤδη περὶ **παρόντων** καὶ ἀφωρισμένων κρίνουσιν 54 b 7 ; ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων 83 b 14 ; « εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι » 97 a 11 (= Alcidamas, *Messéniaque*) ; καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς **παρόντας** φιλοῦσιν [φίλοι εἰσίν] 81 b 25 ; τὸ δ' ἐπαινεῖν παρόντας κολακείας 83 b 30 ; **παρῆν** 70 b 2 (*supra*) ; διὰ τοῦτο τοὺς ἀεὶ **παρεσομένους** μᾶλλον αἰσχύνονται καὶ τοὺς προσέχοντας αὐτοῖς 84 a 35. — Voir ἀπεῖναι.

παρελθεῖν : voir παρέρχεσθαι.

παρεμβάλλειν, ajouter dans, intercaler : τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν τῆς πεντηκονταδράχμου αὐτοῖς 15 b 16.

παρενοχλεῖν, troubler, inquiéter, tourmenter : καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας [φιλοῦσιν], ἐὰν μὴ **παρενοχλῶσι** μηδ' ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος 81 b 15.

παρέρχεσθαι, παρελθεῖν, se glisser, passer, omettre, s'écouler : καὶ γὰρ εἰς τὴν τραγικὴν καὶ ῥαψῳδίαν ὀψὲ **παρῆλθεν** [ἡ ὑπόκρισις] 03 b 23 ; τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολύ, τὸ δὲ **παρεληλυθὸς** βραχύ 89 a 22 ; καὶ ζῶσιν [οἱ πρεσβύτεροι] τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι · τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον, τὸ δὲ παρεληλυθὸς πολύ 90 a 7 ; χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν **παρεληλυθότων** θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι 60 a 31. — Voir παροίχεσθαι.

παρθένος (ἡ), jeune fille : τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα... εἶπε γάρ · « αἰσχρόν γε, ὦ Φιλομήλα », ὄρνιθι μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, **παρθένῳ** δὲ αἰσχρόν 06 b 18 ; καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν · « ὑπερήμεροί μοι τῶν γάμων αἱ **παρθένοι** » 11 a 20. — Voir θυγάτηρ.

παριδεῖν, négliger, dédaigner : καὶ τὰ ἁπλῶς ἀγαθά, ὅσα ὑπὲρ τῆς πατρίδος τις ἐποίησεν **παριδὼν** τὸ αὑτοῦ 66 b 37.

Πάριοι (οἱ), les Pariens (habitants de l'île de Paros) : Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασιν 98 b 11.

πάρισος, ος, ον, (membre de phrase) correspondant : ἔστιν δὲ ἅμα πάντα ἔχειν ταὐτό, καὶ ἀντίθεσιν εἶναι τὸ αὐτὸ καὶ **πάρισον** καὶ ὁμοιοτέλευτον 10 b 2. — Voir παρίσωσις, παρομοίωσις.

παρίστασθαι (s'approcher), assister, aider : διὸ οἱ ἐν πενίᾳ, **παριστάμενοι** καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσιν, διὰ τὸ μέγεθος τῆς δεήσεως καὶ τὸν καιρὸν κεχαρισμένοι 85 a 25.

παρίσωσις (ἡ), correspondance de sons ou de membres de phrase semblables : ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτον ἐστίν, παρίσωσις δ' ἐὰν ἴσα τὰ κῶλα, παρομοίωσις δὲ ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον 10 a 24 ; ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται, οἷον εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ παρίσωσις, καὶ ἔχοι ἐνέργειαν 12 b 33. — Voir παρομοίωσις.

πάροικος, ος, ον, voisin : ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν, οἷον παροιμία « Ἀττικὸς πάροικος » 95 a 20.

παροιμία (ἡ), proverbe, dicton : καὶ ἡ παροιμία δὲ τὸ « ἐπὶ θύραις τὴν ὑδρίαν » 67 a 7 ; ὥσπερ γὰρ ἡ παροιμία, « προφάσεως δεῖται μόνον ἡ πονηρία » 73 a 3 ; ἔτι καὶ αἱ παροιμίαι ὥσπερ εἴρηται, μαρτύριά ἐστιν, οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία « μήποτ' εὖ ἔρδειν γέροντα » 76 a 2-4 ; καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων, ὅθεν καὶ ἡ παροιμία τὸ « ἀπὸ νεκροῦ φέρειν » 83 b 24 ; καὶ τὰ ἐν ὀφθαλμοῖς καὶ τὰ ἐν φανερῷ μᾶλλον · ὅθεν καὶ ἡ παροιμία τὸ « ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ » 84 a 34 ; ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν, οἷον παροιμία « Ἀττικὸς πάροικος » 95 a 19* ; καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν **παροιμίαν** τούτους « Μυσῶν λείαν » 72 b 32 ; πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ, ἵππος ἵππῳ καὶ νέος νέῳ, ὅθεν αἱ **παροιμίαι** εἴρηνται, ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ γὰρ κολοιὸς παρὰ κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα 71 b 15 ; 76 a 2 (*supra*) ; καὶ αἱ παροιμίαι δὲ μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδος εἰσίν · οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, ὡς « ὁ Καρπάθιός, φασιν, τὸν λαγώ » 13 a 17 ; **παροιμιῶν** 95 a 19 (*supra*). — Voir l'*Index des citations*.

παροίχεσθαι, passer, être passé : καὶ ζῶσιν [οἱ νέοι] τὰ πλεῖστα ἐλπίδι · ἡ γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν, ἡ δὲ μνήμη τοῦ **παροιχομένου** 89 a 21 ; καὶ ζῶσιν [οἱ πρεσβύτεροι] τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι · ... ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος, ἡ δὲ μνήμη τῶν **παροιχομένων** 90 a 9. — Voir παρέρχεσθαι.

παρομοίωσις (ἡ), correspondance de mots semblables (au commencement ou à la fin de deux membres de phrase consécutifs) : ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτον ἐστίν, παρίσωσις δ' ἐὰν ἴσα τὰ κῶλα, παρομοίωσις δὲ ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον 10 a 25. — Voir πάρισος, παρίσωσις.

παροράν : voir παριδεῖν.

παρουσία (ἡ), présence : οὐδὲν γὰρ λυπεῖ ἡ παρουσία τῆς κακίας 82 a 12 ; εἰ γάρ ἐστιν ζῆλος λύπη τις ἐπὶ φαινομένῃ **παρουσίᾳ** ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει 88 a 33.

παρρησιαστικός, ή, όν, franc : οὐχ οἱ ὀξύθυμοι καὶ **παρρησιαστικοὶ** [φοβεροί], ἀλλὰ οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι 82 b 20.

πᾶς, πᾶσα, πᾶν, tout, tout entier ; **τὸ πᾶν**, le tout, l'ensemble : οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός 01 b 13-14 ; αἱ δὲ [παιδιαὶ] εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ **πᾶσα** θηρευτική 71 a 5 ; ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, καὶ ὁ γέλως τῶν ἡδέων 71 b 35 ; καὶ οὗ μή ἐστιν ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων 74 b 31 ; ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα ἔνδεια πονηρόν, ἢ κατὰ μέρος 02 b 2 ; « **πᾶν** γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ » 70 a 11 (Évenus de Paros, *fr.* 8 Bergk) ; καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ [ἡδύ] 71 b 7 ; οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν 97 a 21 ; ὅτι γὰρ ἀσυλλόγιστόν ἐστιν πᾶν σημεῖον 03 a 4 ; τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ **παντὸς** τοῦ πολέμου 11 b 18 ; ἀλλ' ὁ ἐπίλογος ἔτι οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος 14 b 5 ; ἐπιπόλαια γὰρ λέγομεν τὰ **παντὶ** δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι 10 b 23 ; καὶ **πάσῃ** ὀργῇ ἕπεσθαί τινα ἡδονήν 78 b 1 ; τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ 04 a 9 ; ἄκος δ' ἐπὶ πάσῃ ὑπερβολῇ τὸ θρυλούμενον 08 b 2 ; καὶ « **πάντα** τρόπον μικρὸν φρονεῖν μελετῶντες » 11 b 11 (= Isocrate, *Panég.*, § 151) ; διὸ καὶ **πάντες** τρόπον τινὰ μετέχουσιν ἀμφοῖν · πάντες γὰρ μέχρι τινὸς... 54 a 4* ; πάντες ἂν ὁμολογήσαιεν τέχνης ἔργον εἶναι 54 a 11 ; περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχνολογεῖν 54 b 26 ; πάντες δὲ τὰς πίστεις ποιοῦνται 56 b 6 ; γιγνώσκουσι γὰρ πάντες 57 a 21 ; παράδειγμα πάντες γίγνονται τοῦ Διονυσίου 57 b 34 ; κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέγουσιν πάντες 58 b 19 ; περὶ ὧν βουλεύονται πάντες 59 b 19 ; τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται 61 a 26 ; οὗ γὰρ πάντες ἐφίενται, τοῦτ' ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνονται 63 a 8-9 ; ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν 63 a 12 ; εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους κατώρθωσαν 63 a 32 ; οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι 64 b 12 ; καὶ ὃ πάντες αἱροῦνται τοῦ μὴ ὃ πάντες 64 b 37-38 ; ἀγαθὸν γὰρ ἦν οὗ πάντες ἐφίενται 65 a 1 ; τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖέν ἐστι 65 a 3 ; καὶ ὅτὲ μὲν οὗ πάντες μετέχουσι μεῖζον 65 a 4 ; οἱ ἔπαινοι καὶ οἱ ψόγοι... σχεδὸν πάντες 68 a 34 ; ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι 68 b 31 ; πάντες δὴ πάντα πράττουσι τὰ μὲν οὐ δι' αὑτοὺς τὰ δὲ δι' αὑτούς 68 b 32-33 ; οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον 70 b 34 ; οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι 71 a 20 ; ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους 71 b 22* ; πάντες γὰρ τὰ εἰωθότα... φυλάττονται 72 a 26 ; καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν 73 a 27 ; ἔστι γὰρ ὃ μαντεύονταί τι πάντες 73 b 7 ; καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται 79 b 9 ; θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν 79 b 23 ; γιγνομένων γὰρ ὧν βούλονται χαίρουσι πάντες 81 a 6 ; πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί 81 a 31 ; ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται 82 a 26 ; καὶ ἐπὶ τούτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχουσι ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι 84 a 9* ; πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι 88 b 18 ; ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους 90 a 25 ; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν 91 b 31 ; πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν 92 b 19 ; ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν ἐπαινοῦσι πάντες 96 a 15 ; ὥστ' ἐπειδὴ καὶ πάντες οὕτω φαίνονται ἀποδεικνύντες 96 a 33 ; ὅτι πάντες ἂν ὁμολογήσειαν 98 a 23 ;

πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι 98 a 27 ; οἷον εἰ πάντες τριῶν ἕνεκεν ἀδικοῦσιν 98 a 31 ; ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν 98 b 11 ; μάλιστα μὲν εἰ πάντες καὶ ἀεί, εἰ δὲ μή, ἀλλ' οἵ γε πλεῖστοι, ἢ σοφοὶ ἢ πάντες ἢ οἱ πλεῖστοι 98 b 22-23 ; πείθονται πάντες 03 b 12 ; σημεῖον δ' ὅτι τούτοις μόνοις πάντες χρῶνται · πάντες γὰρ μεταφοραῖς διαλέγονται 04 b 33-34 ; ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες 08 a 36 ; τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν 09 a 33 ; διὸ καὶ τὰ μέτρα πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην 09 b 7 ; ὅπερ πάντες ποιοῦσιν 14 b 26 ; ὅτε μάλιστα πάντες προσέχοντες ἀκροῶνται 15 b 11 ; πάντες γὰρ ἢ διαβάλλουσιν ἢ φόβους ἀπολύονται ἐν τοῖς προοιμίοις 15 b 18 ; ἴσασι γὰρ πάντες τὰς πράξεις 16 b 28 ; ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι **πᾶσαι** καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται 60 a 24 ; περὶ γὰρ ταύτης [sc. τῆς εὐδαιμονίας]... αἵ τε προτροπαὶ καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσιν 60 b 11 ; ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι 62 b 26 ; αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν 95 b 14 ; ὅσα ἐνδέχεται, **πάντα** διορίζειν 54 a 32 ; τὰ δὲ πραττόμενα πάντα τοιούτου γένους ἐστί 57 a 25 ; πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου 57 b 35 ; ταῦτα δὲ πάντα ⟨οἰκεῖα⟩ καὶ ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα 61 a 15 ; ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα 62 a 1 ; πάντα γὰρ τὰ τοιαῦτα εὐτυχήματα δοκεῖ εἶναι 62 a 11 ; καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν ἢ εἰ λάβοι νοῦν 62 a 23* ; πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς τῇ φύσει 62 b 6 ; ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν · ἔτι εὐφυΐα, μνήμη, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα 62 b 23-24 ; καὶ οὗ πάντ' ἐφίεται 63 b 14 ; τὴν γὰρ ἡδονὴν πάντα διώκει 64 b 24 ; ἀρετὴ... δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα 66 a 38-66 b 1 ; ὅσα μὲν οὖν ἑκόντες, οὐ πάντα προαιρούμενοι 68 b 11 ; 68 b 33 (*supra*) ; ὥστε πάντα ὅσα μὴ δι' αὐτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ 68 b 36 ; ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά 69 a 5 ; πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθά 69 b 21 ; ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα 70 a 32 ; πάντα γὰρ θαυμαστὰ ταῦτα 71 b 11 ; πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ 71 b 13 ; πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα 71 b 20 ; ἔστιν δὲ ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται 72 b 13 ; τὰ δ' ἀδικήματα πάντα καὶ τὰ δικαιώματα διέλωμεν ἀρξάμενοι πρῶτον ἐντεῦθεν 73 b 1 ; ὥστ' ἀνάγκη πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοινὸν ἢ πρὸς τὸ ἴδιον εἶναι 73 b 33 ; ἔστι δὲ πάντα τὰ τοιαῦτα περὶ τοῦ ἄδικον εἶναι 74 a 9 ; ὅτι πάντα ἀναιρεῖ μὴ ἐμμένων οἷς ὤμοσεν 77 b 8 ; ἔστι δὲ τὰ μὲν λυπηρὰ αἰσθητὰ πάντα 82 a 10 ; οὐ γὰρ πάντα τὰ κακὰ φοβοῦνται 82 a 22 ; πάντα δὲ τὰ φοβερὰ φοβερώτερα 82 b 21 ; οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινά 83 a 3 ; πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα 83 b 29 ; καὶ τἆλλα πάντα ὅσα τοιαῦτα · κολακείας γὰρ σημεῖα 83 b 32 ; πάντα γὰρ μαλακίας σημεῖα 84 a 2 ; μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα 84 a 4 ; πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται 84 a 13 ; ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν φθαρτικά, πάντα ἐλεεινά 86 a 6 ; διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτ' ἐστί 87 a 3 ; καὶ οἷς μικροῦ ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν 87 b 28 ; πάντα γὰρ μεγάλα δοκεῖ αὐτοῖς εἶναι 87 b 34 ; σχεδὸν περὶ πάντα φθόνος ἐστί 88 a 3 ; τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα 89 a 24 ; πάντα γὰρ ἄγαν πράττουσιν · φιλοῦσι γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως 89 b 4-5 ; τοῦτο γὰρ αἴτιόν ἐστιν καὶ τοῦ πάντα ἄγαν 89 b 7 ; καὶ πάντα λέγουσιν οὕτως 89 b 19 ; ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα 89 b 21 ; καὶ δειλοὶ καὶ πάντα προφοβητικοί 89 b 30 ; πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν 90 a 20 ; « οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ » 94 b 2 (= Euripide, *Sthénébée*, *fr.* 661, Nauck p. 568) ; οὔτε γὰρ πόρρωθεν οὔτε

πάντα δεῖ λαμβάνοντας συνάγειν 95 b 25; ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια 96 a 6; οἷον εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασιν, σχολῇ οἵ γε ἄνθρωποι 97 b 15; πάντα γὰρ γίγνεται ἀπόδειξις ἤδη φανερά 03 a 14; ταῦτα δ' ἐστὶν πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα 03 a 20; πάντα ταῦτα γὰρ ποιητικὰ διὰ τὴν δίπλωσιν φαίνεται 06 a 4; περαίνεται δὲ ἀριθμῷ πάντα 08 b 28; ἔστιν δὲ ἅμα πάντα ἔχειν ταὐτό 10 b 1; κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα 12 a 10; καὶ τὰ τοιαῦτα πάντ' εἰκόνες εἰσίν 13 a 15; πάντα γὰρ ἀρχαὶ ταῦτ' εἰσί 14 b 20; « νῦν δ' ὅτε πάντα δέδασται... » 15 a 4 (Choerilos); δεῖ δὲ μὴ λανθάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα 15 b 5; διὰ δὲ τοῦτ' ἐνίοτε οὐκ ἐφεξῆς δεῖ διηγεῖσθαι πάντα 16 b 23; διὸ ἢ πρὸς πάντα, ἢ τὰ μέγιστα, ἢ τὰ εὐδοκιμοῦντα, ἢ τὰ εὐέλεγκτα μαχεσάμενον οὕτω τὰ αὐτοῦ πιστὰ ποιητέον 18 b 18; εὐδοξία δ' ἐστὶν τὸ ὑπὸ **πάντων** σπουδαῖον ὑπολαμβάνεσθαι ἢ τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται ἢ οἱ πολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι 61 a 25-26; κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων 72 a 11; « ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος » 73 b 16 (Empédocle); ὡς ὁμολογούντων πάντων 95 a 12; πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα 00 b 32; πλῆθος... τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ **πασῶν** ἢ τῶν μεγίστων 83 b 2; τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή · τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή 01 a 14-15; τὸ δὲ **πάντων** μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις οὐ κατὰ μέρος... 54 b 4; τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς 55 b 4; περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβὲς μή ἐστιν, ἀλλὰ τὸ ἀμφιδοξεῖν 56 a 7; ὁμοίως δὲ τοῦτ' ἔχει ἐπὶ πάντων 58 a 21; τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων 58 a 32; διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων 61 b 6; 66 a 38 (*supra*); « μεταβολὴ πάντων γλυκύ » 71 a 28 (= Euripide, *Oreste*, 234); ἔστι δ' ἡ γνώμη ἀπόφανσις, οὐ μέντοι οὔτε περὶ τῶν καθ' ἕκαστον, ... οὔτε περὶ πάντων 94 a 23; οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν 01 b 33; ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 22; διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες 08 b 34; τοῦτο δὲ ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον 09 b 6; ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ 15 b 9; καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν 18 a 9; ... ἢ παθητικὸν ποιεῖν, ἀλλ' ἥκιστα πάντων 18 a 29; μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν παρὰ **πᾶσιν** 58 a 3; σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν 60 b 4; κοινὸν δὲ [νόμον] ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ 68 b 9; καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν 70 b 22; « ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο » 70 b 29 (= *Iliade*, XXIII, 108 & *Odyssée*, IV, 183); καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονικοῖς, ἀλλὰ πᾶσιν 70 b 33; 71 b 22 (*supra*); πᾶσιν ὀργίζεται 79 a 17; πᾶσιν γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ αὐτοῖς 81 a 17; οὔτε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν ἀπιστοῦντες [οἱ ἀκμάζοντες] 90 a 31-32; πᾶσι γὰρ ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις 91 b 27; φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσιν 93 a 16; τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσίν ἐστι 10 b 10; ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον, καθάπερ καὶ ἐν ταῖς ἄλλαις τέχναις **πάσαις** 55 b 12; ὥστε ὁ ἰσχυρὸς ἢ **πᾶσιν** ἢ τούτων τισίν ἐστιν ἰσχυρός 61 b 17; ... ὁ δὲ πᾶσι πένταθλος 61 b 26; ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι 86 a 26; ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν 87 a 10; ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι 08 b 5; ἐν πᾶσι δὲ τῷ ἐνέργειαν ποιεῖν εὐδοκιμεῖ 11 b 33; ἐν πᾶσι γὰρ τούτοις διὰ τὸ ἔμψυχα εἶναι ἐνεργοῦντα φαίνεται 12 a 3; διὸ οὐχ οἱ αὐτοὶ ἐν πᾶσιν τούτοις εὐ-

δοκιμοῦσιν ῥήτορες 14 a 15 ; ὑπερβολὴ γὰρ ἀρετῆς τὸ **πάντας** εὖ ποιεῖν 67 b 7 ; ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον 71 b 20 ; ῥᾴδιον γὰρ πάντας λαθεῖν 72 b 29 ; καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν 79 b 33 ; ὁ γὰρ μηδένα οἰόμενος πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ 86 a 1 ; πάντας γὰρ οἴονται τὰ αὐτῶν φέρειν 87 b 30 ; καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν 89 b 8 ; σαλάκωνες δὲ καὶ σόλοικοι διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν 91 a 4 ; Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπών, ὡς Εὐαγόραν ἦλθεν 99 a 5 ; οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ, ἀλλ' οὐδ' ὁ μοχθηρὸς κακῶς 02 b 5 ; **πάσας** δὲ ταύτας καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν 07 a 11. — Voir ἅπας.

πάσχειν, éprouver, sentir, être affecté (de telle ou telle façon), subir ; **εὖ πάσχειν**, être bien traité, être heureux ; **κακῶς πάσχειν**, être mal traité, être malheureux : διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι 65 b 2 ; καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων · τὸ μὲν γὰρ εὖ πάσχειν τυγχάνειν ὧν ἐπιθυμοῦσι 71 a 35* ; ἔστι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντος τὰ ἄδικα πάσχειν 73 b 28 ; ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν 79 a 9 ; οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή 79 b 4 ; καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δικαίως πάσχειν 80 b 16 ; οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον νομίζουσι πάσχειν 80 b 18 ; καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν 84 a 3 ; τῇ γὰρ αὐτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν, ὥστε ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς 89 b 10 ; τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μεταφοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ συνιδεῖν, μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν 10 b 33 ; περὶ γὰρ τῶν πρὸς δόξαν φερόντων ἀγαθῶν τοῦτο **πάσχουσιν** 67 a 16 ; ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσιν 91 a 7 ; ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσιν καὶ πρὸς τὴν λέξιν 04 b 10 ; φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν 07 a 36 ; πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι 08 a 32 ; τὸ δὲ μὴ ἀναγκάζεσθαι κατασιωπᾶν ἄν τι βούληται μεταδοῦναι τοῖς ἄλλοις, ὅπερ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν 13 b 8 ; ἡ μὲν γὰρ κόλασις τοῦ **πάσχοντος** ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος 69 b 13 ; ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶν τῷ **πάσχοντι** 78 b 24 ; **πάσχοντες** 84 a 15 *infra* ; ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι [οἱ πλούσιοι], πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 33 ; **πάσχοντας** 83 a 10 (*infra*) ; εἰ δή ἐστιν ὁ φόβος μετὰ προσδοκίας τινὸς τοῦ **πείσεσθαί** τι φθαρτικὸν πάθος 82 b 29 ; καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται 83 b 8-9 ; καὶ γὰρ οὗτοι ἀλόγιστοι τοῦ πείσεσθαί τι 85 b 31 ; οἷον ἄν τις ὡς ἀγαθὸν **πεισόμενος** αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ 13 a 18 ; πάσχοντες δὲ ἢ πεπονθότες ἢ **πεισόμενοι** τὰ τοιαῦτα αἰσχύνονται ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη 84 a 15*-16 ; φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν **παθεῖν**, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν, οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται 82 b 31* ; ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε. Οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, ... οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινά 82 b 33-34 & 83 a 3 ; ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν 83 a 9 ; 83 b 8 (*supra*) ; ὃ κἂν αὐτὸς προσδοκήσειεν ἂν παθεῖν ἢ τῶν αὑτοῦ τινα, καὶ τοῦτο ὅταν πλησίον φαίνηται · δῆλον γὰρ ὅτι ἀνάγκη τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν τι κακὸν ἢ αὐτὸν ἢ τῶν αὑτοῦ τινα 85 b 15-17 ; διὸ οὔτε οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν · οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται · πεπόνθασι γὰρ

85 b 20* ; εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν 85 b 23 ; εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἂν οἵ τε πεπονθότες ἤδη καὶ διαπεφευγότες 85 b 24* ; αὐτοῦ τε γὰρ ταῦτα, καὶ οἷα παθεῖν τὰ εἰρημένα 85 b 28 ; πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν 90 a 21 ; διὸ δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι 97 a 30* ; « τί ἂν **ἔπαθες** δεινόν, εἰ ἄνδρ' εἶδες ἀργόν ; » 10 a 37 ; καὶ τὸ μνημονεύειν μᾶλλον ὧν **ἔπαθεν** ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν 74 b 17-18 ; εἰ γὰρ δικαίως ἔπαθέν τι, δικαίως πέπονθεν, ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ 97 a 29* ; καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴωνται ὅτι δι' αὐτοὺς καὶ ἀνθ' ὧν **ἔπαθον** 80 b 21 ; καὶ γὰρ ἄλλοι μείζους ἔπαθον · καὶ τοὺς τοιούτους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο 83 a 10*-11 ; « μνησάμενος ὅτε πολλὰ **πάθῃ** καὶ πολλὰ ἐόργῃ » 70 b 6 (= *Odyssée*, XV, 401) ; « ὁρᾶτε μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι τὸ αὐτὸ **πάθητε** τῷ ἵππῳ » 93 b 20 (Stésichore) ; καὶ εἰ ὁ **παθὼν** καὶ ἀδικηθεὶς αὐτὸς αὐτὸν μεγάλως ἐκόλασεν 74 b 34 ; οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν 75 a 1 ; 97 a 30 (*supra*) ; καὶ οὗ μὴ ἔστιν δίκην λαβεῖν τὸν **παθόντα** · ἀνίατον γὰρ 74 b 33 ; « μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, **παθόντες** δ' ἀφαιρεῖσθε » 97 b 37 (Iphicrate) ; ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ **παθόντας** ὥσπερ καὶ κακῶς 98 a 26 ; **πεπονθέναι** 83 a 3 (*supra*) ; αὐτοὶ δ' οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἂν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι 83 a 26 ; εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι 97 a 24 ; ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ..., ἢ τῷ ἀποδεδεῖχθαι, πείθονται πάντες 03 b 11 ; μάλιστα δὲ αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο **πέπονθεν** 71 b 19 ; καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθεν · πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ 75 a 14 ; 97 a 29 (*supra*) ; καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν 04 b 22 ; **πεπόνθασι** γὰρ 85 b 20 (*supra*) ; « ὡς ὁ Καρπάθιός, φασιν, τὸν λαγώ » · ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν 13 a 20 ; αὐτῷ δὲ ἀγαθὸν τὸ πρὸς ταῦτα **πεπονθός** 63 b 18 ; καὶ τὸ **πεπονθότος** γενέσθαι τι ἀγαθόν 86 a 13 ; καὶ εἰ τῷ **πεπονθότι** τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι 97 a 27 ; ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς **πεπονθότες** 63 a 12 ; καὶ ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν 80 b 14 ; ἢ μὴ ἔχωσιν δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες 83 a 24 ; 84 a 15 (*supra*) ; 85 b 24 (*supra*) ; οἷον εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, ὅτι ἀλλ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν 02 b 7-8 ; διὰ τοῦτο καὶ τὰ σημεῖα, οἷον ἐσθῆτάς τε τῶν **πεπονθότων** καὶ ὅσα τοιαῦτα 86 b 2 ; οὔτε τοῖς τεθνεῶσιν ἔτι [ὀργίζονται], ὡς **πεπονθόσι** τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθησομένοις 80 b 26 ; καὶ [φιλοῦσι] τοὺς πρὸς αὐτοὺς σπουδαίως ἔχοντας... καὶ ταῦτα μάλιστα **πεπονθότας**, περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς 81 b 13 ; 83 a 11 (*supra*).

πατάσσειν, frapper, battre, donner des coups : οἷον λαβεῖν μέν, ἀλλ' οὐ κλέψαι, καὶ **πατάξαι** πρότερον, ἀλλ' οὐχ ὑβρίσαι 74 a 3 ; ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο 77 a 21 ; οὐ γὰρ **εἰ ἐπάταξεν** πάντως ὕβρισεν, ἀλλ' εἰ ἕνεκά του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον ἢ αὐτὸς ἡσθῆναι 74 a 13 ; ὥστε κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν χεῖρα ἢ **πατάξῃ**, κατὰ μὲν τὸν γεγραμμένον νόμον ἔνοχος ἔσται καὶ ἀδικεῖ, κατὰ δὲ τὸ ἀληθὲς οὐκ ἀδικεῖ 74 a 35.

πατήρ (ὁ), père : « καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ » 97 b 25 (*fragm. trag. anon.* n° 81, Nauck p. 855) ; 02 a 1 (*infra*) ; « ἐμοὶ πατὴρ ἦν Πό-

λυδος... » 15 a 21 (= Sophocle, *Œdipe Roi*, 774) ; ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών 16 b 3 ; ἢ **πατρός** τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων » 67 b 20 (Simonide, *fr.* 111 Bergk) ; οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπερ Ζήνωνι 72 b 5 ; « εἰπεῖν μοι Κριτίᾳ πυρρότριχι πατρὸς ἀκούειν » 75 b 34 (Solon, *fr.* 22 Bergk) ; οἷον ὅτι δικαίως 'Αλέξανδρος ἔλαβε τὴν 'Ελένην · αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός. Οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον · καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος 01 b 36-02 a 1 ; καὶ ἐν τοῖς ἐπιθέτοις ἔστι μὲν τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχροῦ, οἷον ὁ μητροφόντης, ἔστι δ' ἀπὸ τοῦ βελτίονος, οἷον ὁ πατρὸς ἀμύντωρ 05 b 22 ; « μητρὸς δ' ἐν "Αιδου καὶ πατρὸς βεβηκότων » 17 a 32 (= Sophocle, *Antigone*, 911) ; ἢ οἷς μὴ καλὸν ἐναντία κρίνειν, οἷον θεοῖς ἢ **πατρὶ** ἢ διδασκάλοις 98 b 26 ; καὶ 'Ηγησίπολις ἐν Δελφοῖς ἠρώτα τὸν θεόν, ... εἰ αὐτῷ τὰ αὐτὰ δοκεῖ ἅ περ τῷ πατρί, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν 99 a 1 ; « δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ πόσιν, » ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν 01 a 39 ; καὶ τὸ τοὺς υἱοὺς ἀναιρεῖν ὧν καὶ τοὺς πατέρας · « νήπιος ὃς **πατέρα** κτείνας υἱοὺς (*var.* παῖδας) καταλείπει » 76 a 6-7 & 95 a 18 (= Stasinos, *Chants Cypriens*, *fr.* 2 Kinkel) ; τὸ δ' ὅτι τοὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα 97 b 17 ; ποιεῖ γὰρ ['Αρχίλοχος] τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ 18 b 28 ; καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα ὑπὲρ τῆς 'Αντιγόνης πρὸς τὸν πατέρα ὡς λεγόντων ἑτέρων 18 b 33 ; **πατέρας** 76 a 6 (*supra*) ; τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον 97 b 20.

πάτρα (ἡ), patrie : « εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ **πάτρης** » 95 a 14 (= *Iliade*, XII, 243).

πατραλοίας (ὁ), parricide : οἷον τοὺς **πατραλοίας** καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός 86 b 26.

πατρίς (ἡ), patrie : καὶ τὰ ἁπλῶς ἀγαθά, ὅσα ὑπὲρ τῆς **πατρίδος** τις ἐποίησεν παριδὼν τὸ αὑτοῦ 66 b 37.

Πάτροκλος (ὁ), Patrocle : οἷον 'Αχιλλέα ἐπαινοῦσιν ὅτι ἐβοήθησε τῷ ἑταίρῳ **Πατρόκλῳ** εἰδὼς ὅτι δεῖ αὐτὸν ἀποθανεῖν ἐξὸν ζῆν 59 a 4 ; καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' 'Αλέξανδρος, ... καὶ εἰ **Πάτροκλον** "Εκτωρ, καὶ 'Αχιλλέα 'Αλέξανδρος 97 b 28.

παύειν, faire cesser ; **παύεσθαι**, s'arrêter de : **παύει** δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον 80 b 6 ; διὸ εὖ περὶ τοῦ "Εκτορος ὁ Ποιητής, **παῦσαι** βουλόμενος τὸν 'Αχιλλέα τῆς ὀργῆς τεθνεῶτος 80 b 28 ; ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους **παύεται** ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας 80 a 25 ; πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι **παυόμεθα** θυμούμενοι 80 a 19 ; ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις **παύονται** τῆς ὀργῆς 80 a 16 ; καὶ σφόδρα μὲν ἐπιθυμοῦσιν [οἱ νέοι], ταχέως δὲ παύονται 89 a 7 ; καὶ ῥᾳδίως καταψευδόμενοι ὡς **παυσόμενοι** θᾶττον 77 a 5 ; ἀνάγκη γὰρ ὅταν... ἀντισπασθῇ **παυσαμένου**, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρουσιν 09 b 21.

παχύδερμος, ος ον, qui a la peau épaisse : [πολλοὶ μὲν γὰρ **παχύδερμοι** οἱ καὶ λιθόδερμοι 77 a 7-8 *var.*). — Voir le suivant.

παχύφρων, qui a l'esprit épais : [πολλοὶ μὲν γὰρ **παχύφρονες** οἱ καὶ λιθόδερμοι καὶ ταῖς ψυχαῖς ὄντες δυνατοὶ γενναίως ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις 77 a 7-8].

πέδιλον (τὸ), chaussure, sandale : « ἔστειχε δ' ἔχων ὑπὸ ποσσὶ χίμεθλα » · ὁ δ' ᾤετο **πέδιλα** ἐρεῖν 12 a 32.

πεζεύειν, aller à pied : « πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, **πεζεῦσαι** δὲ διὰ τῆς θαλάττης » 10 a 11 (= Isocrate, *Panég.*, § 89).

πεζικός, ή, όν, qui va à pied, d'infanterie : εἰ πολεμητέον... μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν, πότερον ναυτικὴ ἢ **πεζικὴ** ἢ ἄμφω, καὶ αὕτη πόση 96 a 10.

πείθειν, persuader, convaincre ; **πείθεσθαι** (moy.), obéir : ἔτι δὲ τἀναντία δεῖ δύνασθαι πείθειν, καθάπερ καὶ ἐν τοῖς συλλογισμοῖς, οὐχ ὅπως ἀμφότερα πράττωμεν (οὐ γὰρ δεῖ τὰ φαῦλα πείθειν), ἀλλ' ἵνα μήτε λανθάνῃ πῶς ἔχει 55 a 30-31 ; μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς πολιτείας ἁπάσας 65 b 23 ; οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται ⟨ἐπεξιέναι⟩ φοβούμενοι τοὺς κριτάς, οὔτε δύνανται πείθειν ὡς μισούμενοι καὶ φθονούμενοι 72 b 37 ; **πείθοντες** 91 b 10 (*infra*) ; ἔτι δὲ πρὸς ἐνίους οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης **πεῖσαι** λέγοντας 55 a 25 ; καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον 55 b 10 ; ὅθεν καὶ ὁ Ποιητής φησι πεῖσαι τὸν Μελέαγρον ἀναστῆσαι 65 a 12 ; οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες (οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς · ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς εἰπεῖν ἁπλῶς κριτής) 91 b 10-11 ; καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν ἢ **πείσαιμεν** 92 a 27 ; **πείθονται** γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρειν δὲ τὸ σῷζον τὴν πολιτείαν 65 a 25 ; ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ..., ἢ τῷ ἀποδεδεῖχθαι, πείθονται πάντες 03 b 12 ; μετὰ λόγου δὲ ὅσα ἐκ τοῦ **πεισθῆναι** ἐπιθυμοῦσιν · πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ **πεισθέντες** 70 a 25-27 ; ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις... οὐκ οἰόμεθα δεῖν **πείθεσθαι**, ταῖς δὲ συνθήκαις ἀναγκαῖον 79 b 19.

Πειθόλαος (ὁ), Pitholaos : καὶ Πειθόλαος τὴν Πάραλον ῥόπαλον τοῦ δήμου [ἐκάλει] 11 a 13 ; καὶ ὃ εἰς **Πειθόλαόν** τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ · « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται » 11 a 13.

πειθώ (ἡ), persuasion, éloquence persuasive : καὶ « τελεσφόρον τὴν **πειθὼ** τῶν λόγων κατέστησε » 06 a 3 (Alcidamas).

πεῖνα (ἡ), faim : ὥσπερ αἱ διὰ τοῦ σώματος [ἐπιθυμίαι] ὑπάρχουσαι, οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα 70 a 22 ; ὀξεῖαι γὰρ αἱ βουλήσεις [τῶν νέων] καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ **πεῖναι** 89 a 9.

πεινῆν, avoir faim : « ἕτεροι ἐλθόντες **πεινῶντες** ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα » 93 b 30 (Ésope).

Πειραιεύς (ὁ), le Pirée : καὶ Πειθόλαος τὴν Πάραλον ῥόπαλον τοῦ δήμου [ἐκάλει], Σηστὸν δὲ τηλίαν τοῦ **Πειραιέως**. Καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε, τὴν λήμην τοῦ Πειραιέως 11 a 15-16 ; ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος, οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν **Πειραιεῖ** ἐστίν · ἕκαστον γὰρ οἶδεν 01 a 29.

πειρᾶν, essayer, tenter ; **πειρᾶσθαι**, s'efforcer de, s'essayer à : οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ **ἐπείρασε**, καὶ ἔπραξεν... οἷον εἰ ἠβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξεν, ἐπείρασεν 97 b 27 & 31 ; πρὸς ὃ καὶ μόνον **πειρᾶσθαί** φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας 56 a 17 ; πᾶσι γὰρ ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις, καὶ τοὺς μὲν ὡς ἔσται, τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι 91 b 29 ; ἐκ τούτων πειρᾶσθαι συνάγειν θάτερον 99 a 33 ; καὶ Κηφισόδοτος... ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἄγχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι 11 a 9 ; ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις, ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν 59 b 13 ; περὶ δὲ τοῦ δικάζεσθαι πάντες **πειρῶνται** τεχνολογεῖν 54 b 26 ; οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται, ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ ἀγαθὸν ἢ τὸ κακόν 59 a 19 ; οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ

πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν 15 a 38 ; τοιοῦτοι δὲ οἱ τεχνικώτατοι καὶ ἀδικώτατοι · τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πειρῶνται, μιγνύντες αὐτὰ τῷ κακῷ 16 b 8 ; περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου **πειρώμεθα** λέγειν 55 b 22 ; περὶ τῶν ἐνθυμημάτων κοινῇ **πειραθῶμεν** εἰπεῖν, εἴ τι ἔχομεν, καὶ περὶ παραδειγμάτων 92 a 2 ; διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ **πεπειρᾶσθαι** ἢ τῷ βοηθείας ἔχειν 83 a 29 ; φιλοχρήματοι δὲ ἥκιστα [οἱ νέοι] διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι 89 a 15.

πειρατέον, il faut essayer : πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν 67 b 22 ; πειρατέον τοῦτο δηλοῦν καὶ μάχεσθαι ταύτῃ πρὸς τὸν νόμον 75 b 15.

Πείσανδρος (ὁ), Pisandre : οἷον Σοφοκλῆς, ἐρωτώμενος ὑπὸ **Πεισάνδρου** εἰ ἔδοξεν αὐτῷ, ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις, καταστῆσαι τοὺς τετρακοσίους, ἔφη 19 a 27.

Πεισίστρατος (ὁ), Pisistrate : καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε 57 b 31.

πειστικός, ή, όν, propre à persuader (l'art de persuader) : τῶν γὰρ ἄλλων [τεχνῶν] ἑκάστη περὶ τὸ αὑτῇ ὑποκείμενόν ἐστιν διδασκαλικὴ καὶ **πειστική**, οἷον ἰατρικὴ περὶ ὑγιεινῶν καὶ νοσερῶν 55 b 28.

πέλας, près de, auprès ; **οἱ πέλας**, les proches : ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ ἄρχειν 71 b 29 ; ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν 84 b 4 ; καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς [αἰσχύνονται] 84 b 9 ; τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν 89 b 9.

πέλειν, être, se trouver : « ὅσσα κάκ' ἀνθρώποισι **πέλει** τῶν ἄστυ ἁλώῃ » 65 a 13 (= *Iliade*, IX, 592) ; « δωρητοί τ' **ἐπέλοντο** παράρρητοί τ' ἐπέεσσιν » 10 a 31 (= *Iliade*, IX, 526).

Πελόπιος, α, ον, de Pélops : « Καλυδὼν μὲν ἥδε γαῖα, **Πελοπίας** χθονός » 09 b 10 (= Euripide, *Méléagre*, *fr.* 515, Nauck p. 525) ; *var.* Πελοπείας.

Πελοπόννησος (ἡ), le Péloponnèse : τοὐναντίον γάρ ἐστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν Καλυδῶνα εἶναι τῆς **Πελοποννήσου** 09 b 12.

πελώριος, α, ον, monstrueux, énorme : συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι οὐρανόμηκες, ἢ **πελώριον** εἰπεῖν 08 b 13.

πέλωρον (τὸ), prodige, monstre, ou **πέλωρος, α, ον**, énorme, prodigieux : μία δὲ τὸ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων Ξέρξην « **πέλωρον** ἄνδρα » [ὀνομάζει] 06 a 7.

πέμπειν, envoyer : ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι **πέμψαι** κοττάβια ἀνδραποδισαμένῳ 73 a 23.

πέμπτος, η, ον, cinquième : **πέμπτον** ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν 07 b 9.

πένεσθαι, être pauvre, vivre dans la pauvreté : καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων, οἷον πλουτεῖν δοκῶν ἑαυτῷ ἢ πένεσθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν 69 a 29 ; διὸ κάμνοντες, **πενόμενοι**, ⟨πολεμοῦντες⟩... ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον... **πενόμενος** δὲ τοῖς πρὸς τὴν πενίαν 79 a 19 & 21.

πένης (ὁ), pauvre, indigent : λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενεῖς περὶ αἰκίας καὶ ὁ πένης καὶ ὁ αἰσχρὸς περὶ μοιχείας 72 a 23 ; καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ, οἷον ἐν χρήμασιν ὁ πλούσιος **πένητος** 79 a 2 ; τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν, οἷον

πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνάτου 91 b 6 ; διχῶς δέ εἰσιν ἐνδεεῖς · ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ **πένητες**, ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ πλούσιοι 72 b 20 ; « ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες » 94 a 1 (Ésope) ; καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπὸ ἀδυνάτων, οἷον **πενήτων** ἢ τεθνεώτων 83 b 23 ; ἀλλὰ συμβέβηκε τοῖς μὲν **πένησι** διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων 69 a 12.

Πενθεύς (ὁ), Penthée : « Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος » 00 b 28 (= Chérémon, *Dionysos*, *fr.* 4, Nauck p. 783 = Snell p. 218).

πένθος (τὸ), deuil, douleur : καὶ ἐν **πένθεσι** καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή 70 b 25.

πενία (ἡ), pauvreté, indigence : διὸ οἱ ἐν **πενίᾳ** παριστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσιν, ... κεχαρισμένοι 85 a 25 ; οὐδὲ διὰ πλοῦτον καὶ **πενίαν** [πράττουσί τι], ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων, τοῖς δὲ πλουσίοις... 69 a 11 ; ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ διὰ τὴν ἐπιθυμίαν 69 a 15 ; οἷον κάμνων μὲν τοῖς πρὸς τὴν νόσον, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν 79 a 21.

πένταθλος (ὁ), athlète qui s'exerce au pentathle : ὁ δὲ ὦσαι τῇ πληγῇ πυκτικός, ὁ δ' ἀμφοτέροις τούτοις παγκρατιαστικός, ὁ δὲ πᾶσι πένταθλος 61 b 26 ; διὸ οἱ **πένταθλοι** κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν 61 b 10.

πέντε, cinq : τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα · ταῦτα δ' ἐστὶν περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ νομοθεσίας 59 b 20 ; εἰσὶν δὲ πέντε τὸν ἀριθμόν [sc. αἱ πίστεις ἄτεχνοι], νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος 75 a 24 ; ἔτι [ὀργίζονται] τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φιλοτιμοῦνται, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομένοις αὐτούς 79 b 24 ; ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα 90 b 10 ; ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν · τοῦτο δ' ἐστὶν ἐν πέντε · πρῶτον μὲν ἐν τοῖς συνδέσμοις, κ. τ. α. 07 a 20.

πεντεσύριγγος, ος, ον, qui paralyse les membres (comme par le carcan à cinq trous appelé πεντεσύριγγον) : καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν, ὑπὸ τῆς τύχης ἐν **πεντεσυρίγγῳ** νόσῳ δεδεμένον 11 a 22.

πεντήκοντα, cinquante : ἡ δὲ ψυχὴ [ἀκμάζει] περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα 90 b 11.

πεντηκοντάδραχμος, ος, ον, qui coûte cinquante drachmes : τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν τῆς **πεντηκονταδράχμου** αὐτοῖς 15 b 16.

Πεπαρηθία (ἡ), Péparéthienne, femme de l'île de Péparéthos (ou titre d'un discours?) : ἄλλος [τόπος] ἐξ ἐπαγωγῆς, οἷον ἐκ τῆς **Πεπαρηθίας**, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχοῦ διορίζουσι τἀληθές 98 a 34.

πεπλασμένως λέγειν, parler dans un langage recherché : διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως · τοῦτο γὰρ πιθανόν, ἐκεῖνο δὲ τοὐναντίον 04 b 19. — Voir πλάττειν.

πεπνῦσθαι, être inspiré, prudent : « ὦ φίλ' ἐπεὶ τόσα εἶπες ὅσ' ἂν **πεπνυμένος** ἀνήρ » 18 a 8 (= *Odyssée*, IV, 204).

περ, toutefois, d'ailleurs : voir εἴπερ, ἔπειπερ, καίπερ, ὅσπερ. — En outre : 76 a 32 (ἐξ οἵων περ) ; 80 a 31 (οἷοί περ αὐτοί) ; 17 b 13 (ἀλλ' ἐάν περ διήγησις ᾖ).

περαίνειν, achever, mener à terme (un discours, un raisonnement), déterminer : ἢ γὰρ οὐκ ἐγχειροῦσιν ἐπεξιέναι [οἱ μὴ δεινοὶ εἰπεῖν ἢ πρᾶξαι], ἢ καταλλάττονται, ἢ οὐδὲν **περαίνουσι** 73 a 7 ; **περαίνεται** δὲ ἀριθμῷ πάντα 08 b 28 ; δεῖ δὲ **πεπεράνθαι** μέν, μὴ μέτρῳ δέ 08 b 26 ; ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ, καὶ ὅτι ἀεί τι οἴεται ἔχειν ὁ ἀκροατὴς καὶ πεπεράνθαι τι αὑτῷ 09 b 3 ; ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ **πεπερασμένον** 57 b 9. — Voir ἄπειρος, ἀπέραντος.

πέρας (τὸ), terme, fin, extrémité : τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν 57 b 9 ; προορῶντες γὰρ τὸ πέρας οὐ κάμνουσι πρότερον 09 a 34.

πέρθειν, détruire, mettre à sac : καὶ τὸ « βούλει αὐτὸν **πέρσαι** » 12 b 3 (cf. Eschyle, *Perses*, 178).

περὶ, **περί**, au sujet de, à propos de, autour de, à l'égard de :

1° **avec le génitif** : 54 a 2, 14, 15, 17 (περὶ τοῦ πράγματος, opp. ἔξω τοῦ πράγματος) ; 54 b 6, 7, 11, 13, 21, 25, 26, 30, 33 ; 55 a 8, 29 ; 55 b 22, 28, 30, 32 ; 56 a 7, 18, 32, 34 ; 56 b 13, 26 ; 57 a 1, 2, 4, 5, 14, 23, 24 ; 57 b 23, 25 ; 58 a 11, 12, 13*, 16**, 18, 19, 20*, 33, 34 ; 58 b 1, 4, 5, 6, 14, 16, 30 ; 59 a 6, 15, 22, 24, 26*, 28*, 29, 33, 34, 36, 37 ; 59 b 3, 4, 19, 21, 22, 23, 32, 33 ; 60 a 6, 12, 19, 38 ; 60 b 2*, 9 ; 61 b 34 ; 62 a 13, 14, 18, 19, 21 ; 62 b 5 ; 63 b 3, 6, 7 ; 66 a 18, 19, 22, 23, 25, 31, 32 ; 66 b 8, 21, 23*, 24 ; 67 a 14 (περὶ τῶ δικαίω : Sappho), 15* ; 68 b 1, 25 ; 69 a 23*, 31, 35 ; 69 b 15, 29, 30, 32 ; 70 b 11, 20 ; 72 a 1, 2, 22, 23 ; 72 b 31 ; 73 b 14, 36 ; 74 a 7, 10, 17*, 19 ; 74 b 22 ; 75 a 20, 22, 25 ; 75 b 25, 26, 30, 35 ; 76 a 9, 14, 16, 17, 24*, 25*, 28, 29, 33 ; 76 b 33 ; 77 a 8, 28 ; 77 b 11, 19 ; 78 a 1, 9, 18, 23, 28 ; 78 b 5 ; 79 a 36 ; 79 b 21 ; 80 b 28 ; 82 a 1 ; 83 a 6, 7, 13 ; 83 b 9 ; 84 a 5, 22 ; 84 b 32 ; 85 a 14* ; 85 b 11 ; 87 a 6, 8 ; 88 b 30, 33, 34 ; 90 b 12, 14 ; 91 a 8, 20 ; 91 b 4, 7, 18, 19, 23, 26, 27, 28, 30 ; 92 a 1, 2, 6, 8 ; 92 b 12, 32 ; 93 a 1, 9, 12*, 16, 20, 21, 23, 24, 26 ; 93 b 9, 23 ; 94 a 19, 20, 22, 23, 24, 26 ; 94 b 28, 33 ; 95 a 3, 5, 14 (Homère) ; 95 b 11, 15, 18, 21 ; 96 a 4, 23, 31* ; 96 b 4, 5, 7, 21, 30, 31 ; 97 a 1, 5, 26 ; 97 b 9, 11 ; 98 a 28, 30 ; 98 b 1, 21 ; 99 a 1, 3, 4, 19 ; 99 b 10, 11 ; 02 a 29, 30, 37 ; 03 b 2, 9, 14, 35 ; 04 a 14, 37, 38, 39* ; 04 b 7, 16, 28 ; 05 a 6, 7 ; 08 a 12, 13 ; 10 b 6 ; 11 a 5 ; 14 a 4, 29*, 30, 32 ; 15 a 2**, 13, 28 ; 15 b 2, 34 ; 16 a 4, 9 ; 16 b 16 ; 17 a 21 ; 17 b 1, 9, 12, 15, 22*, 26, 29 ; 18 a 4, 9, 24, 25, 28 ; 18 b 23, 24, 25, 28, 40 ; 19 a 3 ; 19 b 3, 6, 31 ; 20 a 1 ;

2° **avec l'accusatif** : 54 b 23 ; 55 a 4, 12 ; 55 b 11, 25, 27, 29, 33 ; 56 a 20, 22, 23*, 26 ; 57 a 35 ; 57 b 26 ; 58 a 3, 17, 22* ; 59 a 30, 31 ; 59 b 10, 19, 30 ; 60 a 36 ; 60 b 27 ; 62 a 13, 25 ; 66 a 5, 19 ; 66 b 1, 16 ; 67 a 4, 5 ; 68 b 15, 16, 17, 18*, 22, 24, 25, 26 ; 70 a 23, 24 ; 71 a 3 ; 72 b 13 ; 73 a 19 ; 73 b 37 ; 74 a 2 ; 76 b 3 ; 77 b 20 ; 78 a 16, 19, 22 ; 78 b 11 ; 79 b 34 ; 81 b 1*, 2, 13, 26 ; 82 a 5 ; 83 a 15 ; 83 b 13, 15 ; 84 b 2 ; 85 b 5 ; 86 a 19* ; 87 b 10, 24, 33 (περί τι), 34 ; 88 a 2, 14, 33 ; 88 b 9 ; 89 a 4, 5 ; 90 b 11 ; 91 a 5, 26 ; 91 b 22 ; 96 b 1, 4, 27, 29 ; 00 b 13 ; 03 a 20, 32 ; 03 b 1, 6, 7, 22, 24, 25, 30, 36 ; 04 a 2, 4, 16 ; 04 b 13, 14 ; 05 a 22 ; 11 a 7 ; 14 a 30 ; 14 b 14 ; 15 a 19, 28 ; 17 a 10 ; 18 a 3, 22, 23 ; 19 b 35.

Περίανδρος (ὁ), Périandre (de Corinthe) : καὶ Τενέδιοι ἔναγχος **Περιάνδρῳ** τῷ Κορινθίῳ [μάρτυρι ἐχρήσαντο] πρὸς Σιγειεῖς 75 b 31.

περιγράφειν, délimiter, circonscrire : καὶ **περιγράφοντα** ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος 96 b 7.

περιεῖναι, être de reste, résulter : « καὶ οὐ μεταμέλει μοι καίπερ ἠδικημένῳ · τούτῳ μὲν γὰρ **περίεστι** τὸ κέρδος, ἐμοὶ δὲ τὸ δίκαιον » 18 a 21 ; διὸ οὔτε ἐπερωτᾶν δεῖ μετὰ τὸ συμπέρασμα, οὔτε τὸ συμπέρασμα ἐπερωτᾶν, ἐὰν μὴ τὸ πολὺ **περιῇ** τοῦ ἀληθοῦς 19 b 2.

περιεργία (ἡ), soin superflu ou excessif : 04 a 6 *var.*.

περίεργος, **ος**, **ον**, superflu, minutieux, indiscret : ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων ἐλάττων γένηται 59 b 27 ; ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον 60 a 10 ; τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα **περίεργον** 69 a 8 ; τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ εἶναι καὶ μεγαλοπρεπῆ, περίεργον 14 a 21 ; ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι **περίεργά** ἐστιν 04 a 6 ; διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμφοτέροις 14 a 10.

περιέχειν, envelopper, embrasser, comprendre : ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς **περιέχει** ταῦτα 67 b 35 ; δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν καὶ μὴ τοῖς **περιέχουσιν** 07 a 32.

περιϊστάναι, se placer autour : ἠξίου [Κυδίας] γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους **περιεστάναι** κύκλῳ τοὺς Ἕλληνας 84 b 33.

Περικλῆς (ὁ), Périclès : οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη 65 a 31 ; ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι 11 a 2 ; καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε, τὴν λήμην τοῦ Πειραιέως 11 a 15 ; οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς σωτείρας ἱερῶν 19 a 2 ; τὰ δὲ στάσιμα [γένη] εἰς ἀβελτερίαν καὶ νωθρότητα [ἐξίσταται], οἷον οἱ ἀπὸ Κίμωνος καὶ **Περικλέους** καὶ Σωκράτους 90 b 30 ; καὶ ἡ Περικλέους [εἰκὼν] εἰς Σαμίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχεται μέν, κλαίοντα δέ, καὶ εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις 07 a 2.

περιμάχητος, **ος**, **ον**, qui est l'enjeu d'un combat, d'une dispute : καὶ οὗ οἱ πολλοὶ ἐφίενται, καὶ τὸ **περιμάχητον** φαινόμενον · οὗ γὰρ πάντες ἐφίενται, τοῦτ' ἀγαθὸν ἦν 63 a 8.

περίοδος (ἡ), voyage ; période : περίοδος δὲ ἡ μὲν ἐν κώλοις, ἡ δ' ἀφελής · ἔστιν δ' ἐκ κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ καὶ ἡ εἰρημένη περίοδος, ἀλλ' ὅλη 09 b 13-15 ; αἵ τε λίαν βραχύκωλοι [περίοδοι?] οὐ περίοδος γίνεται 09 b 31 ; ἡ μὲν οὖν εἰρομένη τῆς λέξεώς ἐστιν ἥδε, κατεστραμμένη δὲ ἡ ἐν περιόδοις. Λέγω δὲ **περίοδον** λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὐτὴν καὶ μέγεθος εὐσύνοπτον · ἡδεῖα δ' ἡ τοιαύτη καὶ εὐμαθής 09 a 36* ; δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι 09 b 8 ; ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς **περίοδοι** χρήσιμοι 60 a 34 ; ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνονται καὶ ἀναβολῇ ὅμοιον 09 b 25 ; αἱ δ' ἀρεταὶ τῶν **περιόδων** σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται 10 b 2 ; **περιόδοις** 09 a 36 (*supra*) ; τοῦτο δὲ ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον 09 b 5 ; δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς **περιόδους** μήτε μυούρους εἶναι μήτε μακράς 09 b 18.

περιορᾶν, voir avec indifférence : « ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας » 10 a 16 (= Isocrate, *Panég.*, § 181) ; καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἂν **περιϊδεῖν** τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην 11 a 5.

περιπέτεια (ἡ), événement imprévu, bonheur soudain (péripétie) : καὶ αἱ **περιπέτειαι** καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων [ἡδέα] · πάντα γὰρ θαυμαστὰ ταῦτα 71 b 10.

περισσῶς, supérieurement, à l'excès : « παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς » 94 a 30 (= Euripide, *Médée*, 295).

περιτιθέναι, mettre autour, attribuer : τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος **περιθεῖναι** καὶ κάλλος 68 a 29.

περιττός, ή, όν, superflu, excessif, démesuré, extraordinaire : οὐδενὸς γὰρ μεγάλου οὐδὲ **περιττοῦ**, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσιν [οἱ πρεσβύτεροι] 89 b 26 ; καὶ ἐνίοτε ἂν ᾖ ἀγαθὸν τὸ γένος, ἐγγίνονται διά τινος χρόνου ἄνδρες **περιττοί**, κἄπειτα πάλιν ἀναδίδωσιν 90 b 27 ; καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ **περιττά** 63 a 27 ; καὶ ἃ μὴ ζῶντι ἕπεται, καὶ οἷς τιμὴ ἀκολουθεῖ, καὶ τὰ περιττά 67 a 25 ; τύχοι γὰρ ἄν τις μᾶλλον ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει 07 b 3.

περίττωμα (τὸ) excrément : τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ἐπεὶ κατ' αὐτοῦ πετομένη ἀφῆκε τὸ **περίττωμα**, ἄριστα τῶν τραγικῶν 06 b 16.

πέτεσθαι, voler : τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ἐπεὶ κατ' αὐτοῦ **πετομένη** ἀφῆκε τὸ περίττωμα 06 b 16 ; « **ἔπτατ'** ὀϊστός » 11 b 34 (cf. *Iliade*, XIII, 587). — Voir ἐπιπέτεσθαι.

πεττεία, (ἡ), jeu de trictrac : ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι... καὶ ἀστραγαλίσεις καὶ σφαιρίσεις καὶ κυβείας καὶ **πεττείας** 71 a 3.

πεφηνέναι, avoir paru, avoir éclaté : ἄλλος [τόπος], εἰ ἄλλους διέβαλεν ἢ ἄλλος αὐτούς, ... οἳ **πεφήνασιν** οὐκ ἔνοχοι 16 a 26. — Voir φαίνεσθαι.

πεφυκέναι, être par nature : voir φύεσθαι.

πεφυκότως, par une aptitude naturelle : διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως · τοῦτο γὰρ πιθανόν 04 b 19.

πῇ, de quelle façon : εἰ πῇ ἐναντιοῦται τοῖς κριταῖς 76 b 29 *var.* ; τὸ κατὰ τί καὶ πρὸς τί καὶ πῇ 02 a 16 ; ὅτι ἔστι μὲν ἔστι δ' οὔ, ἢ τὰ μὲν τὰ δ' οὔ, ἢ πῇ μὲν πῇ δ' οὔ 19 a 15-16.

Πηλεύς (ὁ), Pélée : καὶ ὁ ἔλεγεν Γοργίας... εἰ γὰρ Ἀχιλλέα λέγει, **Πηλέα** ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν 18 a 36.

πηλίκος, η, ον, de quelle grandeur : καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν, οἷον τὸ τρῶσαι σιδήρῳ **πηλίκῳ** καὶ ποίῳ τινί 74 a 32.

Πηνελόπη (ἡ), Pénélope : ὁ Ἀλκίνου ἀπόλογος, ὅτε πρὸς τὴν **Πηνελόπην** ἐν ἑξήκοντα ἔπεσιν πεποίηται 17 a 14.

πιέζειν, serrer, presser : ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ **πιέζοντα** ἢ συνθλίβοντα 61 b 17.

πιθανός, ή, όν, propre à persuader, persuasif, croyable, digne de foi : ὁ δὲ μάρτυς πανταχοῦ πιθανός 94 a 14 ; πρὸς δὲ τούτοις [φανερὸν] ὅτι τῆς αὐτῆς [sc. ῥητορικῆς] τό τε **πιθανὸν** καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν 55 b 15-16 ; ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν 55 b 26 ; ἡ δὲ ῥητορικὴ περὶ τοῦ δοθέντος ὡς εἰπεῖν δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθανόν 55 b 32 ; οὐ γὰρ ὥσπερ ἔνιοι... τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 12 ; ἐπεὶ γὰρ τὸ πιθανὸν τινὶ πιθανόν ἐστι, καὶ τὸ μὲν εὐθὺς ὑπάρχει δι' αὐτὸ πιθανὸν καὶ πιστὸν

τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων 56 b 28*-29; οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως 00 a 10; καίτοι οὐκ εἶκος οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός 00 a 13; ὅπερ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν 03 b 19; τοῦτο γὰρ πιθανόν, ἐκεῖνο δὲ τοὐναντίον 04 b 19; 08 b 10 *var.*; καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος 14 a 28; **πιθανοὶ** μὲν οὖν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί 56 b 23; οὐ τὸ πεῖσαι ἔργον αὐτῆς [τῆς ῥητορικῆς], ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα **πιθανὰ** περὶ ἕκαστον 55 b 11; τὰ δὲ μὴ πιθανὰ διὰ τὸ μὴ ἐξ ὁμολογουμένων εἶναι μηδ' ἐνδόξων 57 a 12; « ἀλλ' εἴ περ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν πιθανά » 97 a 18 (= Euripide, *Thyeste, fr.* 396, Nauck p. 481); πιθανὰ γάρ, διότι σύμβολα γίγνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασιν 17 b 2; ἐπεὶ δὲ ἡ τῶν **πιθανῶν** λόγων χρῆσις πρὸς κρίσιν ἐστί 91 b 7; διὰ δὲ τὸν λόγον πιστεύουσιν, ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα **πιθανῶν** 56 a 20; ἀλλ' ἀεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει εὐσυλλογιστότερα καὶ **πιθανώτερα** ὡς ἁπλῶς εἰπεῖν 55 a 38; τοῦτο γὰρ αἴτιον καὶ τοῦ **πιθανωτέρους** εἶναι τοὺς ἀπαιδεύτους τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις 95 b 27; τὸ μὲν γὰρ ἑκάστης ἦθος **πιθανώτατον** ἀνάγκη πρὸς ἑκάστην εἶναι 66 a 13. — Voir ἄπιστος, ἀπίθανος, πιστεύειν, πιστός, ἔνδοξος.

πιθανοῦν, rendre croyable : **πιθανοῖ** δὲ τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις 08 a 19.

πίθηκος (ὁ), singe : καὶ εἰκάζουσι δὲ οὕτως, οἷον **πιθήκῳ** αὐλητήν, λύχνῳ ψακαζομένῳ μύωπα · ἄμφω γὰρ συνάγεται 13 a 4.

πικρός, ά, όν, dur, irritable, vindicatif : καὶ ἄδικοί εἰσιν, οἷον... ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ πικρὸς δὲ διὰ τιμωρίαν, κ. τ. α. 68 b 21.

Πίνδαρος (ὁ), Pindare : ὅτι Πίνδαρος ἔφησεν · « ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν Ὀλύμπιοι » 01 a 17 (*Parthénées, fr.* 96 Snell = *fr.* 4 Puech). — Voir l'*Index des citations*.

πίνειν, boire : οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς **ἔπιον** καὶ ἐλπίζοντες **πιεῖσθαι** χαίρουσιν 70 b 18*; ἐάν τε οὖν κατ' εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις, οἷον τῷ διψῶντι πρὸς τὸ **πιεῖν** 79 a 14.

πίπτειν, tomber : **πίπτει** δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους 68 a 22; « εἴ περ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν ἀκουσίως δίκαιον εἰς ὀργὴν **πεσεῖν**... » 97 a 14 (*fr. trag. anon.* nº 80, Nauck p. 854).

πιστεύειν, croire, se laisser convaincre, ajouter foi : « μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς Τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον » 00 a 36 (Léodamas); « καὶ ἐγὼ δέδωκα, καὶ ταῦτ' εἰδὼς ὡς οὐ δεῖ πιστεύειν » 18 a 19; τοῖς μὲν γὰρ [δικασταῖς] **πιστεύει**, τῷ δὲ [ἀντιδίκῳ] οὔ 77 a 15; εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ, ἐκείνῳ δ' οὔ 77 a 22; ἄλλος [τόπος] ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο, ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι 16 a 37; τότε γὰρ **πιστεύομεν** μάλιστα ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν 55 a 5; τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον, περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβὲς μή ἐστιν, ἀλλὰ τὸ ἀμφιδοξεῖν, καὶ παντελῶς 56 a 6; τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιστεύομεν, τοῦτο δ' ἐστὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω 66 a 11; τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία ἐστὶν τὰ αἴτια · τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ἀποδείξεων 78 a 7; διὰ δὲ τὸν λόγον **πιστεύουσιν**, ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν 56 a 19; τὰ δ' ἔργα σημεῖα τῆς ἕξεώς ἐστιν, ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ πεπραγότα, εἰ **πιστεύοιμεν** εἶναι τοιοῦτον 67 b 33; οὔτε πᾶσι **πιστεύοντες**, οὔτε πᾶσιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον [sc. οἱ ἀκμάζοντες] 90 a 31; ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσιν πρὸς τὸ θεῖόν

πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀπὸ τῆς τύχης 91 b 3 ; « εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν · ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ **ἐπίστευσεν** μὴ διήσουσιν » 98 a 2 ; τὰ γὰρ πράγματα δεῖ **πιστεύεσθαι** 17 b 32. — Voir ἀπιστεῖν.

πιστευτικός, ή, όν, confiant, crédule : καὶ [ἀδικοῦσιν] τοὺς μὴ εὐλαβεῖς, μηδὲ φυλακτικούς, ἀλλὰ **πιστευτικούς** · ῥᾴδιον γὰρ πάντας λαθεῖν 72 b 29.

πίστις (ἡ), persuasion, preuve, confirmation de la démonstration ; **πίστεις**, modes de persuasion, preuves : ἡ δὲ πίστις ἀπόδειξίς τίς [ἐστιν] 55 a 5 ; κἀκεῖνα δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος, ἥπερ ἦν δευτέρα πίστις 66 a 27 ; δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐκ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν · ἡ γὰρ πίστις διὰ τούτων 94 a 10 ; τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι, τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα, τὸ δὲ ἀπόδειξις 14 a 36 ; ἀναγκαῖα ἄρα μόρια πρόθεσις καὶ πίστις. Ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος 14 b 8-9 ; οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέγουσιν, ὅπερ ἐστὶ σῶμα τῆς **πίστεως** 54 a 15 ; γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν **πίστει** · ἠθικὸν γάρ 18 a 18 ; ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει **πίστιν** τὸ ἦθος 56 a 13 ; τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστίν, τὰ δὲ κύκλῳ εἰς πίστιν, οἷον εὐγένεια καὶ παιδεία 67 b 29 ; πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς συμβουλαῖς, εἶτα καὶ ἐν ταῖς δίκαις τὸ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα 77 b 25 ; αἱ γὰρ **πίστεις** ἔντεχνόν ἐστι μόνον, τὰ δ' ἄλλα προσθῆκαι 54 a 13 ; ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσίν, φανερὸν ὅτι ταύτας ἐστὶν λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι κ. τ. α. 56 a 21 ; ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτικαί, εἴρηται 58 a 1 ; ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ 66 a 9 ; δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίγνεται καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται περὶ αὐτῶν, εἴρηται 88 b 30 ; εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει, παράδειγμα καὶ ἐνθύμημα 93 a 24 ; ἐκ τίνων αἱ πίστεις ἔσονται 03 b 7 ; περὶ δὲ τῶν ἐντέχνων **πίστεων** οὐδὲν δεικνύουσιν, τοῦτο δ' ἐστὶν ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός 54 b 21 ; ἔστι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύμημα, καὶ ἔστι τοῦτο ὡς εἰπεῖν ἁπλῶς κυριώτατον τῶν πίστεων 55 a 7 ; τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοί εἰσιν, αἱ δ' ἔντεχνοι 55 b 35 ; τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων πίστεων τρία εἴδη ἐστίν 56 a 1 ; περὶ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων ἐχόμενόν ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν... εἰσὶν δὲ πέντε τὸν ἀριθμόν, νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος 75 a 22 ; περὶ μὲν οὖν τῶν ἀτέχνων πίστεων εἰρήσθω τοσαῦτα 77 b 12 ; λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπεί περ εἴρηται περὶ τῶν ἰδίων 93 a 23 ; περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων 03 b 9 ; τὰ γὰρ πρὸς τὸν ἀντίδικον τῶν πίστεών ἐστι, καὶ ἡ ἀντιπαραβολὴ αὔξησις τῶν αὐτοῦ, ὥστε μέρος τι τῶν πίστεων 14 b 10-11 ; τὰ δὲ πρὸς τὸν ἀντίδικον οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεων 18 b 6 ; περὶ μὲν οὖν πίστεων ταῦτα 18 b 23 ; ἐπεὶ δὲ φανερόν ἐστιν ὅτι ἡ μὲν ἔντεχνος μέθοδος περὶ τὰς **πίστεις** ἐστίν, ἡ δὲ πίστις ἀπόδειξίς τις 55 a 4-5 ; ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους 55 a 28 ; πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα, καὶ παρὰ ταῦτα οὐδέν 56 b 6 ; περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτων ληπτέον τὰς πίστεις 63 b 4 ; ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται 65 b 20 ; καὶ ἐκ τίνων δεῖ περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν... εἴρηται 66 a 18 ; ὅτι πολλὰ ἀνῄρηκεν ἢ ὑπερβέβηκεν, οἷον ὅρκους, δεξιάς, πίστεις, ἐπιγαμίας 75 a 10 ; καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις, ταῦτ' ἐστίν 77 b 18 ; ἐξ ὧν τὰς πίστεις φέρουσιν 91 b 24 ; δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι ὥσπερ

οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν 16 b 34 ; τὰς δὲ πίστεις δεῖ ἀποδεικτικὰς εἶναι 17 b 21 ; δεῖ δὲ καὶ ἐν συμβουλῇ καὶ ἐν δίκῃ ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον 18 b 8.

πιστός, ή, όν, digne de foi, plausible, croyable : ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὑτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν 77 b 23 ; μάρτυς γὰρ πιστὸς καὶ εἷς χρήσιμος 94 a 15 *var.* ; ἐπεὶ γὰρ τὸ πιθανὸν τινὶ πιθανόν ἐστι, καὶ τὸ μὲν εὐθὺς ὑπάρχει δι' αὑτὸ πιθανὸν καὶ **πιστόν**, τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων 56 b 29 ; αἱ δὲ βάσανοι μαρτυρίαι τινές εἰσιν, ἔχειν δὲ δοκοῦσι τὸ πιστόν, ὅτι ἀνάγκη τις πρόσεστιν 76 b 32 ; [... ὥστε οὐδέν ἐστι πιστὸν ἐν βασάνοις 77 a 7-8] ; ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν εἶναι τοῖς ἀκροωμένοις **πιστόν** 78 a 15 ; ἄτοπον γὰρ εἰ ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται **πιστοί** 16 a 28 ; ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι **πισταί** εἰσιν 76 b 5 ; διὸ ἢ πρὸς πάντα, ἢ τὰ μέγιστα... μαχεσάμενον οὕτω τὰ αὑτοῦ **πιστὰ** ποιητέον 18 b 19 ; τοῦ μὲν οὖν αὑτοὺς εἶναι **πιστοὺς** τοὺς λέγοντας τρία ἐστὶ τὰ αἴτια 78 a 6 ; περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ **πιστὰς** ποιεῖν ἢ ἀπίστους, ἐὰν μὲν αὐτῷ ὑπάρχῃ, πιστὰς καὶ κυρίας, ἐπὶ δὲ τοῦ ἀμφισβητοῦντος τοὐναντίον. Πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας 76 a 34-76 b 1-2 ; ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων, οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ **πιστότερα** ἢ ἐξ ὧν λέγουσιν 18 a 11 ; **πιστότατοι** 76 a 8 *var.* ; οἱ δ' ἄπωθεν [μάρτυρες] καὶ περὶ τοιούτων πιστότατοι. Πιστότατοι δ' οἱ παλαιοί · ἀδιάφθοροι γάρ 76 a 16*. — Voir ἀπίθανος, ἀπιστεῖν, ἄπιστος, πιθανός, πιστεύειν, πίστις.

πίστωμα (τὸ), preuve, ce qui fait foi, argument : **πιστώματα** δὲ περὶ μαρτυριῶν μάρτυρας μὲν μὴ ἔχοντι, ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν 76 a 17.

Πιτθεύς (ὁ), originaire du dème de Pitthée : οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου... · « δέονται οἱ νόμοι νόμου διορθώσοντος », κ. τ. α. 00 a 11.

Πιττακός (ὁ), Pittacos : οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν, ἀγνοοῦντες γὰρ ἁμαρτάνουσιν, ἔνστασις ὅτι οὔκουν ὁ Πιττακὸς αἰνετός · οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν ἐάν τις μεθύων ἁμαρτάνῃ 02 b 11 ; φιλοχρήματοι δὲ ἥκιστα [οἱ νέοι] διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι, ὥσπερ τὸ **Πιττακοῦ** ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον 89 a 15.

πλανᾶν, égarer, fourvoyer ; **πλανᾶσθαι**, errer, aller à l'aventure : τὸ γὰρ ἀόριστον **πλανᾷ** 15 a 14 ; καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ **πλανᾶται**, μοιχός · τοιοῦτοι γάρ 01 b 24 ; ἐχῖνον δὲ **πλανώμενον**, ὡς εἶδεν αὐτήν [sc. τὴν ἀλώπεκα] 93 b 26.

πλάτος (τὸ), largeur : μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν, τοσούτῳ μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν 61 b 19.

πλάττειν, façonner, feindre : καὶ τοὺς μὴ **πλαττομένους** πρὸς αὐτούς [φιλοῦσιν] 81 b 29 ; τὸ μὲν γὰρ [ἔμμετρον] ἀπίθανον · **πεπλάσθαι** γὰρ δοκεῖ, καὶ ἅμα καὶ ἐξίστησι 08 b 22. — Voir πεπλασμένως.

Πλάτων (ὁ), Platon : οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος ὃ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι 76 a 10 ; καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ **Πλάτωνος**, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα 06 b 32 ; ἢ ὥσπερ Ἀρίστιππος πρὸς **Πλάτωνα** ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο · « ἀλλὰ μὴν ὅ γ' ἑταῖρος ἡμῶν, ἔφη,

οὐθὲν τοιοῦτον », λέγων τὸν Σωκράτην 98 b 31. — Voir l'*Index des citations*.

πλεῖν, naviguer : « **πλεῦσαι** μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας » 10 a 10 (= Isocrate, *Panég.*, § 89).

πλεῖστος, η, ον, très nombreux, le plus nombreux, le plus considérable ; **τὰ πλεῖστα**, le plus, le plus souvent : « νέμων ἑκάστης ἡμέρας **πλεῖστον** μέρος » 71 b 33 (= Euripide, *Antiope*, *fr.* 183, Nauck p. 413) ; καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν ποιήσει καὶ ἐν λόγοις 05 a 4 ; τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ **οἱ πλεῖστοι** μὴ μετέχειν 84 a 9 ; μάλιστα μὲν εἰ πάντες καὶ ἀεί, εἰ δὲ μή, ἀλλ' οἵ γε πλεῖστοι, ἢ σοφοὶ ἢ πάντες ἢ οἱ πλεῖστοι, ἢ ἀγαθοὶ 98 b 23* ; περὶ δὲ τῶν ἔξω τοῦ πράγματος **τὰ πλεῖστα** πραγματεύονται 54 a 16 ; ἐξ ὧν τὰ ἐνθυμήματα λέγεται, τὰ μὲν ἀναγκαῖα ἔσται, τὰ δὲ πλεῖστα ὡς ἐπὶ τὸ πολύ 57 a 31 ; ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων 58 a 27 ; εὐτυχία δέ ἐστιν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα 62 a 1 ; καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι [οἱ νέοι] 89 a 20 ; οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις [sc. τοῖς νέοις] τὰ πλεῖστα ἔχουσιν ἤθη 89 b 15 ; 90 a 4 *var.* ; ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη 91 a 20 ; καὶ περιγράφοντα ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος 96 b 8 ; ἔστιν δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν 12 a 19 ; ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος 14 b 8 ; πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ Ὁμήρου ἔστιν 17 b 3 ; διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ **τῶν πλείστων** 61 b 6 ; ἄλλος [τόπος], ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει ὥστε ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν... 99 a 11 ; δῆλον εἶναι ἅπασιν ἢ **τοῖς πλείστοις** 96 a 2 ; καὶ ἐν **ταῖς πλείσταις** ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή 70 b 15 ; « ἐν πλείσταις δὲ φροντίσι καὶ ἐν ἐλαχίσταις ἐλπίσιν » 10 a 33. — Voir πλείων, πολύς.

πλείων, ων, ον, plus nombreux, plus abondant ; **πλείω**, davantage (cf. μᾶλλον) : ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα 14 a 9 ; οὐδὲν γὰρ **πλέον** 57 a 7 ; καὶ μεῖζον μὲν ἀεὶ καὶ **πλεῖον** πρὸς ἔλαττον 63 b 9 ; πλέον γὰρ ἐξέστηκεν περὶ ἃ καὶ περὶ οὓς ὁ λόγος 04 b 13 ; ἐναντία ὑπομονὴ ἀκολούθησις, ἱκανὸν πλεῖον 10 a 5 ; ἐπεὶ τό γε δίκαιον **μηδὲν πλείω** ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 4 ; « τοῖς μὲν γὰρ **πλείω** [χώραν] τῆς οἴκοι προσεκτήσαντο, τοῖς δ' ἱκανὴν τὴν οἴκοι κατέλιπον » 10 a 3 (= Isocrate, *Panég.*, § 35) ; καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ **οἱ πλείους** ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν 64 b 12 ; καὶ ὃ [αἱροῦνται] οἱ πλείους [αἱρετώτερον] ἢ οἱ ἐλάττους 64 b 38 ; ἢ ἂν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω 83 a 24 ; ἅμα δὲ καὶ οἱ ἄνθρωποι πρὸς τὸ ἀληθὲς πεφύκασιν ἱκανῶς καὶ τὰ **πλείω** τυγχάνουσι τῆς ἀληθείας 55 a 16 ; πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων 59 b 7 ; σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες 60 b 18 ; ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων... μεῖζον ἀγαθὸν εἶναι 63 b 18 ; πλείω γὰρ ἑνὸς [κρεῖττον] 65 b 12 ; πλείω γὰρ ἀδικεῖ 75 a 14 ; καὶ ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν 83 a 35 ; διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι καὶ πλείω ἐξηπατῆσθαι καὶ ἐξημαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδὲν [οἱ πρεσβύτεροι] 89 b 16* ; τὰ γὰρ πλείω τῶν γιγνομένων φαῦλά ἐστιν 90 a 4 ; ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχῃ τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον

δεικνύναι 96 b 9 ; εἰ γὰρ τὰ πλείω καὶ πλεονάκις οὕτως, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον 03 a 1 ; ἐάν τε γὰρ ἔχωμεν ἕν τι οὐχ οὕτω, λέλυται, ὅτι οὐκ ἀναγκαῖον, εἰ καὶ τὰ πλείω ἢ πλεονάκις ἄλλως · ἐάν τε καὶ τὰ πλείω καὶ τὰ πλεονάκις οὕτω, μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει 03 a 7-8 ; τὰ δὲ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς 08 b 11 ; ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται 12 b 31 ; μᾶλλον δὲ σαφὲς ἔσται τὸ λεγόμενον διὰ **πλειόνων** ῥηθέν 58 a 10 ; καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται, πλειόνων γὰρ ὑπερέχειν φαίνεται 65 a 11 ; τὰ δὲ [ἐνθυμήματα] διὰ τοῦ ὁμοίου, ἢ ἕνος ἢ πλειόνων 02 b 17 ; ἐπειδὴ τὸ αὐτὸ ἐνδέχεται πλειόνων ἕνεκα πραχθῆναι 16 b 10 ; ἐὰν γάρ τινες ἔχωσιν μοχθηρίαν ἢ μίαν ἢ **πλείους**, περὶ δὲ τοῦτο ὁ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν 68 b 15. — Voir πλεῖστος, πολύς.

πλέον, davantage : 57 a 7 ; 04 b 13. — Voir πλείων.

πλεονάκις, plus souvent, un plus grand nombre de fois : εἰ γὰρ τὰ πλείω καὶ πλεονάκις οὕτως, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον 03 b 1 ; ἐάν τε γὰρ ἔχωμεν ἕν τι οὐχ οὕτω, λέλυται, ὅτι οὐκ ἀναγκαῖον, εἰ καὶ τὰ πλείω ἢ πλεονάκις ἄλλως · ἐάν τε καὶ τὰ πλείω καὶ τὰ πλεονάκις οὕτω, μαχετέον ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει 03 a 7-8.

πλεονεκτεῖν, avoir plus, être en état de supériorité : καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι ἢ ἀνόμοιαι · ἔστιν γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττοῦσθαι 60 a 3 ; καὶ ἔτι εἰς εὐτεχνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν 91 a 33 ; διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν 02 b 25 ; γνώμας ποιεῖν ἐνίοτε, οἷον · « χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας · οὕτω γὰρ ἂν μέγιστα **πλεονεκτοῖεν** » 18 b 36.

πλεονεκτικός, ή, όν, avantageux, qui augmente la fortune : ἐνθυμηματικῶς δέ · « εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ **πλεονεκτικώταται** αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι » 18 b 37.

πληγή (ἡ), coup : ὁ δὲ [δυνάμενος] ὦσαι τῇ **πληγῇ** πυκτικός 61 b 25.

πλῆθος (τὸ), quantité, abondance, grand nombre : ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων 60 a 7 ; πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις καὶ ἀνδραπόδων καὶ βοσκημάτων πλήθει κάλλει διαφερόντων 61 a 12-13-14 ; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν 83 b 1 ; **πλήθει** 61 a 13 & 14 (*supra*) ; τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου 63 a 24.

πληκτικός, ή, όν, expert dans l'art de frapper, batailleur : ὁ δὲ [δυνάμενος] ὦσαι τῇ πληγῇ πληκτικός 61 b 25 *var.*.

πλήν, sauf, si ce n'est : οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν 54 b 20 ; ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξαι ὅτι οὕτως ἔχει ὥς φησιν ὁ συμβουλεύων 54 b 30 ; τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς 55 b 4 ; πλὴν ἐνταῦθα μὲν ἔσται ὁ μὲν κατὰ τὴν ἐπιστήμην, ὁ δὲ κατὰ τὴν προαίρεσιν ῥήτωρ 55 b 18 ; δι' ἀμφότερα γὰρ ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσιν 72 b 7 ; τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις 94 a 13 ; ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον 17 a 36.

Πλήξιππος (ὁ), Plexippos : ὥσπερ ὁ 'Αντίφωντος Πλήξιππος τῷ Μελεάγρῳ 79 b 15.

πλήρης, ης, ες, plein, comblé, rassasié : ὅτι οὗτοι μὲν φάναι ἤδη μου **πλήρεις** εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα 93 b 29 (Ésope).

πληροῦν, remplir : καὶ ὡς Ἀλκιδάμας · « μένους μὲν τὴν ψυχὴν **πληρουμένην**, πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην » 06 a 1.

πλήρωσις (ἡ), accomplissement (d'un devoir) : πρᾶοί εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημερίᾳ, ἐν κατορθώσει, ἐν **πληρώσει** 80 b 4.

πλησιασμός (ὁ), approche : τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός 82 a 32.

πλησίον (adv.), près, auprès : **ὁ, οἱ πλησίον**, le voisin, les proches : εἰ τοῦ πλησίον ἔτυχεν τὸ βέλος, τούτου δὲ μή 62 a 9 ; ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι 68 b 31 ; καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶν τοὺς πλησίον 71 b 4 ; ἐπὶ ταὐτὸ γὰρ ἀμφότεροι σπεύδουσι τῷ πλησίον 81 a 34 ; καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὑτῶν, ἀλλὰ τἀγαθά 81 b 7 ; ἢ ἂν πλησίον ὦσιν οἱ τοιοῦτοι 84 b 35 ; καὶ τοῦτο ὅταν πλησίον φαίνηται 85 b 15 ; τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον 86 b 20 ; ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον 88 a 37 ; καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν 88 b 13 ; τὸ δ' ὅτι τοὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα 97 b 17 ; τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον 97 b 21.

πλήττειν, frapper : ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ **πληγῆναι** προκαλέσαιτο 77 a 21. — Voir πατάσσειν, τύπτειν.

πλοῖον (τὸ), navire, bateau : καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ τριήρη, καὶ εἰ τριήρη, καὶ πλοῖον 92 b 2-3 ; καὶ ὁ Δημοσθένης εἰς τὸν δῆμον [λέγει], ὅτι ὅμοιός ἐστιν τοῖς ἐν τοῖς **πλοίοις** ναυτιῶσιν 07 a 7. — Voir ναῦς, τριήρης.

πλούσιος, α, ον, riche : οἷον ἐν χρήμασιν ὁ πλούσιος πένητος [ὑπερέχει] καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν 79 a 2 ; « ἀτὰρ καὶ ὑμᾶς, ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει, πλούσιος γάρ ἐστιν... » 93 b 32 (Ésope) ; ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον **πλούσιον** ἢ σοφόν · πλούσιον εἰπεῖν · « τοὺς σοφοὺς γάρ, ἔφη, ἔστιν ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας » 91 a 9-10*-11 ; μάλιστα ἀζήμιοι... καὶ οἱ ἔμπειροι πολλῶν ἀγώνων, κἂν πολύφιλοι ὦσιν, κἂν **πλούσιοι** 72 a 14 ; διχῶς δέ εἰσιν ἐνδεεῖς · ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες, ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ πλούσιοι 72 b 21 ; διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί · ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες 78 b 28 ; **πλουσίων** 91 a 9 & 11 (*supra*) ; φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέστεροί εἰσιν τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν 91 a 23 ; ἀλλὰ συμβέβηκε... τοῖς δὲ **πλουσίοις** διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν 69 a 13 ; καὶ γάμοι διαφέροντες οὐ τοῖς νεωστὶ πλουσίοις ἀλλὰ τοῖς εὐγενέσιν 87 a 29 ; οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες **πλουσιώτεροι** γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων 59 b 29. — Voir ἀρχαιόπλουτος, νεόπλουτος.

πλουτεῖν, s'enrichir, être riche : ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι 61 a 23 ; διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τῷ δοκεῖν 65 b 15 ; οἷον πλουτεῖν δοκῶν ἑαυτῷ ἢ πένεσθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν 69 a 29 ; μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ **πλουτοῦντες** τῶν πάλαι καὶ διὰ γένος 87 a 19 ; τοῖς νεωστὶ **πλουτοῦσιν** 87 a 29 *var.*

πλοῦτος (ὁ), richesse : ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι · καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιούτων καὶ ἡ χρῆσις πλοῦ-

τος 61 a 24 ; πλοῦτος [ἀγαθόν] · ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν 62 b 18 ; διὸ ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα [ἀγαθὰ] δοκεῖ εἶναι · ἅπαντα γὰρ ἔχει ταῦτα 65 b 10 ; ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλοῦτος 66 a 5 ; ποιεῖ δὲ τοιούτους [ὑβριστὰς καὶ ὀλιγώρους καὶ θρασεῖς] πλοῦτος, ἰσχύς, πολυφιλία, δύναμις 83 a 2 ; ἔστι δὲ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα 88 b 5 ; καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας 88 b 14 ; ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας τῶν ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ 91 a 1 ; τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος, ὑγιείας, **πλούτου**, στρατηγίας 55 b 6 ; πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις κ. τ. α. 61 a 12 ; ὑβρισταὶ καὶ ὑπερήφανοι [οἱ πλούσιοι], πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 34 ; ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι 91 a 17 ; καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ **πλούτῳ** ἢ ἄλλῳ τῳ τῶν τιμωμένων 60 b 36 ; ἀλλὰ [νεμεσήσει] ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις 87 a 13 ; τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἔστιν ἰδεῖν ἅπασιν · ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 32-34 ; τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει δύναμις τῷ πλούτῳ, τὰ δὲ βελτίω 91 a 21 ; εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη εὐγένειαν, πολυφιλίαν, χρηστοφιλίαν, **πλοῦτον**, εὐτεκνίαν, πολυτεκνίαν, εὐγηρίαν, κ. τ. α. 60 b 20 ; εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ὅσα αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ τότε 61 a 31 ; οὐδὲ διὰ πλοῦτον καὶ πενίαν [πράττουσιν], ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων, τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν · ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ διὰ τὴν ἐπιθυμίαν 69 a 11-15 ; καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι 87 a 23 ; τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν 89 a 1.

πλωτήρ (ὁ), navigateur, marin : ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη... ἢ τῶν **πλωτήρων** ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς οὐ δέον τὸν ἐπιστάμενον ἀλλὰ τὸν λαχόντα 93 b 7.

πνευστιᾶν, avoir la respiration haletante : λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ · ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν 57 b 21. — Voir ἀναπνεῖν.

πνῖγμα (τὸ), étouffement, suffocation (garrot) : καὶ Κηφισόδοτος... ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἄγχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι 11 a 8.

πόθεν, d'où, de quelle source : διορίσωμεν πόθεν δεῖ πρὸς τὰ ἐνθυμήματα φέρειν 97 a 5 ; εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα πόθεν δεῖ πορίζεσθαι 03 b 13 ; πόθεν λέγεται τὰ ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον 10 b 6 ; πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται 15 b 25 ; εἴρηνται οἱ τόποι πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους 19 b 18.

ποιεῖν, faire, fabriquer, composer, rendre (tel ou tel) ; **εὖ ποιεῖν**, faire du bien à qqn. ; **κακῶς ποιεῖν**, faire du mal à qqn. : δεῖ ὡς ἐλαχίστων ποιεῖν κύριον τὸν κριτήν 54 b 12 ; τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας 58 b 11 ; ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολὴν 61 b 20 ; διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι · τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέσθαι 65 b 3-4 ; ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιστον

δυνησόμεθα ποιεῖν πρὸς ἀρετὴν 66 a 28 ; οὐ γάρ ἐστιν κομῶντα ῥᾴδιον οὐδὲν ποιεῖν ἔργον θητικόν 67 a 30 ; ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν 67 b 7 ; φαῦλα ποιεῖν παρὰ τὸν νόμον 68 b 13 ; καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων · τὸ μὲν γὰρ εὖ πάσχειν τυγχάνειν ὧν ἐπιθυμοῦσι, τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται 71 a 34-71 b 1 ; δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν 73 a 27 ; αὔξειν ἢ καθαιρεῖν [τὰς συνθήκας] ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους 76 a 34 ; ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν 79 a 15 ; ταὐτὰ γὰρ ἂν ποιεῖν 79 b 6 ; ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ 81 a 13 ; καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν 82 a 17 ; τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι · δῆλον γὰρ ὅτι βούλονται, ὥστε ἐγγύς εἰσιν τοῦ ποιεῖν 82 a 32-33 ; ἀφαιρεῖσθαι... τὴν χάριν καὶ ποιεῖν ἀχαρίστους 85 a 35 ; ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα 87 a 4 ; οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν 88 b 17 ; καὶ οἷοι ποιεῖν ἃ ἂν ἐπιθυμήσωσιν [οἱ νέοι] 89 a 3 ; ἔτι δὲ ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν 91 b 26 ; καὶ εἰ ἔμελλε γίγνεσθαι καὶ ποιεῖν · εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι 92 b 25-26 ; ταῦτα καὶ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει ἔσται 93 a 4 ; ἓν μὲν γάρ ἐστιν... τὸ λέγειν..., ἓν δὲ τὸ αὐτὸν ποιεῖν 93 a 30 ; καθόλου δὲ ἄτοπός ἐστιν, ὅταν τις ἐπιτιμᾷ ἄλλοις ἃ αὐτὸς ποιεῖ ἢ ποιήσειεν ἄν, ἢ προτρέπῃ ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν 98 a 14*-15** ; καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προσταττόμενον 99 b 13 ; ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν 01 a 28 ; καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἐστίν 02 a 24 ; τὸ μὲν οὖν ἀντισυλλογίζεσται δῆλον ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν 02 a 33 ; διὸ δεῖ ποιεῖν ξένην τὴν διάλεκτον 04 b 10 ; τὸ εἰρημένον ἐστὶ ποιεῖν 05 a 19 ; καὶ οἰκειότερον, τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 12 ; καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν, ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν, ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, ἐποίησε 05 b 24-25-26 ; καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν 07 b 32-33 ; ποιεῖν μὲν οὖν [τὰ ἀστεῖα] ἐστὶ τοῦ εὐφυοῦς ἢ τοῦ γεγυμνασμένου, δεῖξαι δὲ τῆς μεθόδου ταύτης 10 b 7 ; ὅτι μὲν οὖν τὰ ἀστεῖα... λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται 11 b 23 ; λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν, ὅσα ἐνεργοῦντα σημαίνει 11 b 25 ; καὶ ὡς κέχρηται πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς · ἐν πᾶσι δὲ τῷ ἐνέργειαν ποιεῖν εὐδοκιμεῖ 11 b 32-33 ; τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος 14 a 2 ; οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν [τὸν ἀκροατήν] 15 a 37 ; ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ 15 b 9 ; πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται 15 b 25 ; ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατὴν 15 b 29 ; ἢ παθητικὸν ποιεῖν [τὸν λόγον] 18 a 29 ; δεῖ οὖν ἀποροῦντα τοῦτο ποιεῖν ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι 18 a 30* ; δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ 18 b 17 ; εἰς δὲ τὸ ἦθος... ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ 18 b 26* ; δεῖ δὲ καὶ μεταβάλλειν τὰ ἐνθυμήματα καὶ γνώμας ποιεῖν ἐνίοτε, οἷον · « χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας » 18 b 34-35 ; τοῦτο δὲ ἁρμόττει ποιεῖν οὕτως ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις 19 b 28 ; τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ **ποιεῖ** ὑγίειαν 62 a 34 ; καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ 65 b 14 ; καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων 69 a 28 ; οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ 70 a 14 ; τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως 71 a 27 ; πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ 75 a 15 ; οὐ νόμος [ἐστὶν] ὁ γεγραμμένος · οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου 75 b 4 ; ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν · οὗτοι δ' εἰσὶν οὓς εὖ πεποίηκεν ἢ ποιεῖ 79 a 9* ; ποιεῖ δὲ τοιούτους πλοῦτος, ἰσχύς, πολυφιλία, δύναμις 83 a 2 ; ὁ γὰρ φόβος βουλευτικοὺς ποιεῖ 83 a 7 ;

ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν, ὥστε ἃ μὴ ποιεῖ, δῆλον ὅτι νεμεσᾷ 84 b 4-5 ; ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον 86 b 6 ; ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ 86 b 29 ; ὥστε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον 88 a 20 ; θυμώδεις γὰρ καὶ εὐέλπιδες [οἱ νέοι], ὧν τὸ μὲν μὴ φοβεῖσθαι, τὸ δὲ θαρρεῖν ποιεῖ 89 a 26 ; καὶ σεμνότεροι ἢ βαρύτεροι [οἱ δυνάμενοι] · ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα 91 a 26 ; ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους [τὸ γνωμολογεῖν] 95 b 13 ; 98 a 14-15 (*supra*) ; ποιεῖ γὰρ φαίνεσθαι [ἡ δείνωσις] ἢ ὡς οὐ πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων αὔξῃ, ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται 01 b 5-6* ; οὐ προστιθέμενα ποιεῖ τὴν συκοφαντίαν 02 a 16 ; ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ 02 b 5 ; τῶν δ' ὀνομάτων καὶ ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια 04 b 6 ; τὸ γὰρ ἐξαλλάξαι ποιεῖ φαίνεσθαι σεμνοτέραν [τὴν λέξιν] 04 b 8 ; ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο 04 b 12 ; ὅπερ Εὐριπίδης ποιεῖ καὶ ὑπέδειξε πρῶτος 04 b 25 ; ἔστι δὲ ὁ ὑποκορισμὸς ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν 05 b 29 ; τὰ μὲν [ἐπίθετα] ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ καταχορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησίς ἐστιν, ἐπεὶ δεῖ γε χρῆσθαι αὐτοῖς, ἐξαλλάττει γὰρ τὸ εἰωθὸς καὶ ξενικὴν ποιεῖ τὴν λέξιν. Ἀλλὰ δεῖ στοχάζεσθαι τοῦ μετρίου, ἐπεὶ μεῖζον ποιεῖ κακὸν τοῦ εἰκῇ λέγειν 06 a 14-15-16 ; ἔτι τάδε ποιεῖ σολοικίζειν, τὸ μὴ ἀποδιδόναι 07 b 18 ; ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ 08 a 2 ; εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν 08 a 14 ; δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα 08 b 4 ; οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ Πανηγυρικῷ 08 b 15 ; προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει 08 b 23 ; οὗτος δὲ τελευτὴν ποιεῖ · ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι ποιεῖ κολοβόν 09 a 18-19 ; τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν 09 b 19 ; τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ 09 b 22 ; ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον 10 a 20 ; ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα 10 b 12 ; ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα 10 b 13 ; ἀστεῖα ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν 10 b 21 ; οὐδὲν γὰρ ποιεῖ πάσχειν 10 b 33 ; ἔτι εἰ πρὸ ὀμμάτων ποιεῖ 10 b 34 ; καὶ τὸ « διὰ μέσου » πρὸ ὀμμάτων ποιεῖ 11 b 4 ; ποιεῖ δὲ καὶ ἐν ταῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων ταὐτά 12 a 7 ; κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια κίνησις 12 a 10 ; τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν 12 a 33 ; ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά 13 b 23 ; οἷον Λικύμνιος ποιεῖ ἐν τῇ Τέχνῃ 14 b 17 ; ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ 15 a 15 ; ὅτι ἄλλας κρίσεις ποιεῖ 16 a 37 ; ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ 17 a 17 ; ὥσπερ Σοφοκλῆς ποιεῖ 17 a 29 ; ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον 17 b 16 ; οἷον Ἰσοκράτης ποιεῖ 18 a 34 ; ἢ τὰ καὶ τὰ ποιεῖ ἢ τοιόνδε ἐστίν 18 a 37 ; ὅτι ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται 18 b 2 ; 18 b 26 (*supra*) ; ποιεῖ γὰρ [Ἀρχίλοχος] τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρός 18 b 28 ; ὁ μὲν γὰρ αὑτοῦ ἕνεκα ποιεῖ τὸ γελοῖον, ὁ δὲ βωμολόχος ἑτέρου 19 b 9 ; **ποιεῖσθε** 99 b 2 (*infra*) ; ἡ δὲ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ μόναι τοῦτο **ποιοῦσιν** [sc. τὸ τἀναντία συλλογίζεσθαι] 55 a 35 ; ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες καὶ οἱ κοινῇ δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν 58 b 10 ; καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα 65 a 21 ; ἑκόντες δὲ ποιοῦσιν ὅσα εἰδότες καὶ μὴ ἀναγκαζόμενοι 68 b 10 ; ἔθει δὲ ὅ τι διὰ τὸ πολλάκις πεποιηκέναι ποιοῦσιν 69 b 7* ; πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν 69 b 18 ; ὅπερ ποιοῦσιν οἱ ψευδομαρτυροῦντες 75 a 12 ; καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον 76 b 8 ; πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσιν 85 a 8* ; ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι πρὸ ὀμμάτων ποιοῦντες 86 a 34* ; οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες 91 b 10 ; ὡς γὰρ ἐπὶ

τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν 92 b 23 ; αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν 95 b 14 ; καὶ χρηστοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα 95 b 17 ; ὅπερ ποιοῦσιν ὅταν μηθὲν μὲν ἔχωσι λέγειν 07 a 33 ; 07 b 33 (*supra*) ; καὶ τίνες εὔρυθμον ποιοῦσι ῥυθμοὶ καὶ πῶς ἔχοντες, εἴρηται 09 a 23 ; ποιοῦσιν μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό 10 b 15 ; ὅπερ πάντες ποιοῦσιν 14 b 26 ; ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων 18 a 10 ; καὶ ἢ ἀφανίζουσιν ἢ ἀσθενεῖς ποιοῦσιν 18 a 15 ; 18 a 30 (*supra*) ; καὶ εὐθὺς εἴσαγε καὶ σεαυτὸν ποιόν τινα, ἵνα ὡς τοιοῦτον θεωρῶσιν, καὶ τὸν ἀντίδικον · λανθάνων δὲ **ποίει** 17 b 8 ; καὶ ὅταν πάθος **ποιῇς**, μὴ λέγε ἐνθύμημα 18 a 12 ; ὥστε δῆλον ὡς ἂν εὖ **ποιῇ** τις, ἔσται τε ξενικόν 04 b 35 ; ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν 19 a 25 ; ὅταν περὶ ἐπαίνου **ποιώμεθα** τὸν λόγον, τότε διοριστέον 62 a 14 ; τοῖς δὲ φίλοις [ὀργίζονται], ἐάν τε μὴ εὖ λέγωσιν ἢ **ποιῶσιν** 79 b 13 ; ἐὰν δὲ τὸ μὲν τὸ δὲ μή, λανθάνει **ποιῶν** τὸ αὐτό 08 b 9 ; ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο 14 b 11 ; ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ **ποιοῦντος**, ἵνα ἀποπληρωθῇ 69 b 13 ; « ἄξιόν γ' ἀποθανεῖν... μὴ **ποιοῦντα** θανάτου ἄξια » 12 b 21 ; τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ λέγοντες καὶ **ποιοῦντες** καὶ μέλλοντες 67 a 8 ; καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν 70 b 20 ; καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρὰ [αἰσχύνονται], ἀλλὰ καὶ λέγοντες 84 b 19 ; 86 a 34 (*supra*) ; οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον 04 a 30 ; καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες ἀφείκασιν 04 a 35 ; τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος **ποιοῦντα**, δεῖ πράττειν, τὰ δὲ φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα μὴ πράττειν 60 b 12-13 ; οὐ ποιοῦντα τὸ αὑτῶν ἔργον φαίνεται εὐήθη 13 b 18 ; ἀνάγκη δὲ τοιαῦτα εἶναι ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα τοῖς **ποιοῦσιν** 79 a 35 ; καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς [ὀργίζονται], ἐὰν ἧττους ὦσιν 79 b 8 ; φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν ἢ ἀκουσίως ποιοῦσιν ἢ φαινομένοις τοιούτοις πρᾶοί εἰσιν 80 a 11* ; λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο 11 b 24 ; διὸ δεῖ λανθάνειν **ποιοῦντας**, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως 04 b 18 ; « δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται **ἐποίουν** » 16 a 20 ; ὅπερ ὁ Ἰσοκράτης **ἐποίει** διὰ τὴν ἀσυνήθειαν τοῦ δικολογεῖν 68 a 20 ; ὥσπερ Γοργίας ἐποίει 08 b 20 ; οἷον καὶ Ἐπίχαρμος ἐποίει 10 b 4 ; οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει 13 b 25 ; « καὶ τί ἂν ἐποίει, εἰ τάδε ἔδειξεν, ἀλλὰ μὴ ταδί ; » 20 a 3 ; ἔσται οὖν, ἄν τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ **ἐποίουν** οἱ περὶ Θεόδωρον 14 b 13 ; καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν · εἰ δὲ μή, **ποιήσεις** ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων 18 a 10* ; κακεῖνα μὲν [sc. τὰ κοινά] οὐ **ποιήσει** περὶ οὐδὲν γένος ἔμφρονα 58 a 21 ; ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ 04 a 13 ; ὁ λόγος, ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον 04 b 3 ; ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος 08 a 31 ; τὸ δὲ ἡδεῖαν εἶναι [τὴν λέξιν] ποιήσει δηλονότι τὰ εἰρημένα 14 a 22 ; καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει 14 a 27 ; ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι ἢ βεβλαφέναι ἢ ἠδικηκέναι 17 a 1 ; « πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στράβακα καὶ Χαρίδημον, διὰ τὴν ἐπιείκειαν · φυγάδας δ' οὐ **ποιήσετε** τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους ; » 99 b 2-3 ; καὶ [ἀδικοῦσι] τοὺς ἢ πεποιηκότας κακῶς ἢ βουληθέντας ἢ βουλομένους ἢ **ποιήσοντας** 73 a 13-14 ; οὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ **ποιῆσαι**, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν 55 b 12 ; ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα 56 a 6 ; ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι 81 b 35-36 ; καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι 82 b 3 ; εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι 92 b 26 ; ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἄν τις δύνηται

τὸ ὅμοιον ὁρᾶν 94 a 4 ; εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι 97 a 24-25 ; εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι 97 b 1* ; 97 b 35 *infra*) ; ἐνδέχεται γὰρ τούτου ἕνεκα ποιῆσαι 99 b 32 ; ὅσα περὶ διαβολὴν λῦσαι καὶ ποιῆσαι 15 a 29 ; τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι καὶ ἐκ τοῦ ὀργίσαι 15 a 35 ; ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγεν καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν 16 a 11 ; καὶ οὐ τοῦτο ὃ διεβάλλετο ποιῆσαι, συνέβη δὲ βλαβῆναι 16 a 19 ; ὅσα ὑπὲρ τῆς πατρίδος τις **ἐποίησεν** παριδὼν τὸ αὑτοῦ 66 b 37 ; ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ 70 b 11 ; οἷον Κάλλιππος ἐποίησεν τὰ περὶ Δίωνα 73 a 19 ; καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν 74 b 18 ; οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων 75 b 33 ; καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν 84 a 3 ; τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα [ἡ Μήδεια], εἴπερ καὶ θάτερον ἐποίησεν 00 b 15-16 ; τοῦτο δ' ἐστὶν ὅταν, μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα 01 b 5 ; παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου 01 b 8* ; 05 b 26 (*supra*) ; ὄρνιθι μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν 06 b 18 ; ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους 10 b 14 ; ὡς ἀσεβὴς [ὁ Εὐριπίδης], ὅς γ' ἐποίησε κελεύων ἐπιορκεῖν 16 a 30 ; οἷον ἐποίησε Καλλίστρατος ἐν τῇ Μεσσηνιακῇ ἐκκλησίᾳ 18 b 10 ; κα τοῖς τἀναντία ὧν **ἐποίησαν** βουλομένοις [πρᾶοί εἰσιν] 80 a 12 ; καὶ Λακεδαιμόνιοι Χίλωνα καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες 98 b 15 ; τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν 14 b 35 ; « εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν **ποιήσω**, ἔδοτε ἄν · ποιήσαντι δ' ἆρ' οὐ δώσετε ; » 97 b 35-36* ; καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ **ποιήσῃ** ἐνθουσιάσαι 08 b 14 ; οὕτω καὶ περὶ τούτων **ποιήσωμεν** καὶ διέλωμεν τὸν εἰρημένον τρόπον 78 a 28 ; οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα **ποιήσωσιν** 54 b 20 ; καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευεν μὴ πολλὰς ποιήσωσιν τὰς συνδρομάς 11 a 29 ; ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον **ποιήσειε** στρεβλόν 54 a 26 ; ποιεῖ ἢ ποιήσειεν ἄν, ... μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν 98 a 14*-15* (*supra*) ; ταῦτα δὲ ὅσῳ τις ἂν βελτίω ἐκλέγηται, λήσει **ποιήσας** ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς 58 a 24 ; ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι 74 b 35 ; καὶ ὁ ποιήσας ποιῆσαι 97 b 1* (*supra*) ; τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ **ποιήσασα** [ἡ Μήδεια] 00 b 15 (*supra*) ; διὸ λελοιδορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου **ποιήσαντος** 63 a 15 ; οἷον τὸ χάριν ἔχειν τῷ **ποιήσαντι** εὖ καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα 74 a 23-24 ; καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι 97 a 28 ; « ποιήσαντι δ' ἆρ' οὐ δώσετε ; » 97 b 36 (*supra*) ; « ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίστη » 09 b 19 (Démocrite de Chios) ; **ποιήσαντα** 74 a 24 (*supra*) ; 81 b 36 (*supra*) ; ὃ ἔσκωψεν Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς 09 b 27 ; καὶ πρὸς οὓς ἔχουσιν πρόφασιν ἢ προγόνων ἢ αὑτῶν ἢ φίλων ἢ **ποιησάντων** κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγόνους ἢ ὧν κήδονται 73 a 1 ; καὶ τοῖς δι' ὀργὴν **ποιήσασιν** ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται 80 a 34 ; καὶ περὶ τοὺς εὖ **ποιήσαντας** · δίκαιον γὰρ 67 a 5 ; διὰ τὸ πολλάκις **πεποιηκέναι** 69 b 7 (*supra*) ; τὸ πεπονθέναι... καὶ τὸ πεποιηκέναι 97 a 25 (*supra*) ; ὥσπερ καὶ Σαπφὼ **πεποίηκεν** 67 a 9 ; οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ μάλιστα πεποίηκεν 68 a 11 ; καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων πεποίηκεν 75 a 3 ; καὶ ὅτι αὐτὸν ἢ τῶν αὐτοῦ τι πεποίηκεν ἢ ἤμελλεν 78 b 1 ; οὓς εὖ πεποίηκεν ἢ ποιεῖ 79 a 9* (*supra*) ; ἢ ὡς οὐ πεποίηκεν... ἢ ὡς πεποίηκεν 01 b 6* (*supra*) ; καὶ μνήμην πεποίηκεν 14 a 6 (*infra*) ; ὥστε οἱ συνειδότες **πεποιηκότι** δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν 82 b 6 ; ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ **πεποιηκότες** εὖ ἢ πεπονθότες 83 a 23 ; ἢ **πεποιηκότας** κακῶς... ἢ ποιήσοντας 73 a 13 & 14 (*su-*

pra) ; καὶ τοὺς πεποιηκότας εὖ φιλοῦσιν ἢ αὐτοὺς ἢ ὧν κήδονται 81 a 11 ; ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν **ποιεῖσθαι** τὰς πίστεις καὶ τοὺς λόγους 55 a 27 ; ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς 68 b 2 ; οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα 76 a 4 ; τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχροῦ 05 b 21 ; περὶ δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι μάλιστα μὲν ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ 18 b 40 ; τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ **ποιεῖται** τὴν κρίσιν 78 a 1 ; ἀναιρεῖν τὰ ἐναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται 91 b 14 ; πάντες γὰρ τὰς πίστεις **ποιοῦνται** διὰ τοῦ δεικνύναι 56 b 6 ; ὅταν περὶ ἐπαίνου **ποιώμεθα** τὸν λόγον 62 a 14 ; καὶ εἰς ὃν πρῶτον ἐγκώμιον **ἐποιήθη** 68 a 17 ; ἅπαξ μνησθείς, διὰ τὸν παραλογισμόν, καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον **ποιησάμενος** 14 a 6-7 ; διὸ ὀρθῶς **πεποίηται** 80 b 22 ; ὁ 'Αλκίνου ἀπόλογος, ὅτε πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσιν πεποίηται 17 a 15 ; ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς **πεποιημένοις** παύονται τῆς ὀργῆς 80 a 16 ; ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις 80 b 33 ; γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον 04 b 29. — Voir ἀντευποιεῖν, ἀντιποιεῖν, δρᾶν, ἐμποιεῖν, πράττειν, προσποιεῖσθαι.

ποίημα (τὸ), poème, poésie : τοῦτο δ' ἅμα καὶ διπλοῦν καὶ ἐπίθετον, ὥστε ποίημα γίνεται 06 a 31 ; διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή · ποίημα γὰρ ἔσται 08 b 30.

ποίησις (ἡ), poésie, création poétique : ἐν δὲ λόγῳ, τὰ μὲν [ἐπίθετα] ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ κατακορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησίς ἐστιν 06 a 14 ; διὸ καὶ τῇ ποιήσει ἥρμοσεν [sc. τὰ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα καὶ τὰ ξένα] · ἔνθεον γὰρ ἡ ποίησις 08 b 19* ; ἑτέρα λόγου καὶ **ποιήσεως** λέξις ἐστίν 04 a 29 ; τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ Ποιήσεως 04 b 28 ; καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν **ποιήσει** καὶ ἐν λόγοις, εἴρηται... ἐν τοῖς περὶ Ποιητικῆς 05 a 4 ; « οὐδὲν τοιοῦτον ἄθυρμα τῇ ποιήσει προσφέρων » 06 a 9 & 06 b 14 (Alcidamas) ; ἐν μὲν γὰρ ποιήσει πρέπει « γάλα λευκὸν » εἰπεῖν 06 a 12 ; οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει λέγουσι ταῦτα 07 a 35 ; 08 b 19 (*supra*) ; τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον 14 b 20 ; οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις « κραυγὴν Καλλιόπης » τὴν **ποίησιν** 05 a 33.

ποιητέον, il faut faire : ὥστε διωρισμένον ἂν εἴη πῶς τε καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον 91 b 21 ; ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον 04 a 3 ; διὸ ἢ πρὸς πάντα... ἢ τὰ εὐέλεγκτα μαχεσάμενον οὕτω τὰ αὑτοῦ πιστὰ ποιητέον 18 b 19.

ποιητής (ὁ), poète, créateur de poésie ; **ὁ Ποιητής**, le Poète, Homère : ὅθεν καὶ ὁ Ποιητής φησι πεῖσαι τὸν Μελέαγρον ἀναστῆναι 65 a 11 ; ὅθεν καὶ ὁ Ποιητής φησι 65 a 30 ; ὥσπερ καὶ ὁ ποιητής φησι 71 b 31 (Euripide) ; διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ Ποιητής, παῦσαι βουλόμενος τὸν 'Αχιλλέα τῆς ὀργῆς τεθνεῶτος 80 b 28 ; ὅθεν καὶ 'Αντιφῶν ὁ ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυσίου εἶπεν 85 a 10 ; τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι, ... τῷ **ποιητῇ** δὲ συνωνυμίαι 04 b 39 ; ὥσπερ φασὶν οἱ **ποιηταὶ** τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν 95 b 29 ; ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον 03 b 24 ; ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί 04 a 21 ; ἐπεὶ δ' οἱ ποιηταί, λέγοντες εὐήθη, διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι τήνδε τὴν δόξαν 04 a 24 ; καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν 07 b 33 ; ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσιν 08 a 6 ; ἐν οἷς μάλιστά τ' ἐκπίπτουσιν οἱ ποιηταὶ ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν 13 a 11 ; διὸ καὶ οἱ ὑποκριταὶ τὰ τοιαῦτα τῶν δραμάτων διώκουσι, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους 13 b 12 ;

καὶ [ζηλωτοὶ] ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται ἢ ὑπὸ **ποιητῶν** ἢ λογογράφων 88 b 21 ; καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί, καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας 03 b 33 ; καὶ ἡ [εἰκὼν] εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις · οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται 06 b 36 ; ἢ εἰρομένην [τὴν λέξιν]... ἢ κατεστραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις 09 a 27 ; ποιοῦσιν μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό 10 b 16 ; λέγω δὲ παλαιοὺς μὲν [μάρτυρας] τούς τε **ποιητὰς** καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶν κρίσεις φανεραί 75 b 28.

ποιητικός, ή, όν, productif, propre à la création ou à la poésie, poétique ; **ἡ Ποιητική**, l'*Art Poétique* : καὶ γὰρ καθ' αὑτὸν αἱρετὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν 62 b 20 ; μεγαλοψυχία δὲ ἀρετὴ μεγάλων **ποιητικὴ** εὐεργετημάτων 66 b 17 ; μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική 66 b 19 ; καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μιμητικόν, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιΐα καὶ ποιητική 71 b 7 ; διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου 04 a 26 ; ἡ γὰρ ποιητικὴ [λέξις] ἴσως οὐ ταπεινή, ἀλλ' οὐ πρέπουσα λόγῳ 04 b 4 ; καὶ τὸ αὔταρκες [ἀγαθόν], καὶ τὸ **ποιητικὸν** ἢ φυλακτικὸν τῶν τοιούτων 62 a 27 ; πλοῦτος [ἀγαθόν] · ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν 62 b 18 ; καὶ [ἀγαθὸν] ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο, καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν 63 b 15 ; καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως [μεῖζον] 63 b 36 ; εἰ δ' ἐστὶν ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν 70 a 1-3 ; ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν 79 b 33 ; θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν 83 b 7 ; ἀλλ' ἂν πολὺ [τὸ τοῖς διπλοῖς χρῆσθαι], πάντως ποιητικόν 06 b 1 ; χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ · ποιητικόν γάρ 06 b 25 ; καὶ μεταφοραῖς δηλοῦν καὶ τοῖς ἐπιθέτοις, εὐλαβούμενον τὸ ποιητικόν 07 b 32 ; διώρισται δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ **Ποιητικῆς** 72 a 2 ; περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ Ποιητικῆς 04 a 39 ; μὴ ταπεινὴν δέ, ἀλλὰ κεκοσμημένην τἄλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ Ποιητικῆς 04 b 7 ; [αἱ μεταφοραί]... καθάπερ ἐλέγομεν ἐν τοῖς περὶ Ποιητικῆς 05 a 6 ; εἴρηται πόσα εἴδη γελοίων ἔστιν ἐν τοῖς περὶ Ποιητικῆς 19 b 6 ; καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ μείζω · τοῦτο γὰρ ἦν τὸ μείζονος **ποιητικῷ** εἶναι 63 b 35-36 ; δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικὴν ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν **ποιητικήν** 03 b 25 ; κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες [τὰς ἀρετάς], καὶ **ποιητικαὶ** τῶν ἀγαθῶν εἰσι καὶ πρακτικαί 62 b 4 ; ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν 62 b 15 ; ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν 62 b 25 ; καὶ τὰ **ποιητικὰ** τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 32 ; τὰ μὲν γὰρ ἡδονῆς ποιητικά, τῶν δὲ καλῶν τὰ μὲν ἡδέα, τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν 62 b 8 ; τιμή, δόξα · καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν... δύναμις τοῦ λέγειν, τοῦ πράττειν · ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν 62 b 21 & 23 ; 63 b 35 (*supra*) ; φανερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά 66 b 25 ; ποιητικὰ δὲ φιλίας χάρις 81 b 35 ; ποιητικὰ δὲ ἔχθρας ὀργή, ἐπηρεασμός, διαβολή 82 a 2 ; πάντα ταῦτα γὰρ ποιητικὰ διὰ τὴν δίπλωσιν φαίνεται 06 a 5. — Voir εὐποιητικός.

ποιητικῶς, poétiquement, en poésie : διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι 06 a 32 ; εἰσὶν γὰρ καὶ μεταφοραὶ ἀπρε-

πεῖς, αἱ μὲν διὰ τὸ γελοῖον, ... αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν · ἀσαφεῖς δέ, ἂν πόρρωθεν... ποιητικῶς γὰρ ἄγαν 06 b 10.

ποικίλος, η, ον, varié, bigarré, colorié : καὶ ἁπλούστερος ὁ λόγος οὗτος, ἐκεῖνος δὲ ποικίλος καὶ οὐ λιτός 16 b 25 ; καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει μύλωνας **ποικίλους** 11 a 24.

ποῖος, α, ον, quel? de quelle sorte? de quelle nature?
ποῖός τις 74 b 15 & 16 ; 94 a 22 ;
ποία τις 59 b 35 ; **ποία** 60 a 12 ; 62 b 5 ; 99 a 7 ;
ποῖον (neut.) 76 a 14 ; 94 b 28 ; 99 a 9 ; **ποῖόν τι** 56 a 24 ;
ποίῳ τινί (masc.) 74 a 33 ;
ποῖόν τινα 68 a 2 ;
ποῖοι 74 b 3 ; **ποῖοί τινες** 88 b 31 ;
ποῖαι 60 a 33* (αἱ ποῖαι τοῖς ποίοις) ; 77 b 18 ; 79 a 28 ;
ποῖα (nom. & acc.) 55 a 12 ; 57 b 26 ; 59 a 30 ; 60 a 21 ; 68 a 34 ; 68 b 28, 30, 32 ; 69 a 25* (ποῖα ποίοις) ; 69 b 29 ; 72 a 9* ; 73 a 37 ; 73 b 37 ; 74 b 2 (ποῖά ἐστι) ; 79 a 12 ; 80 a 1 ; 82 a 20 ; 83 a 15 ; 83 b 11 ; 85 b 11 ; 88 a 31 ; 88 b 35* (ποῖα... καὶ ποίων) ; 95 b 10 ; 03 b 10 ;
ποίων (neut.) 68 b 2 ; 88 b 35 ; 90 b 12 ; 94 a 20 ;
ποίοις (masc.) 60 a 33* (αἱ ποῖαι τοῖς ποίοις) ; 69 a 25* (ποῖα ποίοις) ; 87 b 16 ;
ποίοις (neut.) 78 a 24 ;
ποίους 68 b 4 ; 73 a 38.

ποιός, ά, όν, d'une certaine espèce, de telle ou telle qualité :
ποιός τις 08 a 29 ;
ποιά 17 a 19 (ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει) ;
ποιόν (neut.) 64 b 15 ; 16 b 21 ; 17 a 18* ;
ποιόν τινα (acc. masc.) 54 b 20 ; 56 a 10 ; 66 a 10 ; 68 a 2 ; 77 b 24, 26, 29 ; 03 b 17 ; 17 b 7 ;
ποιάν 17 a 18* (ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην) ;
ποιοί τινες 66 a 26 ; 08 a 30 ;
ποιά (neut.) 90 b 15 (καὶ τὰ ἤθη ποιὰ ἄττα) ;
ποιούς τινας 03 b 11.

πολεμεῖν, faire la guerre, entrer ou être en guerre : καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τοὺς κρείττους εἰρηνεύηται, πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν 59 b 39-60 a 1 ; ἀεὶ γὰρ **πολεμοῦσι** πρὸς τοὺς τοιούτους 82 b 14 ; οἷον... **πολεμῶν** δὲ τοῖς πρὸς τὸν πόλεμον 79 a 21 ; διὸ κάμνοντες, πενόμενοι, ⟨**πολεμοῦντες**⟩, κ. τ. α. ... ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι 79 a 17 ; ἔτι δὲ πολέμους πῶς καὶ τίνας **πεπολέμηκεν** 59 b 37 ; ἔτι τίνας πολέμους **πεπολεμήκασι** καὶ πῶς 96 a 11. — Voir εἰρηνεύειν.

πολεμητέον, il faut faire la guerre : λέγω δ' οἷον πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις εἰ πολεμητέον ἢ μὴ πολεμητέον μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν 96 a 8-9.

πολέμιος, α, ον, ennemi (à la guerre) : ἢ διειλέχθαι μὲν τοῖς **πολεμίοις**, ἀλλ' οὐ προδοῦναι 74 a 6 ; « ὁρᾶτε μὴ βουλόμενοι τοὺς **πολεμίους** τιμωρήσασθαι τὸ αὐτὸ πάθητε τῷ ἵππῳ » 93 b 19 (Stésichore).

πόλεμος (ὁ), guerre, conflit, état de guerre : « εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι » 97 a 11 ; μετ' ἐκείνην γὰρ [sc. τὴν Δημοσθένους πολιτείαν] συνέβη ὁ πόλεμος 01 b 34 ; ἀντίκειται πόλεμος εἰρήνῃ 10 b 31 ; « Ἀσίας ἀπὸ γαίης ἦλθεν ἐς Εὐρώπην πόλεμος μέγας » 15 a 18 (Chœrilos de Samos) ; ταῦτα δ' ἐστὶν περί τε

πόρων, καὶ **πολέμου** καὶ εἰρήνης 59 b 21 ; περὶ δὲ πολέμου καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως 59 b 33 ; καὶ Ἰφικράτης... ἠγανάκτει, φάσκων αὐτοὺς τὰ ἐφόδια τοῦ πολέμου παρῃρῆσθαι 11 a 13 ; τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ παντὸς τοῦ πολέμου 11 b 18 ; ἡ μὲν γὰρ ἐν **πολέμῳ**, ἡ δὲ καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ χρήσιμος ἄλλοις 66 b 6* ; ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ... 11 a 3 ; οἷον... πολεμῶν δὲ τοῖς πρὸς τὸν **πόλεμον** 79 a 22 ; καὶ τῶν πρὸς πόλεμον παρασκευῶν 83 b 2 ; « καὶ τὴν τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὐτῶν ἰδίοις πόλεμον » · ἀντίκειται πόλεμος εἰρήνῃ 10 b 31* (= Isocrate, *Philippe*, § 73) ; σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον 11 a 7 ; καὶ τὸ τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς **πολέμοις** γινομένων 11 b 17 ; ἔτι δὲ **πολέμους** πῶς καὶ τίνας [ἡ πόλις] πεπολέμηκεν 59 b 36 ; ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν 60 a 4 ; ἔτι τίνας πολέμους πεπολεμήκασι καὶ πῶς 96 a 11 ; « οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα » 11 b 14 (= Isocrate, *Panég.*, § 172). — Voir εἰρήνη.

πόλις (ἡ), la ville, la Cité, l'État : καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα 88 b 9 ; καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις 98 b 20 ; « τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει ; » 99 a 10 (Théodecte) ; « Ἦλις, πόλις εὐδαίμων » 16 a 3 (Gorgias) ; δέοι ἂν τὰς προσόδους τῆς **πόλεως** εἰδέναι τίνες καὶ πόσαι 59 b 24 ; ... ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας 59 b 26 ; περὶ δὲ πολέμου καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως 59 b 34 ; οὐ μόνον δὲ τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι 59 b 37 ; ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη 60 a 20 ; καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῳ 60 b 35 ; οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη 65 a 32 & 11 a 4 ; « καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι » 10 a 13 (= Isocrate, *Panég.*, § 105) ; 11 a 4 ; τὸ ἄψυχον δὴ ἔμψυχον, τὸ ὑπόμνημα τῶν τῆς πόλεως ἔργων 11 b 10 ; ἔτι δὲ περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ **πόλει** καὶ ποία, ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος 60 a 12 ; εὐγένεια μὲν οὖν ἐστιν ἔθνει μὲν καὶ πόλει τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι 60 b 31 ; ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι 76 a 11 ; ἢ ὥσπερ Ἰσοκράτης τὴν ἀρχὴν τῇ πόλει ἀρχὴν εἶναι τῶν κακῶν 12 b 7 ; « λαοὶ μὲν φθινύθουσι, **πόλιν** δέ τε πῦρ ἀμαθύνει » 65 a 14 (= *Iliade*, IX, 593) ; Αἰσίων δὲ [ἔλεγεν] ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν 11 a 25 ; ὅτι καὶ αἱ **πόλεις** τῷ ψόγῳ τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν 11 b 19 ; ὥστ' εἰ περὶ πάσας ἦν τὰς κρίσεις καθάπερ ἐν ἐνίαις γε νῦν ἐστι τῶν **πόλεων** καὶ μάλιστα ταῖς εὐνομουμέναις, οὐδὲν ἂν εἶχον ὅ τι λέγωσιν 54 a 19 ; καὶ οὐχὶ νόμους, ἀλλὰ τοὺς τῶν πόλεων βασιλεῖς νόμους 06 a 22 (Alcidamas) ; οἷον εἴ τις λέγοι ταῖς **πόλεσι** συμφέρουσιν οἱ ἐρῶντες 01 b 10 ; διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τὰς **πόλεις** 60 a 16 *var.* ; καὶ τὸ ἀνωμαλίσθαι τὰς πόλεις ἐν πολὺ διέχουσιν ταὐτό 12 a 17.

πολιτεία (ἡ), constitution, régime politique, administration : χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν 60 a 31 ; ἔστιν δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ οἱ ἀπὸ τιμημάτων, ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν 65 b 32 ; καὶ [εἰδέναι] ὑπὸ τίνων φθείρεσθαι

πέφυκεν καὶ οἰκείων τῆς **πολιτείας** καὶ ἐναντίων 60 a 22 ; λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται 60 a 24 ; τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν 66 a 3 ; πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ σῷζον τὴν **πολιτείαν** 65 b 26 ; οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν · μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος 01 b 33 ; ὅσαι γὰρ αἱ **πολιτεῖαι**, τοσαῦτα καὶ τὰ κύριά ἐστιν 65 b 28 ; εἰσὶν δὲ πολιτεῖαι τέτταρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία, ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 29 ; ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ' ἀνάγκαῖον εἰδέναι πόσα τέ ἐστι **πολιτειῶν** εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκεν καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων 60 a 21-22 ; δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς 66 a 12 ; καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας, διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν 03 b 35 (*var.* : τῶν πολιτῶν) ; τὸ γὰρ « μετὰ τοῦτο » ὡς « διὰ τοῦτο » λαμβάνουσιν, καὶ μάλιστα οἱ ἐν ταῖς **πολιτείαις** 01 b 32 ; μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς **πολιτείας** ἁπάσας λαβεῖν καὶ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν 65 b 23 ; ἔτι δὲ κυρία μέν ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας · ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν 65 b 28* ; ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ νομίμων διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν, ... εἴρηται 66 a 19 ; περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον 91 b 19. — Voir ἀριστοκρατία, δημοκρατία, μοναρχία, ὀλιγαρχία, τυραννίς.

Πολιτεία (ἡ), la *République* (de Platon) : καὶ τὸ ἐν τῇ **Πολιτείᾳ** τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα 06 b 32 (= Platon, *Resp.* V, 469 d 5-e 2 ; et, plus bas [06 b 36-07 a 2], *Resp.* VI, 488 a-b, et X, 601 b 6-7).

πολιτεύεσθαι, prendre part à la vie publique : λέγω δὲ ἴδιον μὲν [νόμον] καθ' ὃν γεγραμμένον **πολιτεύονται**, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ 68 b 8.

πολίτης (ὁ), citoyen, membre d'une « cité » : καὶ Χῖοι Ὅμηρον [τετιμήκασιν] οὐκ ὄντα **πολίτην** 98 b 13 ; τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ **πολῖται** τῶν ἄπωθεν 71 a 11 ; καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας, διὰ τὴν μοχθηρίαν τῶν **πολιτῶν** 03 b 35 *var.* ; οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρεία μάλιστα ὠφέλιμον τοῖς **πολίταις** 62 b 33 ; πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς **πολίτας**, πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους 60 a 16 ; ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου 84 a 10 ; « πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στράβακα καὶ Χαρίδημον, διὰ τὴν ἐπιείκειαν · φυγάδας δ' οὐ ποιήσετε τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους ; » 99 b 2 (Théodecte) ; ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσιν καὶ πρὸς τὴν λέξιν 04 b 9 ; « καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι » 10 a 13 (= Isocrate, *Panég.*, § 105). — Voir ξένος.

πολιτικός, ή, όν, qui concerne l'État, politique ; **ἡ πολιτική**, la science politique ; **τὰ Πολιτικά**, la *Politique* (d'Aristote) : διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς **πολιτικῆς** ἡ ῥητορική 56 a 28 ; ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς 59 b 10 ; πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίαι [χρήσιμοι] · ἅπαντα δὲ ταῦτα πολιτικῆς, ἀλλ' οὐ ῥητορικῆς ἔργον ἐστίν

60 a 36-37 ; περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε **πολιτικῷ** συλλογισμῷ, εἴθ' ὁποιῳοῦν 96 a 5 ; ὅμως δὲ ὅσα πρὸ ἔργου μέν ἐστι διελεῖν, ἔτι δ' ὑπολείπει σκέψιν τῇ **πολιτικῇ** ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν 59 b 17 ; ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστιν προσαγορεύειν **πολιτικήν** 56 a 27 ; οὗτοι δ' εἰσὶν οἱ κοινοὶ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ **πολιτικῶν** καὶ περὶ πολλῶν διαφερόντων εἴδει 58 a 13 ; ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς **πολιτικοῖς** ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων 91 b 17 ; διηκρίβωνται γὰρ ἐν τοῖς **Πολιτικοῖς** περὶ τούτων 66 a 22 ; καὶ κατὰ τοὺς **πολιτικοὺς** ἀγῶνας 03 b 34 ; **πολιτικάς** 60 a 36 (*supra*) ; τῆς αὐτῆς οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικά, καὶ καλλίονος καὶ **πολιτικωτέρας** τῆς δημηγορικῆς πραγματείας οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα, περὶ μὲν ἐκείνης οὐδὲν λέγουσιν 54 b 24.

πολλὰ (τὰ), le pluriel : 07 b 10 & 32. — Voir πολύς.

πολλάκις, souvent : πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρηται πολλάκις 54 b 9 ; καὶ ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός 57 a 17 ; προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες 58 b 19 ; οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις προΐενται 58 b 34 ; πολλάκις οὐδὲν φροντίζουσιν 58 b 37 ; ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι... 59 a 2 ; ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν 63 b 5 ; τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει 64 a 27 ; ἐπεὶ δὲ συμβαίνει... ἐπαινεῖν πολλάκις 66 a 29 ; χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα 67 b 23 ; καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν 68 a 13 ; ἔθει δὲ ὅ τι διὰ τὸ πολλάκις πεποιηκέναι ποιοῦσιν 69 b 6 ; ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔστιν δ' ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις 70 a 7-8 ; πολλάκις γὰρ ἐν ταύταις γίγνεται τὸ νικᾶν 71 a 1 ; καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ 71 a 25 ; καὶ οἱ πολλάκις ἢ λεληθότες ἢ μὴ ἐζημιωμένοι, καὶ οἱ πολλάκις ἀποτετυχηκότες 72 b 8-9 ; καὶ τοὺς μηδεπώποτε καὶ τοὺς πολλάκις [ἀδικηθέντας] 72 b 33 ; ἐπεὶ δ' ὁμολογοῦντες πολλάκις πεπραχέναι 73 b 38 ; καὶ τὸ πολλάκις τὸ αὐτὸ ἁμαρτάνειν 75 a 3 ; οἱ δὲ γεγραμμένοι [νόμοι] πολλάκις [μεταβάλλουσιν] 75 a 33 ; ἢ ἐὰν πολλάκις ἐληλυθότες εἰς τὰ δεινὰ καὶ διαπεφευγότες ὦσι 83 a 27 ; καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις 84 a 3 ; καὶ τὸ πολλάκις τοιοῦτον 86 a 13 ; τὸ γὰρ δεινόν... καὶ ἐκκρουστικὸν τοῦ ἐλέου καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον 86 a 23 ; διὸ πολλάκις καταφρονοῦσιν τῶν εὐτυχούντων 88 b 26 ; καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι ὅτι θανατοῦνται πολλάκις, οὐδ' οἱ σοφισταί 97 b 31 ; πολλάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον 00 b 3 ; ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸ πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν 01 a 27 ; τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν 09 b 19 ; « πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων... » 09 b 34 (= Isocrate, *Panég.*, § 1) ; « συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν » 10 a 7 (= Isocrate, *Panég.*, a 48) ; αἱ δ' εἰκόνες ὅτι μεταφοραί, εἴρηται πολλάκις 13 a 16 ; οἷον τά τε ἀσύνδετα καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται 13 b 19 ; περὶ οὗ γὰρ πολλὰ λέγεται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι · εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ 14 a 4-5 ; καὶ γὰρ ἡ κατηγορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ἡ συμβουλή 14 b 4 ; ἵνα γὰρ εὐμαθὴς ᾖ, κελεύουσι πολλάκις εἰπεῖν 19 b 30.

πολλαχοῦ, en beaucoup d'endroits : διὸ καὶ πολλαχοῦ, ὥσπερ πρότερον εἶπον, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος 55 a 1 ; ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ χρώμασιν ἢ κράσεσιν, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον 73 a 31 ; καὶ

ὡς κέχρηται πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς 11 b 32 ; πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ 17 b 10.

Πόλυβος (ὁ), Polybe : « ἐμοὶ πατὴρ ἦν Πόλυβος » 15 a 21 (= Sophocle, *Œdipe-Roi*, 774).

Πολύευκτος (ὁ), Polyeucte : καὶ τὸ **Πολυεύκτου** εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν, ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον 11 a 21.

πολύθυρος, ος, ον, « aux portes multiples », pris au sens de « aux multiples tablettes » : « δέλτου μὲν αἵδε **πολύθυροι** διαπτυχαί » 07 b 35 (= Euripide, *Iphigénie en Tauride*, 727).

Πολυκράτης (ὁ), Polycrate : οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατράγοντες τὰς νευράς 01 b 15 ; πάλιν τὸ **Πολυκράτους** εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε · συντίθησι γάρ 01 a 35. — Voir l'*Index des citations*.

Πολυνείκης (ὁ), Polynice : οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν **Πολυνείκη**, ὡς φύσει ὂν τοῦτο δίκαιον 73 b 10.

πολυπρόσωπος, ος, ον, qui présente plusieurs visages, plusieurs aspects : « τὸν **πολυπρόσωπον** οὐρανόν » 05 b 36 (Lycophron).

πολύς, πολλή, πολύ, nombreux, considérable ; **πολύ**, beaucoup ; **οἱ πολλοί**, la plupart ; **τὰ πολλά**, d'ordinaire (ou : le pluriel) ; etc. :

πολλή : νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή 61 a 1 ;

πολύ : 1°) **ὡς ἐπὶ τὸ πολύ**, la plupart du temps, probablement, selon toute vraisemblance (opp. à τὸ ἀληθές, le vrai) : ἢ καθόλου ἢ ὡς ἐπὶ τὸ πολύ 56 b 17 ; τὰ δ' ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα 57 a 27 ; τὰ μὲν ἀναγκαῖα ἔσται, τὰ δὲ πλεῖστα ὡς ἐπὶ τὸ πολύ 57 a 31 ; τὸ μὲν γὰρ εἰκός ἐστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενον 57 a 34 ; ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 33 ; καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται 62 b 21 ; ἔστι δ' οὐκ ἀεὶ τοῦτο, ἀλλ' ὡς ἐπὶ τὸ πολύ 62 b 37 ; καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως 69 a 34 ; ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει 69 b 1 ; ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ 70 a 4 ; ὅλως δὲ ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ 70 b 10 ; καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ 71 a 32 ; πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ 71 b 14 ; διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ καὶ φιλερασταὶ καὶ φιλότιμοι καὶ φιλότεκνοι 71 b 23 ; ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ ἄρχειν 71 b 29 ; ἀλλ' ἀναγκαῖον μὲν ᾖ καθόλου εἰπεῖν, μὴ ᾖ δέ, ἀλλ' ὡς ἐπὶ τὸ πολύ 74 a 31 ; μηδὲ ποῖός τις νῦν, ἀλλὰ ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ 74 b 16 ; φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι 82 b 5 ; ὡς γὰρ ἐπὶ τὸ πολὺ ἀδικοῦσιν οἱ ἄνθρωποι ὅταν δύνωνται 82 b 8 ; ὅ περ ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν 90 b 23 ; οὐδεὶς γὰρ ἀδυνάτων ἐρᾷ οὐδὲ ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ 92 a 24 ; καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ 92 a 29 ; ὡς γὰρ ἐπὶ τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν 92 b 22 ; ἔστι δὲ τούτων ἁπάντων τὰ μὲν ἐξ ἀνάγκης τὰ δ' ὡς ἐπὶ τὸ πολὺ οὕτως ἔχοντα 92 b 32 ; ὡς γὰρ ἐπὶ τὸ πολὺ γίγνεται μᾶλλον τὰ μέλλοντα ἢ τὰ μὴ μέλλοντα 93 a 4 ; ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν 94 a 7 ; καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ 96 a 3 ; ἔστι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ

ὄντων ἢ δοκούντων συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων 02 b 15; τὸ δὲ εἰκὸς οὐ τὸ ἀεὶ ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ 02 b 21; ἀεὶ δ' ἔχει ἔνστασιν τὸ ὡς ἐπὶ τὸ πολύ · οὐ γὰρ ἂν ἦν ⟨ὡς ἐπὶ τὸ πολὺ καὶ⟩ εἰκός, ἀλλ' ἀεὶ καὶ ἀναγκαῖον 02 b 28-29; τοῦτο δὲ συμβήσεται ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ 02 b 36;

2°) **autres emplois** : μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως 63 b 10-12; « ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο » 70 b 12 & 78 b 6 (= *Iliade*, XVIII, 109); οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει 70 b 14; ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ 71 a 14; πολὺ γὰρ διαφέρει πρὸς πίστιν 77 b 24; 78 b 6 (*supra*); καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ 79 a 1; λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν 79 a 26-27; ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα 80 a 21; ὅλως δὲ οὐκ αἰσχύνονται οὔθ' ὧν πολὺ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν 84 b 23; οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν [φιλοτιμοῦνται] 88 a 12-13; τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολύ, τὸ δὲ παρεληλυθὸς βραχύ 89 a 22; τοῦ γὰρ βίου [τοῖς πρεσβυτέροις] τὸ μὲν λοιπὸν ὀλίγον, τὸ δὲ παρεληλυθὸς πολύ 90 a 8; ἀλλ' ἂν πολύ, πάντως ποιητικόν 06 b 1; ἐὰν δὲ πολὺ τὸ μεταξὺ γένηται τοῦ « ἐπορευόμην », ἀσαφές 07 a 30; φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν 07 a 36; « οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον » 10 a 10 (= Isocrate, *Panég.*, § 72); τρόπαιον εἶναι πολὺ κάλλιον 11 b 16; τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου 12 a 13; ἐν πολὺ διέχουσιν ταὐτό 12 a 18; ἀλλὰ τὸ πολὺ σφόδρα 13 a 24; ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολὺ ὅτι καλὰ καὶ ὠφέλιμα ἡ αὔξησις ἔσται 17 b 31; ἐὰν μὴ τὸ πολὺ περιῇ τοῦ ἀληθοῦς 19 b 2;

πολλοῦ : αἱ μὲν νομοθεσίαι ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται, αἱ δὲ κρίσεις ἐξ ὑπογυίου 54 b 2;

πολλῷ : πολλῷ τε πλείω δεδόσθαι καὶ νῦν αὐτῇ [sc. τῇ ῥητορικῇ] τῶν οἰκείων θεωρημάτων 59 b 7; πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν 67 b 5; ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς 79 a 39; ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν 04 b 14;

πολύν : πολὺν χρόνον κακοπαθεῖν καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς [sc. τῆς ἀλώπεκος] 93 b 25 (Ésope);

πολλήν : ἡ γὰρ σύνθεσις ὑπεροχὴν δείκνυσι πολλήν 65 a 18;

πολλοί : πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν 61 a 32; πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ Ἡρόδικος λέγεται 61 b 4; πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν 61 b 33; ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος 61 b 37; τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, ... καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων 71 a 13; καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί 72 a 29; καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν 73 a 27; [πολλοὶ μὲν γὰρ παχύφρονες... γενναίως ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις 77 a 7-8]; καὶ [ζηλωτοὶ] οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοί · ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσιν 88 b 19*-20*; πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων 91 a 7; ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου προεμβέβληνται σύνδεσμοι 07 a 28; ὅπερ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν, οὐδ' ἃ μὴ ῥᾴδιον διαστίξαι 07 b 12; διὸ πολλοὶ καταπλήττουσι τοὺς ἀκροατὰς θορυβοῦντες 08 a 24; ταύτῃ γὰρ πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται 09 a 30; διὸ πολλοὶ εἰς γέλωτα

πειρῶνται προάγειν 15 a 37 ; ἐὰν δὲ Κριτίαν, δεῖ · οὐ γὰρ πολλοὶ ἴσασιν 16 b 29 ;

οἱ πολλοί : οὗ πάντες ἐφίενται ἢ οἱ πολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι 61 a 26 ; καὶ οὗ ⟨οἱ⟩ πολλοὶ ἐφίενται, καὶ τὸ περιμάχητον φαινόμενον · οὗ γὰρ πάντες ἐφίενται, τοῦτ' ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνονται 63 a 8-9 ; εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους κατώρθωσαν 63 a 32 ; καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν 64 b 12 ; ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις 82 b 4 ; ὅ περ ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτελεῖς 90 b 24 ; καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα 04 a 27 ; καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν 07 a 37 ; (voir 07 b 12) ; διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως 16 b 27 ;

πολλαί : καὶ ἐπανορθώσεις ἂν ὦσιν καὶ βοήθειαι πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω 83 a 21 ;

πολλά : ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι 61 a 5 ; καὶ ἕνεκα αὐτοῦ πολλὰ αἱρούμεθα 62 b 12 ; καὶ οὗ ἕνεκα πολλὰ πεπόνηται ἢ δεδαπάνηται 63 a 3 ; καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον 65 b 8 ; ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται 67 b 25 ; πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν 69 b 17 ; πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες 70 a 26 ; « μνησάμενος ὅτε πολλὰ πάθη καὶ πολλὰ ἐόργη » 70 b 6* (= *Odyssée*, XV, 401) ; καὶ τοὺς πολλὰ ἠδικηκότας [ἀδικοῦσιν] 73 a 10 ; καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν 73 a 25 ; ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν 73 a 27 ; καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχεν τῷ ἀδικοῦντι 73 a 33 ; ὅτι πολλὰ ἀνήρηκεν ἢ ὑπερβέβηκεν 75 a 9 ; ἂν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι 83 a 26 ; πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσιν 85 a 7 ; καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν 88 a 23 ; καὶ εὔπιστοι [οἱ νέοι] διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι 89 a 18 ; καὶ εὐέλπιδες... ἅμα δὲ καὶ διὰ τὸ μὴ πολλὰ ἀποτετυχηκέναι 89 a 20 ; διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι 89 b 15 ; διὸ καὶ προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν 94 a 15 ; « ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς » 97 a 19 (= Euripide, *Thyeste*, *fr.* 396, Nauck p. 481) ; « βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα » 02 a 12 (= Agathon, *fr.* 9, Nauck p. 765) ; δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν 02 a 34 ; ἔστιν γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει 03 a 17 ; καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον 03 b 17 ; ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο, καὶ ἁρμόττει ἐκεῖ 04 b 12 ; πέμπτον ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν 07 b 9 ; ἀσαφῆ δὲ ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν 07 b 22 ; καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν 07 b 32 ; ἔτι ἔχει ἴδιόν τι τὰ ἀσύνδετα · ἐν ἴσῳ γὰρ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι · ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά, ὥστε ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίον ἔσται τὸ ἓν πολλά 13 b 32-33-34 ; πολλὰ δοκεῖ 14 a 1 ; περὶ οὗ γὰρ πολλὰ λέγεται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι · εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ 14 a 4-5 ; ἢ πολλὰ ἀγαθὰ προθέντα 16 b 6 ; οὐ γὰρ οἷόν τε πολλὰ ἐρωτᾶν, διὰ τὴν ἀσθένειαν τοῦ ἀκροατοῦ 19 a 18 ;

τὰ πολλά : περί τε τῶν ἐνδεχομένων ὡς τὰ πολλὰ ἔχειν ἄλλως 57 a 15 ; τὰ γὰρ πολλὰ περὶ ὧν αἱ κρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως

ἔχειν 57 a 23 ; ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκούσια κατὰ συνθήκας 76 b 11 ; ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον 90 a 5 ; (voir 07 b 9 & 13 b 33) ;

πολλῶν (masc.) : οἱ ἔμπειροι πολλῶν ἀγώνων 72 a 13 ; καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας 72 b 31 ; τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 9 ; ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβεν καθ' αὑτόν 01 b 21 ; « ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι » 14 b 32 (Gorgias, *fr.* 82 B 7 = D-K, t. II, p. 287) ;

τῶν πολλῶν : τῶν μὲν οὖν πολλῶν, οἱ μὲν εἰκῇ ταῦτα δρῶσιν, οἱ δὲ διὰ συνήθειαν ἀπὸ ἕξεως 54 a 6 ; μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν 61 b 19 ; ὁ δ' ἴαμβος αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πολλῶν 08 b 34 ;

πολλῶν (neut.) : τὸ μὲν ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι 56 b 14 ; οὐ δύνανται [οἱ ἀκροαταὶ] διὰ πολλῶν συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν 57 a 3 ; οὗτοι δ' εἰσὶν οἱ κοινοὶ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει 58 a 13 ; αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων 62 a 3 ; ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν 62 b 15 ; πλοῦτος · ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν 62 b 18 ; φίλος καὶ φιλία · καὶ γὰρ καθ' αὑτὸν αἱρετὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν 62 b 20 ; τιμή, δόξα · καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν 62 b 21 ; καὶ ὡς τέλος τὸ τοιοῦτον ὑπολαμβάνεται καὶ τέλος πολλῶν 63 a 5 ; ἀρετὴ... δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων 66 a 38 ; ἔστιν δ' ἡ σοφία πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη 71 b 28 ; πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή 75 a 10 ; καὶ ὁ μὲν πολλῶν ἂν γενομένων ἐλεήσειεν, ὁ δ' οὐδενός 82 a 14 ;

τῶν πολλῶν : μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος 63 b 11 ;

πολλοῖς (masc.) : καὶ τοὺς ἐξαγγελτικοὺς πολλοῖς 84 b 6 ; ταῦτα γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς 96 b 13 ; « πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν » 99 b 24 (= *fr. trag. anon.* n° 82, Nauck p. 855) ; ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς 15 a 3 ;

τοῖς πολλοῖς : ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν 62 b 17 ; δόξει τε γὰρ τοῖς πολλοῖς 67 b 3 ; φαίνεται μὲν γὰρ τοῖς πολλοῖς οὕτω 94 b 14 ;

πολλοῖς (neut.) : χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς 68 a 10 ;

πολλούς : ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς εὖ φρονοῦντας 54 a 34 ; καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν 60 b 33 ; καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ πρεσβυτέρους 60 b 37 ; μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τούτους 83 b 4 ; οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν 88 b 17 ; πολὺν χρόνον κακοπαθεῖν καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς [sc. τῆς ἀλώπεκος] 93 b 26 (Ésope) ; « καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτε οὐδέν, ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι ὑμῶν » 00 a 23 ; « κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας » 10 a 16 (= Isocrate, *Panég.*, § 181) ;

τοὺς πολλούς : ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως 55 a 29 ; πρὸς τοὺς πολλοὺς δεῖ παραβάλλειν 68 a 25 *var.* ;

πολλάς : καὶ οὐ κακοήθεις [οἱ νέοι], ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας 89 a 17 ; καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευεν μὴ πολλὰς ποιήσωσιν τὰς συνδρομάς 11 a 29 ; καὶ οὐκ ἔχει πολλὰς διατριβάς 18 a 27. — Voir εἷς, ὀλίγος, πλείων, πλεῖστος.

πολυτεκνία (ἡ), grand nombre d'enfants (bonheur d'avoir beaucoup d'enfants) : εὐτεκνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα 60 b 39 ; ἰδίᾳ δὲ εὐτεκνία

καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα 61 a 5 ; εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη εὐγένειαν, πολυφιλίαν, χρηστοφιλίαν, πλοῦτον, εὐτεκνίαν, **πολυτεκνίαν** εὐγηρίαν 60 b 20.

πολυφιλία (ἡ), grand nombre d'amis : πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου ὡρισμένου ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις, ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον 61 b 35 ; ποιεῖ δὲ τοιούτους πλοῦτος, ἰσχύς, πολυφιλία, δύναμις 83 a 3 ; ἔστι δὲ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα 88 b 5 ; εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη εὐγένειαν, **πολυφιλίαν**, χρηστοφιλίαν, πλοῦτον, εὐτεκνίαν, πολυτεκνίαν, εὐγηρίαν 60 b 20.

πολύφιλος, ος, ον, qui a beaucoup d'amis : ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος 61 b 38 ; καὶ οἱ ἔμπειροι πολλῶν ἀγώνων, κἂν **πολύφιλοι** ὦσιν, κἂν πλούσιοι 72 a 13 ; ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πολύφιλοι καὶ εὔτεκνοι καὶ ὁτιοῦν τῶν τοιούτων 87 a 20.

πολύχους, ους, ουν, multiple, très varié : ἂν δὲ πολύχους ᾖ ἡ ἐναντίωσις, πρότερον τὰ ἐναντία [ἀπαντᾶν] 18 b 9.

πολυχρόνιος, ος, ον, qui dure ou vit longtemps : μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρός, οὐκ ἔσται ἀπαθής, οὐδ' ἄλυπος καὶ πολυχρόνιος 61 b 30 ; ἥδιον δὲ τό τε ἀλυπότερον καὶ **πολυχρονιώτερον** ἡδύ 64 b 26 ; καὶ τὰ **πολυχρονιώτερα** τῶν ὀλιγοχρονιωτέρων καὶ τὰ βεβαιότερα τῶν ἀβεβαιοτέρων 64 b 30.

πολυωρεῖν, respecter, honorer : προσήκειν δὲ οἴονται **πολυωρεῖσθαι** ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν 78 b 35.

πονεῖν, se fatiguer, prendre de la peine : καὶ οὗ ἕνεκα πολλὰ **πεπόνηται** ἢ δεδαπάνηται [τοῦτο ἀγαθόν] 63 a 3.

πονηρεύεσθαι, agir de façon malhonnête : καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν · ἐκεῖνον μὲν γὰρ ἐπιτρίτων τόκων πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων 11 a 18.

πονηρία (ἡ), perversité, méchanceté : ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία 73 a 4 ; ἔστιν ἀτυχήματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ **πονηρίας**, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τέ ἐστιν · τὰ γὰρ δι' ἐπιθυμίαν ἀπὸ πονηρίας 74 b 8-9-10 ; καὶ οὐ κακοήθεις, ἀλλ' εὐήθεις [οἱ νέοι], διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς **πονηρίας** 89 a 17. — Voir μοχθηρία.

πονηρός, ά, όν, mauvais, pervers : ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος · πονηρὸς γάρ · ἀσυλλόγιστον γὰρ δὴ τοῦτο · οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός 01 b 13-14* ; ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα ἔνδεια **πονηρόν**, ἢ κατὰ μέρος ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες 02 b 2-3 ; καὶ [προοιμιάζονται] οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες 15 b 22 ; ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι **πονηρόν** 17 b 28 ; **πονηροί** 02 b 3 (*supra*) ; — « Τί δέ ; οὐ **πονηρά** σοι ταῦτα ἐδόκει εἶναι ; » Ἔφη. — « Οὐκοῦν σὺ ταῦτα ἔπραξας τὰ πονηρά ; » 19 a 29-30 ; ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν **πονηροὺς** εἶναι 76 a 12 ; καὶ Μοιροκλῆς οὐθὲν ἔφη **πονηρότερος** εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν 11 a 16. — Voir μοχθηρός.

πόνος (ὁ), fatigue, peine, labeur : « ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι **πόνων** » 70 b 4 (= Euripide, *Andromède*, *fr.* 133, Nauck p. 199) ; νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς **πόνους** χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν 61 b 8 ; ἀκμάζοντος δὲ πρὸς μὲν πόνους τοὺς πολεμικούς... γέροντος δὲ πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανόν 61 b 12 & 13 ; καὶ

τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι 83 b 33.

πορεύεσθαι, aller, marcher : λέγω δὲ κύριά τε καὶ συνώνυμα οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν 05 a 1 ; « ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ τάδε καὶ τάδε καὶ ὧδε πορεύεσθαι », ἀλλὰ μὴ « ἔμελλον γὰρ διαλεχθεὶς πορεύεσθαι, εἶτα τάδε καὶ τάδε **καὶ** ὧδε ἐγένετο » 07 b 23-24 ; « ... **ἐπορευόμην** παραλαβὼν αὐτούς »... ἐὰν δὲ πολὺ τὸ μεταξὺ γένηται τοῦ « ἐπορευόμην », ἀσαφές 07 a 27 & 30 ; καὶ μετὰ συνδέσμου λέγειν · ἐὰν δὲ συντόμως, ἄνευ μὲν συνδέσμου μὴ ἀσύνδετα δέ, οἷον « **πορευθεὶς** καὶ διαλεχθείς », « πορευθεὶς διελέχθην », 07 b 39-08 a 1.

πορίζειν, fournir, procurer : ἀλλὰ δυνάμεις τινὲς τοῦ **πορίσαι** λόγους 56 a 33 ; νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες οὐδὲν ὡς εἰπεῖν **πεπορίκασιν** αὐτῆς μόριον 54 a 12 ; εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ **πορίζεσθαι** 03 b 13 ; τῶν δὲ διὰ τοῦ λόγου **ποριζομένων** πίστεων τρία εἴδη ἐστίν 56 a 1 ; ῥᾴω μὲν οὖν **πορίσασθαι** τὰ διὰ τῶν λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων 94 a 6 ; ἐπεὶ δ' οἱ ποιηταί, λέγοντες εὐήθη, διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι τήνδε τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις 04 a 25 ; διὸ ἔξεστι λέγειν... καὶ τὸν κλέψαντα καὶ λαβεῖν καὶ πορίσασθαι 05 a 28 ; ἄτεχνα δὲ λέγω ὅσα μὴ δι' ἡμῶν **πεπόρισται**, ἀλλὰ προϋπῆρχεν 55 b 36.

ποριστής (ὁ), qui procure, qui fournit, qui se cherche des ressources : καὶ οἱ μὲν λῃσταὶ αὐτοὺς **ποριστὰς** καλοῦσι νῦν 05 a 25.

ποριστικός, ή, όν, qui procure, qui concerne la fourniture ou l'approvisionnement : ἀρετὴ δ' ἐστὶ μὲν δύναμις ὡς δοκεῖ **ποριστικὴ** ἀγαθῶν καὶ φυλακτική 66 a 37.

πόρος (ὁ), revenu, ressources : ταῦτα δ' ἐστὶν περί τε **πόρων**, καὶ πολέμου καὶ εἰρήνης, κ. τ. α. ... ὥστε περὶ μὲν πόρων τὸν μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι 59 b 21 & 23. — Voir πρόσοδος.

πόρρω, en avant, au loin : ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός 61 b 24 ; τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω 71 a 11 ; καὶ οἷς τὰ μὲν κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ ζημίαι μικραὶ ἢ ἀφανεῖς ἢ πόρρω 72 b 1 ; καὶ τοὺς πόρρω καὶ τοὺς ἐγγύς 72 b 26 ; καὶ ταῦτα ἐὰν μὴ πόρρω, ἀλλὰ σύνεγγυς φαίνηται ὥστε μέλλειν · τὰ γὰρ πόρρω σφόδρα οὐ φοβοῦνται 82 a 24-25 ; ἄδηλοι γὰρ εἰ ἐγγύς, ὥστε οὐδέποτε φανεροὶ ὅτι πόρρω 82 b 21 ; ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων · ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα ἢ τὰ σωτήρια ἐγγύς 83 a 19* ; διότι πόρρω ταὐτὰ μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ εὐαλαζόνευτα 90 b 20 ; ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον 09 b 20.

πόρρωθεν, de loin : [οἱ ἀκροαταὶ] οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν 57 a 4 ; οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ λαμβάνοντας συνάγειν 95 b 25 ; ἔτι δὲ οὐ πόρρωθεν δεῖ, ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως 05 a 35 ; ἀσαφεῖς δέ [αἱ μεταφοραί], ἂν πόρρωθεν 06 b 8.

πορρώτερον, plus loin : ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα 14 a 9.

ποσαχῶς, de combien de sortes : ἄλλος [τόπος] ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς Τοπικοῖς περὶ τοῦ ὀρθῶς 98 a 29.

πόσις (ὁ), époux : « δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ **πόσιν** » 01 a 38 (Théodecte, *Oreste*, *fr.* 5, Nauck p. 803).

πόσος η, ον, combien grand? combien nombreux? : ἔτι δὲ περὶ τροφῆς, **πόση** δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία 60 a 12 ; πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση 96 a 10 ; τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ **πόσην** ἐνδέχεται ὑπάρξαι 59 b 34 ; δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ **πόσαι** 59 b 25 ; ὅπως διελόμενοι **πόσα** ἐστὶν [sc. τὰ γένη τῆς ῥητορικῆς] 58 a 34 ; ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη 60 a 21 ; τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον... τῷ δὲ ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει 68 b 30 & 32 ; ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα 69 b 29 ; πόσα μὲν οὖν εἴδη παραδειγμάτων... εἴρηται 94 a 17 ; φανερὸν οὖν ἐκ τῶν εἰρημένων πόσα τε εἴδη γνώμης 94 b 27 ; περὶ μὲν οὖν γνώμης, καὶ τί ἐστι καὶ πόσα εἴδη ταύτης... εἰρήσθω ταῦτα 95 b 18 ; καὶ πόσα εἴδη μεταφορᾶς... εἴρηται... ἐν τοῖς περὶ Ποιητικῆς 05 a 3 ; ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει 07 b 4 ; εἴρηται πόσα εἴδη γελοίων ἔστιν ἐν τοῖς περὶ Ποιητικῆς 19 b 6 ; ἐκ **πόσων** καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς 68 b 1 ; δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδικοῦσι 68 b 3 ; περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα 03 b 9. — Voir ὁπόσος.

ποσός, ή, όν, qui est de quelque grandeur ; **τὸ ποσόν**, la quantité : καὶ γὰρ τὶ καὶ ποσὸν καὶ ποιὸν οὕτως ἔχει ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι 64 b 15 ; ἢ ὅτι ποιόν, ἢ ὅτι ποσόν, ἢ καὶ ἅπαντα 16 b 22 ; δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν 19 b 21 ; ἔστι γὰρ καὶ τοῦ **ποσοῦ** ὅρος 18 a 7.

ποταμός (ὁ), rivière, fleuve : ἔφη ἀλώπεκα διαβαίνουσαν **ποταμὸν** ἀπωσθῆναι εἰς φάραγγα 93 b 24 (Ésope).

πότε, quand? à quel moment? : ποῖαι [ἡλικίαι] εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε 79 a 29 ; « Οὔπω γε », ἔφη. — « Ἀλλὰ πότε ; » 80 b 9 ; ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσόνδε ἢ τοιόνδε ἢ πότε ἢ ποῦ 85 b 7 ; πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον, εἴρηται 94 a 17 ; περὶ δὲ γνωμολογίας... περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν 94 a 20 ; περὶ μὲν οὖν γνώμης... πότε χρηστέον αὐτῇ 95 b 19 *var.* ; ἄλλος [τόπος] παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς 01 b 34 ; πῶς αὐτῇ [sc. τῇ φωνῇ] δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ μέσῃ 03 b 28* ; καὶ τὸ ὅτι ἔσται ἢ τὸ πότε, διὸ οἱ χρησμολόγοι οὐ προσορίζονται τὸ πότε 07 b 4-5 ; προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει 08 b 23.

ποτε, un jour, une fois : ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογήσειεν 58 b 32 ; « οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε ζῇ τοῦτο » 73 b 12 & 75 b 1 (= Sophocle, *Antigone*, 456) ; οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων 75 b 33 ; διὸ καὶ ὁρᾶσθαι ἀτυχοῦντες ὑπὸ τῶν ζηλούντων ποτὲ οὐ βούλονται 85 a 1 ; καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντό ποτε 88 a 22 ; οἷον εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦτο 92 b 18 ; « χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων πέφυκ' ἀνήρ » 94 a 29 & 94 b 19 (= Euripide, *Médée*, 294) ; οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσε 95 a 25 ; ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε 99 b 9 ; καὶ παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισομένους 11 a 9 ; « οὐκ ἔστ' ἀδελφὸς ὅς τις ἂν βλάστοι ποτέ » 17 a 33 (= Sophocle, *Antigone*, 912). — Voir οὔποτε, οὐδέποτε, οὐδεπώποτε, μηδεπώποτε, μήποτε, πωποτε.

πότερος, α, ον, lequel des deux? : καὶ τὰς δυνάμεις, **πότερον** ὅμοιαι ἢ ἀνόμοιαι 60 a 2 ; πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν 91 a 9 ; καὶ πότερον γέγονεν ἢ οὐ γέγονεν καὶ ἔσται ἢ οὐκ ἔσται 93 a 20 ; πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω 96 a 9 ; 00 b 4 *var.* ; πότερον σκληρὰν ἢ μα-

λακὴν μάξῃ 16 b 31 ; τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι **ποτέρῳ** πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον... ἄδηλον γὰρ τὸ ἀεί, πρὸς ποτέρῳ δεῖ διαστίξαι 07 b 15 & 18 ; καὶ εἰ ἀμφίβολος [ὁ νόμος], ὥστε στρέφειν καὶ ὁρᾶν ἐπὶ **ποτέραν** τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι 75 b 12 ; τὰ γὰρ παρὰ φύσιν οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, **πότερα** κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται 69 b 3.

Ποτιδαιᾶται (οἱ), les habitants de Potidée : [οἱ Ἀθηναῖοι] τοὺς πρὸς τὸν βάρβαρον ἀριστεύσαντας καὶ συμμαχεσαμένους ἠνδραποδίσαντο, Αἰγινήτας καὶ **Ποτιδαιάτας** 96 a 20.

πότνια (ἡ), souveraine : οἷον ποιεῖ Κλεοφῶν · ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν · « πότνια συκῆ » 08 a 15.

ποῦ, où, à quel endroit? : ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν, εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ ; 75 a 12 ; ποῖαι [ἡλικίαι] εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε 79 a 29 ; ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσόνδε ἢ τοιόνδε ἢ πότε ἢ ποῦ 85 b 7.

που, en quelque sorte : αὐτὸν δή που τὸν δικαστὴν δεῖ γιγνώσκειν 54 a 30 ; καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ 75 b 8 ; ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς 76 b 29 ; διήγησις γάρ που τοῦ δικανικοῦ μόνου λόγου ἐστὶν 14 a 38 ; ἀλλ' ἐν τῷ προλόγῳ γέ που 15 a 20.

πούς (ὁ), pied : « τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες **ποσὶν** » 11 b 30 (= Euripide, *Iphigénie à Aulis*, 80) ; « ἔστειχε δ' ἔχων ὑπὸ **ποσσὶ** χίμεθλα » 12 a 31 (parodie).

πρᾶγμα (τὸ), affaire, fait en question, sujet traité : ἔτι δὲ φανερὸν ὅτι τοῦ μὲν ἀμφισβητοῦντος οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα ὅτι ἔστιν ἢ οὐκ ἔστιν ἢ γέγονεν ἢ οὐ γέγονεν 54 a 28 ; « πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ » 70 a 11 (= Événus de Paros, *fr.* 8 Bergk) ; αὐτοὶ μὲν οὖν [ἀδικοῦσιν] ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὐτοῖς δυνατόν 72 a 6 ; ἐὰν δὲ ὁ γεγραμμένος [νόμος] ᾖ πρὸς τὸ πρᾶγμα 75 b 16 ; τοῦτο δ' ἐστὶν ὅταν, μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα 01 b 5 ; οἰκειότερον τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων 05 b 12 ; πιθανοῖ δὲ τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις 08 a 20 ; ἂν μὴ τὸ πρᾶγμα τὸ λεγόμενον τελειωθῇ 09 a 31 ; ἀναγκαῖον γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τοῦτ' ἀποδεῖξαι 14 a 32 ; οἷον ἐὰν μικρὸς ὁ λόγος ἢ τὸ πρᾶγμα εὐμνημόνευτον 14 b 6 ; διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ 15 a 24 ; οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν 15 b 8 ; καὶ [προοιμιάζονται] οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες 15 b 22 ; καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου [ἐν τοῖς δημηγορικοῖς λόγοις] 15 b 35 ; ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρει ἓν ψέξαι 16 b 6 ; τοῦτο δ' ἐστὶ τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα 16 b 36 ; ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις 19 b 31 ; οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέγουσιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως, περὶ δὲ τῶν ἔξω τοῦ **πράγματος** τὰ πλεῖστα πραγματεύονται · διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ περὶ τοῦ πράγματός ἐστιν, ἀλλὰ πρὸς τὸν δικαστήν 54 a 15-18 ; οἱ δὲ καὶ χρῶνται καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν 54 a 22 ; φανερὸν ὅτι τὰ ἔξω τοῦ πράγματος τεχνολογοῦσιν ὅσοι τἆλλα διορίζουσιν 54 b 17 ; ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς 54 b 27 ; διὸ καὶ πολλαχοῦ... ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος 55 a 2 ; ὅτι μὲν οὖν τὰ ἔξω τοῦ πράγματος οἱ ἄλλοι τεχνολογοῦσι... φανερόν 55 a 19 ; καὶ αἱ μὲν [μαρτυρίαι] περὶ τοῦ πράγματος, αἱ δὲ περὶ τοῦ ἤθους 76 a 25 ; εἰ μὴ γὰρ κατὰ τοῦ πράγματος ἢ αὐτῷ ὁμολογουμένης ἢ τῷ ἀμφισβητοῦντι

ἐναντίας 76 a 27; ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν, οἷον περὶ δικαιοσύνης 96 a 31; καὶ περιγράφοντα ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος 96 b 8; κἂν ᾖ ἐπιζήμιον, εἰ ἐλάττων ἡ ζημία τοῦ πράγματος 99 b 39; διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις 07 b 2; εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος καὶ τὸ ἀλλότριον 14 a 13; λέγεται δὲ ταῦτα ἔκ τε τοῦ λέγοντος καὶ τοῦ ἀκροατοῦ καὶ τοῦ πράγματος καὶ τοῦ ἐναντίου 15 a 27; πρὸς φαῦλον γὰρ ἀκροατὴν καὶ τὰ ἔξω τοῦ πράγματος ἀκούοντα 15 b 6; δεῖ δὲ καὶ ὁρᾶν εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος 17 b 37; φανερὸν γὰρ ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος [νόμος] τῷ **πράγματι**, τῷ κοινῷ χρηστέον 75 a 28; καὶ οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες· πανταχοῦ γὰρ βέλτιον διατρίβειν ἢ ἐν τῷ πράγματι 15 b 22-23; ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι 16 a 37; τὰ μέντοι ὑποκείμενα **πράγματα** οὐχ ὁμοίως ἔχει 55 a 36; καὶ ὧν αἱ ἐπιστῆμαι καλλίους ἢ σπουδαιότεραι, καὶ τὰ πράγματα καλλίω καὶ σπουδαιότερα 64 b 8; ὥρισται γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον 64 b 18; διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστίν, καὶ ἄνθρωποι καὶ πράγματα 71 a 29; καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος 75 b 14; καὶ ὅταν ἔχωσιν ἃ καταισχύνουσιν ἔργα καὶ πράγματα 85 a 2; ἓν μὲν γάρ ἐστιν παραδείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα, ἓν δὲ τὸ αὐτὸν ποιεῖν 93 a 29; ἔστιν δὲ τὸ μὲν πράγματα λέγειν τοιόνδε τι 93 a 31; ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν 94 a 3; αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν 03 b 19; « χλωρὰ καὶ ἔναιμα τὰ πράγματα » 06 b 9 (Gorgias); εἰ καὶ μὴ οὕτως ἔχει ὡς ὁ λέγων, τὰ πράγματα οὕτως ἔχειν 08 a 22; τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι 17 b 32; λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν **πραγμάτων**, ἀλλὰ μὴ μόνον λόγων 59 b 15; καὶ ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοί τινων πραγμάτων 87 b 10; καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων 89 b 17; περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων καὶ μείζονός τε καὶ ἐλάττονος 93 a 9; κυριώτερα γάρ ἐστιν πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων 93 a 18; ἔτι δὲ περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα 93 a 22; χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων 94 a 7; ἄλλος [τόπος] τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ **πράγμασιν**, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου 00 a 25; δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι τοῖς πράγμασιν, ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι περίεργά ἐστιν 04 a 6; τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον 08 a 11. — Voir ἔργον, πρᾶξις.

πραγματεία (ἡ), étude d'une question ou manière de la traiter, traité didactique : καλλίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς **πραγματείας** οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα 54 b 24; ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας 56 a 26; πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν [τὰς συνθήκας] οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας 76 b 4; ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν 04 a 2.

πραγματεύεσθαι, traiter une question dans un ouvrage didactique : περὶ δὲ τῶν ἔξω τοῦ πράγματος τὰ πλεῖστα **πραγματεύονται** 54 a 16; οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν 54 b 20; πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας 56 a 17; ἐπεὶ δὲ δὴ τρία ἐστὶν ἃ δεῖ **πραγματευθῆναι** περὶ τὸν λόγον, ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμημάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν... εἰρήσθω ἡμῖν τοσαῦτα 03 a 32; ἐπειδὴ τρία

ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου 03 b 6 ; δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν ποιητικήν, ὅπερ ἕτεροί τινες **ἐπραγματεύθησαν** καὶ Γλαύκων ὁ Τήϊος 03 b 26.

πρακτικός, ή, όν, qui a rapport à l'action, efficace, pratique (homme d'action) : ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις, ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον 61 b 37 ; ἔστω δὴ τὸ φιλεῖν τὸ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα ἀλλὰ μὴ αὐτοῦ, καὶ τὸ κατὰ δύναμιν **πρακτικὸν** εἶναι τούτων 81 a 1 ; ἔστω δὴ εὐδαιμονία... ἢ εὐθενία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε καὶ **πρακτικῆς** τούτων 60 b 17 ; ἀνδρεία δὲ [ἡ ἀρετὴ] δι' ἣν **πρακτικοί** εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις 66 b 11 ; αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ καὶ οἱ ἔμπειροι πολλῶν ἀγώνων 72 a 12 ; καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοὶ 88 b 35 ; ὥστε οὔτ' ἐπιθυμητικοὶ [οἱ πρεσβύτεροι], οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος 90 a 13 ; καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι... καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσι καὶ πρακτικαί 62 b 4 ; ἢ μείζων γιγνόμενος βελτίων καὶ πρακτικώτερος 67 b 17 *var.* — Voir ποιητικός.

πρᾶξις (ἡ), action, acte, accomplissement : τὰ δ' ἔργα σημεῖα τῆς **πράξεώς** ἐστιν 67 b 32 *var.* ; καὶ μὴ πρὸς τὴν **πρᾶξιν**, ἀλλὰ πρὸς τὴν προαίρεσιν [ἐπιεικές] 74 b 14 ; ἔστι δ' ἡ γνώμη ἀπόφανσις, οὐ μέντοι οὔτε περὶ τῶν καθ' ἕκαστον, ... ἀλλὰ καθόλου, οὔτε περὶ πάντων, ... ἀλλὰ περὶ ὅσων αἱ **πράξεις** εἰσί 94 a 24 ; ἐπεὶ δ' ἐκ τῶν **πράξεων** ὁ ἔπαινος 67 b 21 ; καὶ ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοί τινων πράξεων 87 b 10 *var.* ; εἴ τι ἀνομολογούμενον ἐκ τόπων καὶ χρόνων καὶ πράξεων καὶ λόγων 00 a 17 ; οὐθὲν γὰρ αἴτιος ὁ λέγων τῶν πράξεων 16 b 20 ; πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς αἱ τῶν περὶ τὰς **πράξεις** γραφόντων ἱστορίαι [χρήσιμοι] 60 a 36 ; ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις, τὸ δὲ συμφέρον ἀγαθόν 62 a 20 ; δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι ὡς τοιαῦται 67 b 28 ; τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος 68 a 28 ; καὶ τὰς πράξεις καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων 86 b 3 ; δεῖ μὲν γὰρ τὰς πράξεις διελθεῖν ἐξ ὧν ὁ λόγος 16 b 18 ; ἴσασι γὰρ πάντες τὰς πράξεις, ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ 16 b 28. — Voir ἔργον, πρᾶγμα.

πρᾶος, πραεῖα, πρᾶον, doux, bon, facile : οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον χρηστὸν ἢ τὸν ἀνάλγητον **πρᾶον** 67 a 35 ; ληπτέον πῶς ἔχοντες **πρᾶοί** εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι 80 a 7 ; φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν... πρᾶοί εἰσιν 80 a 12 ; καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι πρᾶοί εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, κ. τ. α. 80 b 2 ; πρᾶοι γὰρ γίγνονται ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν 80 b 10 ; καὶ τῶν ἠδικημένων καὶ ἐχθρῶν ἢ ἀντιπάλων οὐχ οἱ ὀξύθυμοι καὶ παρρησιαστικοί, ἀλλὰ οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι [φοβεροί] 82 b 20. — Voir πράως.

πραότης (ἡ), douceur, calme : μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία 66 b 2 ; ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι καὶ ὀργὴ **πραότητι**, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι 80 a 7.

πρᾶσις (ἡ), vente : λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ **πρᾶσιν** 61 a 22.

πράττειν, faire, agir, accomplir, pratiquer : τὰ μὲν γὰρ παρασκευάζοντα, ταύτην [sc. τὴν εὐδαιμονίαν] ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα,

δεῖ πράττειν, τὰ δὲ φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα μὴ πράττειν 60 b 12-13 ; δύναμις τοῦ λέγειν, τοῦ πράττειν [ἀγαθά] 62 b 23 ; προαιροῦνται δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ τοῖς ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά 63 a 20 ; οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν 63 a 31 ; καὶ ὅσα οὓς θαυμάζουσι προαιροῦνται πράττειν 63 a 35 ; καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά 65 b 9 ; ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν καὶ ποῖόν τινα εἶναι δεῖ 68 a 1 ; ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά 69 a 5* ; ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ ἄλλοι οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξουσιν 69 a 17* ; καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ · τὸ γὰρ σύνηθες ἡδὺ ἦν 71 a 24 ; διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην 72 a 17 ; καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμενοι 73 a 25 ; ὥρισται γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν καὶ μὴ πράττειν 73 b 20* ; ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶν τῷ πάσχοντι 78 b 24 ; καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων [οἱ νέοι] 89 a 32 ; διὰ τὸ ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν 91 a 24 ; ἔστι δ' ἡ γνώμη ἀπόφανσις... περὶ ὅσων πράξεις εἰσί, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν 94 a 25 ; ταῦτα γάρ ἐστιν ἃ ἐὰν μὲν ὑπάρχῃ δεῖ πράττειν, ἐὰν δὲ μὴ ὑπάρχῃ, μὴ πράττειν 99 b 36-37 ; ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον 17 a 36 ; καὶ ὅσα μὴ αὐτοῦ ἕνεκα **πράττει** τις τῶν αἱρετῶν [ἀγαθὰ καὶ καλά] 66 b 36 ; « καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει (*var.* πράσσειν) » 92 b 8 (= Agathon, *fr.* 8, Nauck p. 765 = Snell p. 163) ; ἄλλος [τόπος], εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν 00 a 40* ; περὶ ὧν μὲν γὰρ **πράττουσι**, βουλεύονται καὶ σκοποῦσι, τὰ δὲ πραττόμενα πάντα τοιούτου γένους ἐστί 57 a 25* ; πάντες δὴ πάντα πράττουσι τὰ μὲν οὐ δι' αὑτούς, τὰ δὲ δι' αὑτούς · τῶν μὲν οὖν μὴ δι' αὑτούς, τὰ μὲν διὰ τύχην πράττουσι, τὰ δ' ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης τὰ μὲν βίᾳ, τὰ δὲ φύσει, ὥστε πάντα ὅσα μὴ δι' αὑτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ 68 b 33-34-36 ; 69 a 5 (*supra*) ; οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα, ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν 69 a 10 ; ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν, ἀλλὰ δι' ἡδονήν 69 b 10 ; ὥστε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὑτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα · ἐπεὶ δ' ὅσα δι' αὑτούς, ἑκόντες πράττουσιν, οὐχ ἑκόντες δὲ ὅσα μὴ δι' αὑτούς, πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα 69 b 19-21-22 ; πάντα γὰρ ἄγαν πράττουσιν [οἱ νέοι] 89 b 4 ; πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσιν, πράττουσιν 92 b 20 ; σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττουσι καὶ φεύγουσιν 99 b 35 ; ἔτι δὲ τἀναντία δεῖ δύνασθαι πείθειν... οὐχ ὅπως ἀμφότερα **πράττωμεν**, ... ἀλλ' ἵνα μήτε λανθάνῃ πῶς ἔχει 55 a 31 ; πειρατέον δεικνύναι **πράττοντα** κατὰ προαίρεσιν 67 b 22 ; διὸ οἱ μεγάλα **πράττοντες** καὶ οἱ εὐτυχοῦντες φθονεροί εἰσιν 87 b 29 ; βίᾳ δὲ ὅσα παρ' ἐπιθυμίαν ἢ τοὺς λογισμοὺς γίγνεται δι' αὐτῶν τῶν **πραττόντων** 69 b 6 ; δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως **πράττουσι** κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν 86 b 12 ; δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὕτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν 86 b 29 ; ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον καὶ ἃ **ἔπραττεν** καὶ οἷος ἦν 70 b 27 ; ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ διὰ τὴν ἐπιθυμίαν 69 a 14 ; οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξουσιν 69 a 17* (*supra*) ; οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ **πράξων** 64 a 23 ; μέχρι γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ

ἀδύνατα **πρᾶξαι** 59 b 1 ; καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθος 72 b 17 ; καὶ τοὺς μὴ δεινοὺς εἰπεῖν ἢ πρᾶξαι [ἀδικοῦσιν] 73 a 6 ; οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι 80 a 35 ; 86 a 12 *var.* (corr. : ὑπάρξαι) ; καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχεν γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι 98 a 21 ; πολλάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον 00 b 3 ; « Οὐκοῦν σὺ ταῦτα **ἔπραξας** τὰ πονηρά ; » 19 a 30 ; ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες οὐ σκοποῦσιν εἰ συμφέροντα ἔπραξεν ἢ βλαβερά, ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας τοῦ αὑτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν 59 a 1-3 ; 75 a 34 *var.* ; οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ ἐπείρασε, καὶ ἔπραξεν... οἷον εἰ ἐβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξεν, ἐπείρασεν 92 b 28 & 30 ; « οἱ μὲν γὰρ χρήματα λαβόντες ταῦτα **ἔπραξαν**, ἐγὼ δὲ οὔ, ἀλλὰ γνώμῃ » 19 a 35 ; **πράξωσιν** 64 a 23 (*infra*) ; ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ **πράξαντος** μᾶλλον ἀδικεῖν · οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου · πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος · οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων · τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν 64 a 20*-21-23* ; **πράξαντα** 64 a 21 (*supra*) ; αὐτοὶ μὲν οὖν ὅταν οἴωνται εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὐτοῖς δυνατόν, εἴτε ἂν λαθεῖν **πράξαντες**, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην 72 a 6-7 ; διὸ καὶ ἐγκωμιάζομεν **πράξαντας** 67 b 31 ; ἐπεὶ δ' ὁμολογοῦντες πολλάκις **πεπραχέναι** ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν ἢ περὶ ὃ τὸ ἐπίγραμμα 74 a 1 ; καὶ εἰ ἐδύνατο καὶ ἐβούλετο, **πέπραχε** · πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν 92 b 19-20 ; ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν · φανερὸν γὰρ ὅτι, εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν 00 a 40*-00 b 1 ; χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι **πεπραχότα** 67 b 23 ; ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ **πεπραγότα** (*var.* πεπραχότα), εἰ πιστεύοιμεν εἶναι τοιοῦτον 67 b 32 ; ἄλλος [τόπος], ὅταν τι ἐναντίον μέλλῃ **πράττεσθαι** τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν 00 b 5-6 ; δι' ἐπιθυμίαν δὲ **πράττεται** ὅσα φαίνεται ἡδέα 69 b 15 ; ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκούσια κατὰ συνθήκας 76 b 11 ; ὅταν διὰ τὸ συμφέρειν **πράττηται** 69 b 9 ; τὰ δὲ **πραττόμενα** πάντα τοιούτου γένους ἐστί 57 a 25 (*supra*) ; τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίεργον 69 a 8 ; ἔτι εἰ πρὸ ὀμμάτων ποιεῖ [ἡ μεταφορά], ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον ἢ μέλλοντα 10 b 34 ; ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει 17 a 12-13 ; **πραχθήσεσθαι** 59 a 11 & 13 ; ἐπεὶ δὲ οὔτε **πραχθῆναι** οἷόν τε οὔτε πραχθήσεσθαι τὰ ἀδύνατα, ἀλλὰ τὰ δυνατά, οὐδὲ τὰ μὴ γενόμενα ἢ μὴ ἐσόμενα οὐχ οἷόν τε τὰ μὲν πεπρᾶχθαι, τὰ δὲ πραχθήσεσθαι 59 a 11*-13* ; οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου 64 a 20 (*supra*) ; δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι 72 a 6 (*supra*) ; ἐπειδὴ τὸ αὐτὸ ἐνδέχεται πλειόνων ἕνεκα πραχθῆναι 16 b 10 ; εἰ μὴ ἔχοιμεν... τὰ ὑπὲρ τῶν Ἡρακλειδῶν **πραχθέντα** 96 a 14 ; **πεπρᾶχθαι** 59 a 13 (*supra*) ; οὐκοῦν ταῦτα καὶ πεπρᾶχθαι · συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον 01 b 1 ; ἀνάγκη ὅσα τε ἀνδρείας ἔργα ἢ σημεῖα ἀνδρείας ἢ ἀνδρείως **πέπρακται** καλὰ εἶναι 66 b 30 ; οἷον εἰ πέπρακται, ἀλλ' οὐκ ἄδικον 17 a 11 ; ἔτι **πεπραγμένα** δεῖ λέγειν ὅσα... 17 a 12 (*supra*) ; δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν 19 b 21 ; περὶ γὰρ τῶν **πεπραγμένων** ἀεὶ ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπολογεῖται 58 b 16 ; « ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν » 11 b 3 (Iphicrate) ; ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς **πεπραγμένοις** 00 b 6 (*supra*). — Voir ποιεῖν.

Πράτυς (ὁ), Pratys : καὶ τὸ τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ **Πράτυος**, ὥσπερ εἴκασεν Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι 13 a 8-9.

πραΰνειν, apaiser, calmer, adoucir : δῆλον οὖν ὅτι τοῖς πραΰνειν βουλομένοις ἐκ τούτων τῶν τόπων λεκτέον 80 b 30 *var.* (voir καταπραΰνειν) ; ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ **πραΰνοντα** 80 a 32 ; ἐπεὶ δὲ τῷ ὀργίζεσθαι ἐναντίον τὸ **πραΰνεσθαι** καὶ ὀργῇ πραότητι, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων **πραΰνονται** 80 a 6-8.

πράϋνσις (ἡ), retour au calme, apaisement (après la colère) : ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς 80 a 9.

πραϋντικός, ή, όν, propre à calmer, à adoucir : ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ **πραϋντικά** 80 a 32 *var.* — Voir πραΰνειν.

πράως, avec douceur, avec calme ; **πράως ἔχειν**, être dans un *habitus* de calme : οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν 77 b 32 ; ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται 80 a 8.

πρέπειν, convenir, être convenable : οὐ γὰρ ἡ αὐτὴ **πρέπει** ἐσθῆς 05 a 14 ; ἐν μὲν γὰρ ποιήσει πρέπει « γάλα λευκὸν » εἰπεῖν 06 a 12 ; καὶ μήτε ταπεινὴν [τὴν λέξιν], μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν · ἡ γὰρ ποιητικὴ ἴσως οὐ ταπεινή, ἀλλ' οὐ **πρέπουσα** λόγῳ 04 b 4-5 ; **πρέπουσαν** 04 b 4 (*supra*) ; τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι [τὴν λέξιν], ἀλλὰ πρέπουσαν ; 14 a 25 ; ἀλλ' ἔστι καὶ ἐν τούτοις ἐπισυστελλόμενον καὶ αὐξανόμενον τὸ **πρέπον** 04 b 18 ; τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον 08 a 10 ; ἐπὶ τὸ μεῖζον γὰρ ἐξαλλάττει τοῦ **πρέποντος** 04 b 31 ; καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος 14 a 28 ; τὰ **πρέποντα** 68 a 15 *var.*

πρεσβύτερος (ὁ), homme âgé, vieillard (voir 89 b 13-90 a 23) : διὸ **πρεσβυτέρῳ** λέγειν [ὑπερβολὰς] ἀπρεπές 13 b 1 ; καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ **πρεσβύτεροι** ἢ τρυφῶντες 83 b 33 ; τοιοῦτοι δ' οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι 84 a 32 ; εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἄν... οἱ πρεσβύτεροι καὶ διὰ τὸ φρονεῖν καὶ δι' ἐμπειρίαν 85 b 25 ; διὸ πρεσβύτεροί τε νεωτέροις, καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν 88 a 22 ; τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος, οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη 89 b 13 ; εἰσὶν γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι, οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί 90 b 6 ; τῶν μὲν οὖν νέων καὶ τῶν **πρεσβυτέρων** τὰ ἤθη τοιαῦτα 90 a 24 ; ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρων, περὶ δὲ τούτων ὧν ἔμπειρός τίς ἐστιν 95 a 3 ; ἰδίᾳ δὲ εὐγένεια... καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ **πρεσβυτέρους** 60 b 38. — Voir γέρων, νέος.

πρεσβύτης (ὁ), vieillard : εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει 69 a 27.

Πρίαμος (ὁ), Priam : « ἦ κεν γηθήσαι Πρίαμος » 62 b 36 (= *Iliade*, I, 255) ; ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέξανδρος ὁ **Πριάμου** 14 b 39 ; « κάδ δέ κεν εὐχωλὴν **Πριάμῳ** » 63 a 6 (= *Iliade*, II, 176) ; κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ · ἡ γὰρ Ἡσιόνη ἀδελφή · ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελάμων 16 b 2-3.

πρίασθαι, acheter : « τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας » 99 a 27 (proverbe).

πρίν, avant de, avant que : πρὶν ἐπεξελθεῖν 72 a 20 ; οὐ πρότερον... πρὶν... ἔλαβεν 93 b 1 & 2 ; πρὶν ποιῆσαι 97 b 35 ; πρὶν βοηθῆσαι 98 a 1 ; πρὶν γενναῖόν τι πρᾶξαι 98 a 20 ; πρὶν θανάτου δρᾶν ἄξιον 12 b 18 ; πρὶν ἐπερωτῆσαι 19 a 22.

πρῖνος (ὁ, ἡ), yeuse, chêne vert : καὶ ἡ Περικλέους [εἰκὼν]... εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς **πρίνοις** · τούς τε γὰρ **πρίνους** ὑφ' αὑτῶν κατακόπτεσθαι, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους 07 a 4-5.

πρὸ, devant, avant, pour, en faveur de (prép. avec le génitif) : πρὸ ἔργου 54 b 27 & 32 ; 59 a 36 ; 59 b 16 ; [πρὸ τοῦ τὰς ἀνάγκας ἰδεῖν 77 a 7-8] ; πρὸ ὀμμάτων 86 a 34 ; 05 b 12 ; 10 b 34 ; 11 a 26, 27, 35 ; 11 b 4, 5, 8, 23, 24, 25 ; πρὸ ἐκείνου 92 b 26 ; σύνδεσμον πρὸ συνδέσμου 07 a 25 ; πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου 07 b 28 ; « πρὸ μέν τ' ἀλλ', αὐτὰρ ἐπ' ἄλλα » 12 a 9 (= *Iliade*, XIII, 799).

προάγειν, faire avancer, exciter, pousser à : διὸ πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν 15 a 38 ; οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν εἰς ὀργὴν **προάγοντας** ἢ φθόνον ἢ ἔχθραν 54 a 25 ; οὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου **προαγαγεῖν** 55 b 13 ; διὰ δὲ τῶν ἀκροατῶν [τὸ πιθανόν], ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου **προαχθῶσιν** 56 a 14.

προαιρεῖσθαι, élire, choisir après réflexion : τῷ προαιρεῖσθαι γὰρ ὁ ἄδικος ἄδικος 82 a 34 ; οὐδεὶς γὰρ ὃ **προαιρεῖται** ἀγνοεῖ 68 b 12 ; δῆλον γὰρ ὅτι προαιρεῖται μὲν ὅταν ὑβρίζηται, ἀεί, δύναται δὲ νῦν 82 b 1 ; οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται 00 b 2 ; **προαιροῦνται** δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ τοῖς ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά 63 a 20 ; οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν 63 a 30 ; καὶ ὅσα οὓς θαυμάζουσι προαιροῦνται πράττειν 63 a 35 ; δι' ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον κακία ἐστὶν καὶ ἀκρασία 68 b 13 ; οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται ⟨ἐπεξιέναι⟩ φοβούμενοι τοὺς κριτάς 72 b 36 ; ποῖα δὲ προαιροῦνται καὶ πῶς ἔχοντες, εἴρηται πρότερον 73 b 37 ; εἴρηται δὲ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοὶ 88 b 35 ; καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' ὁπότερ' ἂν **προαιρῆταί** τις ἄγειν 82 a 19 ; ταῦτα δ' ἂν μὴ τἀναντία προαιρῆται 07 a 33 ; ὅσα μὲν οὖν ἑκόντες, οὐ πάντα **προαιρούμενοι**, ὅσα δὲ προαιρούμενοι, εἰδότες ἅπαντα · οὐδεὶς γὰρ ὃ προαιρεῖται ἀγνοεῖ 68 b 11*-12 ; « ἐγὼ δὲ ἐβουλόμην · καὶ **προειλόμην** γὰρ τοῦτο » 17 a 25 ; ὅτι ὁ Διομήδης **προείλετο** 'Οδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν 99 b 30 ; οἷον ὅτι ὁ Διομήδης τὸν 'Οδυσσέα προείλετο 16 b 13 ; καὶ τούτων τὰ μὲν **προελομένου**, τὰ δὲ διὰ πάθος 73 b 36.

προαίρεσις (ἡ), élection, intention, choix raisonné : τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος 66 a 15* ; ἦθος δὲ ἔχουσιν οἱ λόγοι ἐν ὅσοις δήλη ἡ προαίρεσις 95 b 14 ; ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν, ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην, ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει 17 a 17-18 ; ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ **προαιρέσεως** 67 b 26 ; καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως 17 a 25 ; ἡ γὰρ σοφιστικὴ οὐκ ἐν τῇ δυνάμει, ἀλλ' ἐν τῇ **προαιρέσει** 55 b 18 ; διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον 67 b 25 ; ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή 74 a 11-13 ; ἐν προαιρέσει 07 a 35 *var.* ; πλὴν ἐνταῦθα μὲν ἔσται ὁ μὲν κατὰ τὴν ἐπιστήμην, ὁ δὲ κατὰ τὴν **προαίρεσιν** ῥήτωρ, ἐκεῖ δὲ σοφιστὴς μὲν κατὰ τὴν προαίρεσιν, διαλεκτικὸς δὲ οὐ κατὰ τὴν προαίρεσιν, ἀλλὰ κατὰ τὴν δύναμιν 55 b 19-20-21 ; 66 a 15 (*supra*) ; ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν 67 b 22-23 ; κατὰ προαίρεσιν 67 b 24 *var.* ; 74 a 13 (*supra*) ; καὶ μὴ πρὸς τὴν πρᾶξιν, ἀλλὰ πρὸς τὴν προαίρεσιν [ἐπιεικές] 74 b 14 ; δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν συνδηλοῦν 95 a 28 ; 17 a 17 (*supra*) ; διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθη-

ματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν (τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν), ἀλλ' οἱ Σωκρατικοί 17 a 20 ; οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις 18 a 17 ; αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν διὰ τὸ ἀποφαίνεσθαι τὸν τὴν γνώμην λέγοντα καθόλου περὶ τῶν **προαιρέσεων** 95 b 15.

προαιρετός, ή, όν, qu'on choisit librement, que l'on décide spontanément : καὶ ὅλως τὰ **προαιρετά** · προαιροῦνται δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά 63 a 19 ; περὶ τῶν **προαιρετῶν** 95 b 15 *var.* — Voir προαίρεσις.

προαισθάνεσθαι, s'apercevoir d'avance : ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὑτοῖς χαίρουσι **προαισθανόμενοι** 00 b 35.

προαναιρεῖν, réfuter d'avance : ἃ γὰρ ἐροῦσι **προανελὼν** οὕτως τότε αὐτὸς εἶπεν 18 b 11.

προανακινεῖν, remuer (les bras) en guise de préambule : οὐδὲν γὰρ προεξαγκωνίσας οὐδὲ **προανακινήσας** εὐθὺς ἄρχεται 16 a 2.

προαυλεῖν, exécuter sur la flûte, en guise d'ouverture, un air de virtuosité : καὶ γὰρ οἱ αὐληταί, ὅ τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο **προαυλήσαντες** συνῆψαν τῷ ἐνδοσίμῳ 14 b 23.

προαύλιον (τὸ), prélude joué sur la flûte : τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον · ... τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ 14 b 20 & 22.

πρόβλημα (τὸ), problème (dialectique) : τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι, τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα, τὸ δὲ ἀπόδειξις 14 a 36.

πρόβουλος (ὁ), membre du Conseil : οἷον Σοφοκλῆς, ἐρωτώμενος ὑπὸ Πεισάνδρου εἰ ἔδοξεν αὐτῷ, ὥσπερ καὶ τοῖς ἄλλοις **προβούλοις**, καταστῆσαι τοὺς τετρακοσίους, ἔφη 19 a 27.

προγίγνεσθαι, se produire auparavant : καὶ εἰ **προγέγονε** ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι 93 a 5 ; ἐκ γὰρ τῶν **προγεγονότων** τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν 68 a 30 ; ἓν μὲν γάρ ἐστιν παραδείγματος εἶδος τὸ λέγειν πράγματα **προγεγενημένα**, ἓν δὲ τὸ αὐτὸν ποιεῖν 93 a 29.

προγιγνώσκειν, connaître ou comprendre d'avance : τούτων δ' ἀνάγκη τὰς μὲν διὰ τὸ **προεγνῶσθαι** μηδὲν δεῖσθαι ἐπιλόγου 94 b 11.

πρόγονοι (οἱ), les ancêtres : καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα 88 b 8 ; καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν **προγόνων** καὶ τῶν προϋπηργμένων 67 b 13 ; καὶ πρὸς οὓς ἔχουσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγόνους ἢ ὧν κήδονται [ἀδικοῦσι] 73 a 1-2 ; καὶ ὅταν ἔχωσιν ἃ καταισχύνουσιν ἔργα καὶ πράγματα ἢ αὐτῶν ἢ προγόνων ἢ ἄλλων τινῶν πρὸς οὓς ὑπάρχει αὐτοῖς ἀγχιστεία τις [αἰσχύνονται] 85 a 2 ; ἡ δ' εὐγένεια ἐντιμότης προγόνων ἐστὶν 90 b 18 ; καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶν τοῖς **προγόνοις** αὐτῶν 90 b 19 ; **προγόνους** 73 a 2 (*supra*).

προδιαβάλλειν, accuser d'avance, prendre les devants pour accuser : ὥσπερ γὰρ ἄνθρωπον **προδιαβεβλημένον** οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον 18 b 14 ; ἄλλος [τόπος] τοῖς **προδιαβεβλημένοις** καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου 00 a 24.

προδιασύρειν, décrier par avance, affaiblir d'avance une argumentation : ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον, ὕστερον δὲ πρὸς τἀναντία ἀπαντᾶν λύοντα καὶ **προδιασύροντα** 18 b 9.

προδιαχωρεῖν, se séparer le premier de quelqu'un : καὶ οἷς ἂν ἐγκεκληκότες ὦσιν καὶ **προδιακεχωρηκότες** [ἀδικοῦσιν] 73 a 19.

προδιδόναι, livrer, trahir : ἢ διειλέχθαι μὲν τοῖς πολεμίοις, ἀλλ' οὐ **προδοῦναι** 74 a 6 ; « οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας » 13 b 24 ; ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ **προδοίη** ἂν τὰς ναῦς ἐπὶ χρήμασιν · οὐ φάσκοντος δέ, εἶτα εἶπεν · « σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν **προδοίης**, ἐγὼ δ' ὢν Ἰφικράτης ; » 98 a 6-8.

προδιήγησις (ἡ), pré-narration, narration préalable : ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον καὶ ἐπιδιήγησις καὶ προδιήγησις, καὶ ἔλεγχος καὶ ἐπεξέλεγχος 14 b 15.

Πρόδικος (ὁ), Prodicos : τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν τῆς πεντηκονταδράχμου αὐτοῖς 15 b 15.

προδοξάζειν, juger d'avance, avoir une prévention : δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ **προδεδοξάσθαι** ποιόν τινα εἶναι τὸν λέγοντα 56 a 10.

προεδρία (ἡ), préséance, présidence : μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, **προεδρίαι**, τάφοι, εἰκόνες, κ. τ. α. 61 a 35.

προειδέναι, prévoir, connaître d'avance : ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστιν τοῦ λόγου, ἵνα **προειδῶσι** περὶ οὗ ἦν ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια 15 a 13. — Voir προϊδεῖν, προορᾶν.

προεικάζειν, conjecturer, présumer : προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα **προεικάζοντες** 58 b 20.

προειπεῖν, dire d'abord, commencer par dire : ἢ τοῦτο **προειπόντα** ἐπειπεῖν τὰ ἔμπροσθεν 94 b 32 ; διὸ εἰπόντα μὴ ἀποδεῖξαι ἢ ἀποδεῖξαι μὴ προειπόντα ἀδύνατον 14 a 33. — Voir προλέγειν.

προελθεῖν, progresser : 03 b 36 : voir προέρχεσθαι.

προεμβάλλειν, insérer auparavant : ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου **προεμβέβληνται** σύνδεσμοι 07 a 29.

προεξαγκωνίζειν, faire de grands gestes en guise de préambule : οὐδὲν γὰρ **προεξαγκωνίσας** οὐδὲ προανακινήσας εὐθὺς ἄρχεται · « Ἦλις, πόλις εὐδαίμων » 16 a 2 (Gorgias).

προεπιπλήττειν, prendre les devants pour adresser un reproche : δεῖ γὰρ αὐτὸν αὐτῷ προεπιπλήττειν 08 b 3 ; *var.* προσεπιπλήττειν.

προεπιχειρεῖν, entreprendre d'abord : καὶ ὅταν **προεπιχειροῦντες** ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται 83 b 8 *var.*

προέρχεσθαι, s'avancer, progresser : οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ **προῆλθεν** 03 b 36.

προετικός, ή, όν, qui laisse aller, qui dépense facilement : καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις 67 b 6.

πρόθεσις (ἡ), proposition, projet, dessein : τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι, τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα, τὸ δὲ ἀπόδειξις 14 a 35 ; ἀναγκαῖα ἄρα μόρια πρόθεσις καὶ πίστις. Ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος 14 b 7-8 ; ἔστι γὰρ ἡ εἰκών, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα **προθέσει** 10 b 18 ; ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς **πρόθεσιν** 92 a 3.

προθυμία (ἡ), ardeur, empressement : « τελεσφόρον ᾠήθη τὴν **προθυμίαν** αὐτῶν γενήσεσθαι » 06 a 2 (Alcidamas).

προθύμως, avec empressement : ἢ εἰ μεγάλα, ἢ εἰ προθύμως, ἢ εἰ ἐν τοιούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα 81 a 12.

προϊδεῖν, prévoir : οὐ γὰρ δυνατὸν ταῦτα τὸν νομοθέτην προϊδεῖν 54 b 16 ; 15 a 13 *var.* — Voir προειδέναι, προορᾶν.

προϊέναι (προίημι), rejeter, abandonner, négliger : ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις **προΐενται** 58 b 34 ; εἶτα ἡ ἐλευθεριότης · προΐενται γὰρ καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι 66 b 7 ; ἄτοπον οὖν εἰ διότι **προεῖτο** καὶ ἐπίστευσεν μὴ διήσουσιν 98 a 2.

προκαλεῖσθαι, exciter, provoquer : ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι **προκαλέσαιτο** 77 a 21. — Voir πρόκλησις.

προκεῖσθαι, être proposé ; **τὰ προκείμενα**, le but fixé : ἐπεὶ δὲ **πρόκειται** τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον 62 a 17 ; ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ **προκείμενον** τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον 93 a 14 ; περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν, πῶς τε καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν **προκειμένων** 55 b 23.

πρόκλησις (ἡ), provocation, défi : καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη [sc. ἡ πρὸς ὅρκον] ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο 77 a 20.

προκολάζειν, punir par avance : διὸ δεῖ τῷ λόγῳ προκολάζειν · ἀγανακτοῦσιν γὰρ ἧττον κολαζόμενοι καὶ οἱ δοῦλοι 80 b 19.

πρόκρινειν, préjuger, juger préférable, préférer : καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν **προέκρινεν**, οἷον Ὀδυσσέα Ἀθηνᾶ καὶ Ἑλένην Θησεύς 63 a 18 ; καὶ περὶ Ἀλεξάνδρου, ὃν αἱ θεαὶ **προέκριναν**, καὶ περὶ Εὐαγόρου, ὅτι σπουδαῖος 99 a 3.

προλαμβάνειν, prendre en avant, prévenir : ὥσπερ οὖν τῶν κηρύκων **προλαμβάνουσι** τὰ παιδία τὸ « τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος ; » — « Κλέωνα » 08 b 24.

προλέγειν, déclarer d'avance, exposer un sujet ; **τὰ προειρημένα**, ce qui a été dit plus haut, ce qui précède : καὶ ὁ **προλέγων** ἕνεκα τοῦ ἀποδεῖξαι **προλέγει** 14 a 34-35 ; ὥστε λοιπὸν ἀναμνῆσαι τὰ **προειρημένα** 19 b 28 ; ὥσπερ οὖν καὶ ἐπὶ τῶν **προειρημένων** διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ περὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον 78 a 27 ; περὶ δὲ μεγέθους καὶ μικρότητος... ἐκ τῶν προειρημένων ἡμῖν ἐστιν φανερόν 93 a 11. — Voir προειπεῖν.

πρόλογος (ὁ), exposition du sujet (dans un discours), prologue (d'un drame) : τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον 14 b 20 ; καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος 17 a 16 ; καὶ ἐν τῷ **προλόγῳ** τῶν Εὐσεβῶν τὸ « ἐγώ » 13 b 27 ; καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθὺς ὥσπερ Εὐριπίδης, ἀλλ' ἐν τῷ προλόγῳ γέ που, ὥσπερ καὶ Σοφοκλῆς 15 a 20 ; τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν ὅτι ταὐτὸ δύναται ὅπερ τῶν δραμάτων οἱ **πρόλογοι** καὶ τῶν ἐπῶν τὰ προοίμια 15 a 9. — Voir προοίμιον.

προνοεῖν, pressentir, prévoir : τὸ δὲ μηδὲν προνοεῖν μηδὲ ἀνύειν ἀηδές 09 b 4.

πρόνοια (ἡ), prévision, préméditation : καὶ ὃ ἐκ **προνοίας** μᾶλλον [sc. τὸ ἐκ προνοίας ἀδίκημα μεῖζον] 75 a 7.

προοδοποιεῖν, frayer le chemin, ouvrir la route : ὅπερ ὥσπερ **προοδοποιεῖ** τῷ ὑποκρίνεσθαι 13 b 23 *var.* ; κατεψυγμένοι γάρ εἰσιν [οἱ πρεσβύτεροι], οἱ δὲ [νέοι] θερμοί, ὥστε **προωδοπεποίηκε** τὸ γῆρας τῇ δειλίᾳ 89 b 31 ; **προωδοποίηται** γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους 79 a 24.

προοιμιάζεσθαι, dire en matière de préambule, s'étendre sur l'exorde : δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν 16 b 33 ; διὸ οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν, ἀλλὰ τὰ κύκλῳ, καὶ **προοιμιάζονται** 15 b 24.

προοίμιον (τὸ), exorde : ὅσοι τἆλλα διορίζουσιν, οἷον τί δεῖ τὸ προοίμιον ἢ τὴν διήγησιν ἔχειν 54 b 18 ; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τότε γίνεται ὅταν ἀντιλογία ᾖ 14 b 2 ; ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος 14 b 8 ; ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο, ἀλλ' οὐ τὸ προοίμιον, οὐδ' ὁ ἐπίλογος, ἀλλ' ἀναμιμνήσκει 14 b 12 ; τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον 14 b 19 ; παράδειγμα τὸ τῆς 'Ισοκράτους 'Ελένης προοίμιον 14 b 27 ; τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον τοῦ **προοιμίου** καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστιν τὸ τέλος οὗ ἕνεκα ὁ λόγος 15 a 23 ; ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς 15 b 7 ; καὶ γὰρ καὶ περὶ οὗ ἴσασι, καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου, ἀλλ' ἢ δι' αὑτὸν ἢ τοὺς ἀντιλέγοντας, ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν... τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν, ὡς αὐτοκάβδαλα φαίνεται ἐὰν μὴ ἔχῃ 15 b 35 & 39 ; τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν **προοιμίῳ** 14 b 22 ; διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ 15 a 25 ; λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν **προοίμια** ἐξ ἐπαίνου ἢ ψόγου 14 b 30 ; τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς, ἐκ τῶν πρὸς τὸν ἀκροατήν 15 a 5 ; τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν ὅτι ταὐτὸ δύναται ὅπερ τῶν δραμάτων οἱ πρόλογοι καὶ τῶν ἐπῶν τὰ προοίμια 15 a 8-10 ; ἔτι δ' ἐκ τῶν δικανικῶν **προοιμίων** · τοῦτο δ' ἐστὶν ἐκ τῶν πρὸς τὸν ἀκροατήν 15 a 1 ; πάντες γὰρ ἢ διαβάλλουσιν ἢ φόβους ἀπολύονται ἐν τοῖς **προοιμίοις** 15 b 19 ; οὕτως ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις 19 b 29. — Voir πρόλογος.

προορᾶν, prévoir : οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος 19 a 23 ; πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα **προορῶσι** μὴ τῷ ἐπιπολῆς εἶναι 00 b 34 ; τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν... **προορῶντες** γὰρ τὸ πέρας οὐ κάμνουσι πρότερον 09 a 34 ; ἵνα **προϊδωσι** περὶ οὗ ἦν ὁ λόγος 15 a 13 *var.* — Voir καθορᾶν, προειδέναι, προϊδεῖν.

προπετής, ής, ές, qui tombe en avant, précipité : αἵ τε λίαν βραχύκωλοι οὐ περίοδος γίνεται · **προπετῆ** οὖν ἄγειν τὸν ἀκροατήν 09 b 31.

προπετῶς, avec précipitation : 09 b 31 *var.* : voir προπετής.

προπταίειν, heurter auparavant : 09 b 19 & 21 *var.* : voir προσπταίειν.

πρὸς, πρός, vers, à, en direction de, en vue de, par rapport à, etc. :

1° **avec le datif** : πρὸς δὲ τούτοις 55 a 38 ; 55 b 15 ; 76 b 24 ; 77 b 27 ; τὰ πρὸς τῷ τέλει 65 a 37 ; πρὸς τῷ οἰκείῳ πάθει 85 b 33 ; πρὸς δὲ τῷ ἐχομένῳ 94 b 5 ; πρὸς ποτέρῳ δεῖ διαστίξαι 07 b 18 ; πρὸς ἐναντίῳ 10 a 1 ;

2° **avec l'accusatif** :

a) **πρὸς [τὴν] ἀλήθειαν** 55 a 18 ; 65 b 1, 5, 15 ; 84 b 25 ;

b) **πρὸς τὸ τέλος** 62 a 19 ; 66 a 4, 7, 16 ; 69 b 9 ;

c) **πρὸς τὸν ἀκροατήν** 04 a 11 ; 15 a 1, 7, 35 ; 15 b 17 ;

d) **autres emplois** : 54 a 18 (πρὸς τὸν δικαστήν) ; 54 b 8, 33, 34 ; 55 a 13, 16 (πρὸς τὸ ἀληθές), 17, 20, 24, 29 ; 56 a 12 (πρὸς τὸ πιθανόν), 16, 35 ; 57 a 36* ; 57 b 1, 2, 3, 11, 27*, 28*, 29 ; 58 b 1*, 24, 27, 29 ; 59 a 21 ; 59 b 28, 32, 38, 39 ; 60 a 1, 3, 14, 15, 16, 17, 30,

34, 35; 61 a 17; 61 b 8, 9**, 10, 11*, 13; 63 a 34; 63 b 1, 9, 10, 17; 65 b 1**, 8*, 22; 66 a 8, 28; 66 b 14, 26; 67 a 15, 32, 33, 34; 68 a 19, 21, 24, 25, 34; 70 a 16 (πρὸς ἀνάγκην); 71 b 19, 21; 72 a 19; 72 b 37; 73 a 17*; 73 b 3, 5, 8, 18, 19*, 22*, 26**, 34**; 74 b 11, 12*, 13, 14**, 15; 75 b 15, 16; 76 a 11, 21; 76 b 2, 13, 16; 77 a 20; 77 b 18, 22 (πρὸς τὸν λόγον), 25, 27; 78 a 20; 78 b 13; 79 a 14, 19, 20, 21, 22*, 24, 29, 31; 79 b 12, 23, 24*, 30; 80 a 7, 18, 22, 24, 26; 80 b 17, 21; 81 a 3; 81 b 6*, 10, 19*, 20, 21, 29, 30*; 82 a 3, 4, 6; 82 b 14; 83 a 4; 83 b 2, 4, 11; 84 a 27, 31; 84 b 16, 26, 28; 85 a 3, 6; 87 a 4; 88 a 9, 10*, 11, 14; 89 a 6; 89 b 1, 27, 36*; 90 a 31, 33*; 90 b 1**, 2**, 17; 91 a 9; 91 b 2, 7, 9, 12*, 14, 15 (πρὸς κριτήν); 92 b 3; 93 a 18, 32; 94 a 6, 25; 96 a 18; 97 a 6, 23; 97 b 35, 38; 98 a 4 (πρὸς τὸν εἰπόντα), 6, 10, 11; 98 b 3, 31; 99 b 29; 00 a 29, 37; 02 a 15; 03 a 5, 18; 03 b 17, 27, 30; 04 a 1, 10; 04 b 9*, 10 (πρὸς τὴν λέξιν), 20, 21, 22, 32 (πρὸς τὴν λέξιν); 07 a 6; 09 a 4, 5*; 11 a 12, 19, 30; 12 a 6, 7, 27; 12 b 25; 14 b 1 (πρὸς τὸν ἀντίδικον), 9 (*id.*); 15 a 30; 15 b 4, 5 (πρὸς φαῦλον γὰρ ἀκροατήν); 16 a 6, 10, 29; 17 a 14; 18 a 28 (πρὸς ἀντίδικον); 18 b 5 (*id.*), 8, 12, 18, 32; 19 a 20, 21; 19 b 10.

προσαγορεύειν, appeler, nommer : ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι προσαγορεύειν πολιτικήν 56 a 27; οἷον Διονύσιος **προσαγορεύει** ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν 05 a 32; διὰ τὸ γὰρ ἄμφω ἀνδρείους εἶναι, **προσηγόρευσε** μετενέγκας λέοντα τὸν Ἀχιλλέα 06 b 23.

προσαιτεῖν, adresser une demande : διὸ καὶ ὁ Ἄμασις ἐπὶ μὲν τῷ υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν οὐκ ἐδάκρυσεν, ὡς φασίν, ἐπὶ δὲ τῷ φίλῳ **προσαιτοῦντι** 86 a 21.

προσάπτειν, attribuer, appliquer : ταῦτα δὲ **προσῆψε** διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς 12 a 5.

προσβολή (ἡ), application (d'une ventouse) : κόλλησιν τοίνυν εἶπεν τὴν τῆς σικύας **προσβολήν** 05 b 3 (Cléoboulina?).

προσγίγνεσθαι, survenir, se produire en outre : « τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ **προσγίγνεται** » 92 b 9 (= Agathon, *fr.* 8, Nauck p. 765 = Snell p. 163); καὶ ποία τις [δύναμις τῆς πόλεως] ἥ τε ὑπάρχουσά ἐστιν καὶ ἥ τις ἐνδέχεται **προσγένεσθαι** 59 b 36; ἀλλὰ καὶ ἀπόντος μεμνημένοις λύπη **προσγένηται** τῷ μὴ παρεῖναι 70 b 24.

προσδεῖσθαι, avoir besoin en outre : καὶ τὸ ἧττον **προσδεόμενον** θατέρου ἢ ἑτέρων · αὐταρκέστερον γάρ · ἧττον δὲ **προσδεῖται** τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον 64 a 5-6-7.

προσδέχεσθαι, s'attendre à : ἔτι δ' ἐὰν τἀναντία τύχῃ **προσδεχόμενος** [ὀργίζεται] · λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν 79 a 25.

προσδιαιρεῖσθαι, diviser, distinguer en outre : τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίεργον 69 a 7; τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ εἶναι καὶ μεγαλοπρεπῆ, περίεργον 14 a 19.

προσδοκᾶν, s'attendre à : ὃ κἂν αὐτὸς **προσδοκήσειεν** ἂν παθεῖν ἢ τῶν αὐτοῦ τινα 85 b 14.

προσδοκία (ἡ), attente, appréhension : εἰ δή ἐστιν ὁ φόβος μετὰ **προσδοκίας** τινὸς τοῦ πείσεσθαί τι φθαρτικὸν πάθος 82 b 29.

προσεῖναι, s'ajouter, être en plus : δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι 12 b 25 ; αἱ δὲ βάσανοι μαρτυρίαι τινές εἰσιν, ἔχειν δὲ δοκοῦσιν τὸ πιστόν, ὅτι ἀνάγκη τις **πρόσεστιν** 76 b 32 ; ἔτι ἐκ τῶν παθητικῶν λέγε διηγούμενος καὶ τὰ ἑπόμενα, καὶ ἃ ἴσασι, καὶ τὰ ἴδια ἢ αὐτῷ ἢ ἐκείνῳ **προσόντα** 17 a 38.

προσεκτικός, ή, όν, attentif : τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι καὶ ἐκ τοῦ ὀργίσαι, καὶ ἐνίοτε τὸ **προσεκτικὸν** ἢ τοὐναντίον · οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν 15 a 36-37 ; **προσεκτικοὶ** δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν 15 b 1 ; ἐὰν δὲ μὴ **προσεκτικούς**, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν 15 b 3 ; ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ 15 b 9.

προσεξαπατᾶν, tromper en outre : ἔστιν δὲ καὶ τὰ ἀστεῖα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν 12 a 20.

προσεπικτᾶσθαι, acquérir en outre : εὐδαιμονικὸν γὰρ καὶ καλὸν καὶ τὸ προσεπικτᾶσθαι τιμήν 67 b 14.

προσεπιπλήττειν, reprocher en outre : δεῖ γὰρ αὐτὸν αὐτῷ προσεπιπλήττειν 08 b 3 *var.* : voir προεπιπλήττειν.

προσερωτᾶν, demander en outre : πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερόν, ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν 19 a 7 ; περὶ δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι μάλιστα μὲν ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ, ὥστε ἑνὸς **προσερωτηθέντος** συμβαίνει τὸ ἄτοπον 19 a 1.

προσέχειν, s'appliquer à, être attentif : προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ [τὸ ἔμμετρον], πότε πάλιν ἥξει 08 b 23 ; **προσέχουσι** γὰρ μᾶλλον τούτοις 15 a 39 ; « καί μοι **προσέχετε** τὸν νοῦν » 15 b 13 ; διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες **προσέχοντες** ἀκροῶνται 15 b 11 ; διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰσχύνονται καὶ τοὺς **προσέχοντας** αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα 84 b 1.

προσήκειν, convenir ; **τὸ προσῆκον**, ce qui convient, ce qui revient à quelqu'un, ce pour quoi il est qualifié : ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην 60 b 28 ; προσήκειν δὲ οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν... 78 b 35 ; οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή 79 b 3 ; 88 b 9 *var.* ; μάλιστα μὲν οὖν **προσήκει** τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς 54 a 32 ; ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας, προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν 79 b 12* ; ἐὰν μὴ κατὰ τὸ **προσῆκον** αἱ κρίσεις γίγνωνται 55 a 23 ; καὶ ὅσα κατὰ τὸ προσῆκον 67 b 12 ; καὶ εἰ παρὰ τὸ προσῆκον δὲ ἐπὶ τὸ βέλτιον καὶ τὸ κάλλιον 67 b 14 ; ταῦτα δὲ παρὰ τὸ προσῆκον 68 a 13 ; παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία 79 b 29 ; οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον νομίζουσι πάσχειν 80 b 17 ; ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν 88 b 6* ; « προσῆκον εἶναι τῷδ' ὀφείλεσθαι χάριν » 97 a 16 (*fragm. trag. anon.*) ; τοῦ ὀλιγωρεῖν μὴ **προσήκοντος** 78 a 32 ; τοιαῦτα δὲ τά τε **προσήκοντα** κατὰ γένος καὶ δύναμιν 63 a 29 ; **προσήκοντας** 79 b 12 (*supra*) ; καὶ τὸ ὅθεν **προσῆκεν** ἀγαθόν τι ὑπάρξαι, κακόν τι συμβῆναι 86 a 12 ; καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντό ποτε 88 a 22 ; 88 b 6 (*supra*).

προσηκόντως, convenablement, comme il faut : δεῖ δὲ ἀμφότερα προσηκόντως λεχθῆναι 12 b 3 ; ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ · οἷον « Ἀνάσχετος οὐκ ἀνασχετός » ὁμωνυμίαν ἀπέφησε, ἀλλὰ προσηκόντως, εἰ ἀηδής 12 b 11-14 ; voir 78 a 32 *var.*

πρόσθε, auparavant, autrefois : « πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν » 65 a 26 & 67 b 19 (= Simonide, *fr.* 163 Bergk).

πρόσθεσις (ἡ), addition, application : ἀνώνυμον γὰρ τὸ πάθος, ἔστι δ' ἄμφω πρόσθεσίς τις · κόλλησιν τοίνυν εἶπεν τὴν τῆς σικύας προσβολήν 05 b 2.

προσθήκη (ἡ), addition, développement, élément accessoire : αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι μόνον, τὰ δ' ἄλλα **προσθῆκαι** 54 a 14.

προσκαταλλάττεσθαι, se réconcilier en outre : οἱ μὲν γὰρ φίλοι ἀφυλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ **προσκαταλλάττονται** πρὶν ἐπεξελθεῖν 72 a 19 (προκαταλλ. *var.*).

προσκεῖσθαι, s'ajouter, se rattacher : τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ **πρόσκειται**, τῷ ὕστερον ἢ τῷ πρότερον 07 b 15 ; τὸ μὲν γὰρ φάναι « μὴ δεῖν φυλάττειν » γνώμη, τὸ δὲ **προσκείμενον** « θνητὸν ὄντα » τὸ διὰ τί 94 b 24.

πρόσκλησις (ἡ), citation en justice : οὐκ ἴση πρόσκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ 77 a 20 *var.* : voir πρόκλησις.

προσκτᾶσθαι, acquérir en outre : « τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι **προσεκτήσαντο**, τοῖς δ' ἱκανὴν τὴν οἴκοι κατέλιπον » 10 a 4 (= Isocrate, *Panég.*, § 35).

προσκύνησις (ἡ), prosternation : μέρη δὲ τιμῆς... τὰ βαρβαρικά, οἷον **προσκυνήσεις** καὶ ἐκστάσεις 61 a 36.

προσλαμβάνειν, prendre ou comprendre en outre : οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα, **προσλαβὼν** περὶ ποῖά τέ ἐστι τὸ ἐνθύμημα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς συλλογισμούς 55 a 12 ; ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη **προσλαβοῦσα** τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται 99 a 18.

πρόσοδος (ἡ), revenu : κάρπιμα δὲ λέγω ἀφ' ὧν αἱ **πρόσοδοι** 61 a 18 ; καὶ πρόσοδοι τίνες ἢ φίλοι καὶ ἐχθροί 96 a 10 ; τὸν μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς **προσόδους** τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι 59 b 24. — Voir πόρος.

προσορίζεσθαι, déterminer, définir en outre : διὸ οἱ χρησμολόγοι οὐ **προσορίζονται** τὸ πότε 07 b 5.

προσπίπτειν, tomber sur, se jeter sur : ἐκεῖνά τε γὰρ [sc. τὰ κυνίδια] **προσπίπτοντα** δάκνειν 06 b 28.

προσποιεῖσθαι, feindre : « Θρᾶττ' εἶ σύ », **προσποιεῖται** γὰρ λέγειν τὸ « θράττει σε » καὶ ἐξαπατᾷ 12 a 35 ; ὅπερ ποιοῦσιν ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, **προσποιῶνται** δέ τι λέγειν 07 a 34.

προσποίησις (ἡ), affectation, feinte : οἱ γὰρ τοιοῦτοι ἐν **προσποιήσει** λέγουσι ταῦτα 07 a 35 *var.* : voir ποίησις.

προσπταίειν, heurter contre, broncher : τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν · ἀνάγκη γὰρ ὅταν, ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρον, ἀντισπασθῇ παυσαμένου, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρουσιν 09 b 19-21.

προσσημαίνειν, signifier en outre : ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων **προσσημαίνει** τὴν προαίρεσιν 74 a 12.

προστάτης (ὁ), chef, président, *prostate* (à Thèbes) : καὶ Θήβησιν ἅμα οἱ **προστάται** φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις 98 b 19.

προστάττειν, commander, enjoindre : καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ **προσταττόμενον** 99 b 13.

προστιθέναι, appliquer, imposer, suppléer, ajouter : αὐτὸς γὰρ τοῦτο

προστίθησιν ὁ ἀκροατής, οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα νενίκηκεν, ἱκανὸν εἰπεῖν ὅτι Ὀλύμπια γὰρ νενίκηκεν, τὸ δ' ὅτι στεφανίτης τὰ Ὀλύμπια, οὐδὲ δεῖ προσθεῖναι 57 a 19-21 ; καὶ ἀμφιδοξοῦντες [οἱ πρεσβύτεροι] **προστιθέασιν** ἀεὶ τὸ ἴσως καὶ τάχα 89 b 19 ; περὶ δὲ τῶν μὴ παραδόξων ἀδήλων δὲ **προστιθέντα** τὸ διότι στρογγυλώτατα 94 b 33 ; οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα **προστιθέντες** πλουσιώτεροι γίγνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων 59 b 28 ; **προσθεῖναι** 57 a 21 (*supra*) ; **προσθείς** 07 b 21 *var.* ; ὅπως τὰ λοιπὰ **προσθέντες** ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν 92 a 3 ; καὶ δυοῖν ὃ τῷ αὐτῷ **προστιθέμενον** μεῖζον τὸ ὅλον ποιεῖ 65 b 13 ; ἐπὶ τῶν ἐριστικῶν τὸ κατὰ τί καὶ πρός τι καὶ πῇ οὐ **προστιθέμενα** ποιεῖ τὴν συκοφαντίαν 02 a 16 ; ὅπως εἴτε τις [πρόσοδος] παραλείπεται **προστεθῇ** καὶ εἴ τις ἐλάττων αὐξηθῇ 59 b 25 ; ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ 60 a 10 ; τοῦτο μὲν οὖν γνώμη · **προστεθείσης** δὲ τῆς αἰτίας καὶ τοῦ διὰ τί, ἐνθύμημά ἐστιν τὸ ἅπαν 94 a 31. — Voir προτιθέναι.

πρόσφατος, ος, ον, récent, de fraîche date : μάρτυρές εἰσιν διττοί, οἱ μὲν παλαιοί, οἱ δὲ **πρόσφατοι** 75 b 27 ; πρόσφατοι δὲ ὅσοι γνώριμοί τι κεκρίκασιν 76 a 8.

προσφέρειν, apporter : « οὐδὲν τοιοῦτον ἄθυρμα τῇ ποιήσει **προσφέρων** » 06 b 14 (Alcidamas).

πρόσχημα (τὸ), appareil : 92 a 29 & 31 *var.* : voir le suiv.

πρόσχισμα (τὸ), chaussure, sandale : εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλίς 92 a 29-31.

προσχρῆσθαι, se servir en outre : πᾶσι γὰρ ἀναγκαῖον τὸ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις 91 b 28 ; **προσχρῶνται** δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες 58 b 19.

πρόσωπον (τὸ), visage : λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ **προσώπῳ** καὶ τοῖς ἁρμόττουσιν 08 b 7 ; « ὣς ἄρ' ἔφη · γρηῢς δὲ κατέσχετο χερσὶ **πρόσωπα** » 17 b 5 (= *Odyssée*, XIX, 361).

πρότασις (ἡ), prémisse, première partie d'une période, protase : πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν **πρότασιν** μὴ προσερωτᾶν τὸ φανερόν, ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν 19 a 7 ; οἷον περὶ φυσικῶν εἰσι **προτάσεις** ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν 58 a 18 ; τὰ γὰρ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα προτάσεις εἰσὶν ῥητορικαί 59 a 8 ; καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις 77 b 18 ; περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσὶν ἐξ ὧν τὰς πίστεις φέρουσιν 91 b 23 ; ἐξειλεγμέναι γὰρ αἱ προτάσεις περὶ ἕκαστόν εἰσιν 96 b 29 ; ὅλως μὲν γὰρ συλλογισμὸς ἐκ **προτάσεών** ἐστιν, τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι συνεστηκὼς ἐκ τῶν εἰρημένων προτάσεων 59 a 9-10 ; ταῦτα δὲ ὅσῳ τις ἂν βελτίω ἐκλέγηται τὰς **προτάσεις** 58 a 23 ; λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων 58 a 31 ; περὶ τούτων χωρὶς λαμβάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις 58 a 35 ; ἀνάγκη περὶ τούτων ἔχειν πρῶτον τὰς προτάσεις 59 a 7 ; ἀναγκαῖον... ἔχειν προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου 59 a 15 ; δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ μικρότητος καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος προτάσεις ἔχειν 59 a 24 ; περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται 59 a 27 ; περὶ ὧν μὲν οὖν ἔχειν δεῖ ⟨τὰς προτάσεις⟩ τὸν μέλλοντα συμβουλεύειν, τὰ μέγιστα τοσαῦτά ἐστιν 60 a 38 ; τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις 66 a 31 ; ὥσπερ οὖν καὶ

ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ περὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον 78 a 27.

προτεραῖος, α, ον, de la veille : διὰ τὸ Καλλισθένους τῇ **προτεραίᾳ** καταγνῶναι θάνατον 80 b 13.

πρότερος, α, ον, premier (de deux), qui vient en premier ; **πρότερον**, d'abord, auparavant, plus haut : ὥσπερ **πρότερον** εἶπον 55 a 1 ; ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον 56 b 14 ; τὰ μὲν ἐκ συλλελογισμένων πρότερον 57 a 9 ; καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακήν 57 b 32 ; πρότερον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν 58 a 32 ; ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν 59 b 8 ; περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον 69 b 30 ; τὸ γὰρ ἀδικεῖν ὥρισται πρότερον ἑκούσιον εἶναι 73 b 29 ; αἱ μὲν βλάβαι ἐκ τῶν πρότερον φανεραί εἰσιν · τὰ γὰρ ἀγαθὰ καὶ τὰ κακὰ εἴρηται καθ' αὑτὰ πρότερον καὶ τὰ ἑκούσια 73 b 31-32 ; ποῖα δὲ προαιροῦνται καὶ πῶς ἔχοντες, εἴρηται πρότερον 73 b 38 ; καὶ πατάξαι πρότερον, ἀλλ' οὐχ ὑβρίσαι 74 a 3 ; παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον 80 b 8 ; λέγω δὲ πάθη μὲν ὀργήν, ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον, ἕξεις δὲ ἀρετὰς καὶ κακίας, εἴρηται δὲ περὶ τούτων πρότερον 88 b 33-35 ; περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον 91 b 20 ; καὶ εἰ τὸ ὕστερον... καὶ τὸ πρότερον... πρότερον γὰρ ἐκεῖνο γίγνεται 92 a 20 & 21 ; 92 b 17 ; καὶ εἰ ὅσα ὕστερον... καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονεν 92 b 29 ; καὶ εἰ προγέγονε ὅσα πρότερον πεφύκει γίγνεσθαι 93 a 5 ; καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησεν πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη 93 a 33-93 b 1-2 ; ὅτι μὲν οὖν τὸ ἐνθύμημα συλλογισμός ἐστιν, εἴρηται πρότερον 95 b 24 ; καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι 96 b 32 ; καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχεν γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι 98 a 20 ; πρότερον κεχρημένος Ὀλυμπίασιν 98 b 34 ; καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπ' ἀμφοῖν χρῆσθαι 99 a 20 ; ἄλλος [τόπος] ἐκ τοῦ μὴ ταὐτὸ ἀεὶ αἱρεῖσθαι ὕστερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν 99 b 16 ; πολλάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον 00 b 4 ; ὅλη ἡ πρότερον Θεοδώρου τέχνη 00 b 17 ; τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον 07 b 15 ; ταύτῃ γὰρ πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται 09 a 30 ; προορῶντες γὰρ τὸ πέρας οὐ κάμνουσι πρότερον 09 a 35 ; καθάπερ εἴρηται πρότερον 10 b 18 ; 12 a 11 ; καὶ εἰ μὴ πρότερον ὑπῆρχεν 10 b 25 ; ἢ νῦν ἢ πρότερον 16 a 21 ; ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον, ὕστερον δὲ... 18 b 8 ; ἂν δὲ πολύχους ᾖ ἡ ἐναντίωσις, πρότερον τὰ ἐναντία 18 b 10 ; ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν ἔκκεινται οἱ τόποι πρότερον 19 b 23 ; εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον 19 b 27 ; καὶ οἱ ἀπὸ Διονυσίου τοῦ **προτέρου** 90 b 29 ; ἂν ἀποδιδῷ τις [τοὺς συνδέσμους] ὡς πεφύκασι **πρότεροι** καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων 07 a 22 ; ἔπειτα εἰ ἢ ἄλλαις συνθήκαις ὑστέραις ἢ **προτέραις** · αἱ γὰρ ὕστεραι κύριαι, ἢ αἱ **πρότεραι** ὀρθαί, αἱ δ' ὕστεραι ἠπατήκασιν 76 b 27*. — Voir πρῶτος, ὕστερος.

προτιθέναι, placer en avant, mettre en premier : διὸ καὶ **προτιθέντι** μὲν ἀνάγκη πολλὰ λέγειν, ἐπιλέγοντι δὲ καὶ ἓν ἱκανόν 94 a 14 ; ἀσαφῆ δὲ ἂν μὴ **προθεὶς** εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν 07 b 21 ; ἀλλ' ἢ **προθέντα** τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ συμπεράσματι 94 b 29 ; ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρει ἓν ψέξαι 16 b 6 ; **προτιθέμενα** μὲν γὰρ ἔοικεν ἐπαγωγῇ 94 a 11. — Voir προστιθέναι.

προτρέπειν, conseiller, exhorter, amener à : ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν 60 b 2 ; ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται 65 b 20 ; ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι... ταῦτ' ἐστὶν 77 b 16 ; ἄλλος [τόπος]... ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν 99 a 13 ; ἄλλος [τόπος], ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ 99 a 20 ; ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος **προτρέπῃ** ἢ ἀποτρέπῃ 91 b 9 ; ὅταν τις ἐπιτιμᾷ ἄλλοις ἃ αὐτὸς ποιεῖ ἢ ποιήσειεν ἄν, ἢ προτρέπῃ ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν 98 a 14 ; περὶ γὰρ τῶν ἐσομένων συμβουλεύει ἢ **προτρέπων** ἢ ἀποτρέπων 58 b 15 ; ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει 58 b 23 ; ὧν μὲν οὖν δεῖ στοχάζεσθαι **προτρέποντα** ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντα, φανερόν 62 a 15 ; πρῶτον μὲν οὖν περὶ νόμων εἴπωμεν, πῶς χρηστέον καὶ προτρέποντα καὶ ἀποτρέποντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον 75 a 26 ; ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ **προτρέποντες** καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι οὐ μόνον... ἀλλὰ καὶ... 59 a 17 ; καὶ εἰ τὰ **προτρέποντα** καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη 68 a 15 ; ἄλλος [τόπος]... σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα 99 b 34 ; ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν **προτρεπόντων** κατηγοροῦσιν 00 a 3 ; ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι **προτρέποντας** ὡς ἐσομένων ἢ ὄντων... εἴρηται 66 a 17 ; καὶ **προτρέπονται** δ' ἐκ τούτων καὶ ἀποτρέπονται ἐκ τῶν ἐναντίων 99 b 39. — Voir ἀποτρέπειν, συμβουλεύειν.

προτροπή (ἡ), conseil, encouragement, impulsion (opp. à ἀποτροπή) : συμβουλῆς δὲ τὸ μὲν προτροπή, τὸ δὲ ἀποτροπή 58 b 8 ; τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ **προτροπῆς**, ἐξ ἀποτροπῆς, ἐκ τῶν πρὸς τὸν ἀκροατήν 15 a 6 ; περὶ γὰρ ταύτης [sc. τῆς εὐδαιμονίας] καὶ τῶν εἰς ταύτην συντεινόντων καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε **προτροπαὶ** καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσιν 60 b 10.

προϋπάρχειν, exister auparavant, être au préalable : καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις ἐκ **προϋπαρχόντων** ἐστὶν 19 b 22 ; ἄτεχνα δὲ λέγω ὅσα μὴ δι' ἡμῶν πεπόρισται, ἀλλὰ **προϋπῆρχεν** 55 b 36 ; καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχεν τῷ ἀδικοῦντι 73 a 33 ; καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν **προϋπηργμένων** 67 b 13.

προϋπολαμβάνειν, présumer, concevoir auparavant : χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος **προϋπολαμβάνοντες** τυγχάνουσι 95 b 6 ; ὥστε δεῖ στοχάζεσθαι πῶς τυγχάνουσι ποῖα προϋπολαμβάνοντες, εἶθ' οὕτως περὶ τούτων καθόλου λέγειν 95 b 10.

πρόφασις (ἡ), prétexte, raison (bonne ou mauvaise) : καὶ πρὸς οὓς ἔχουσι **πρόφασιν** ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς κ. τ. α. [ἀδικοῦσι]... ὥσπερ γὰρ ἡ παροιμία, « **προφάσεως** δεῖται μόνον ἡ πονηρία » 73 a 1 & 3.

προφέρειν, porter en avant, produire : ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα **προφέρει** ἓν ψέξαι 16 b 6 ; ἂν γὰρ πολλὰ καὶ ὅμοια **προφέρηται**, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως 67 b 25.

προφοβητικός, ή, όν, enclin à s'effrayer d'avance : καὶ δειλοὶ καὶ πάντα **προφοβητικοὶ** [οἱ πρεσβύτεροι] 89 b 30.

Στράβαξ (ὁ), Strabax : « πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον **Στράβακα** καὶ Χαρίδημον, διὰ τὴν ἐπιείκειαν... » 99 b 2 (= Théodecte, *De la Loi*, *fr.* 2, Sauppe, p. 247).

στρατεύειν, être soldat, faire campagne : καὶ ὅτι νεώτατος καὶ οὐκ ἔνορκος ὢν **ἐστράτευσεν** [ὁ Ἀχιλλεύς] 96 b 18 ; ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινα τῶν ὡρισμένων, ὁ δὲ μὴ **στρατευόμενος** τὸ κοινόν 73 b 24 ; καὶ ὅτι τῶν ἡμιθέων καὶ ὅτι ἐπὶ τὸ Ἴλιον **ἐστρατεύσατο** 96 b 12.

στρατηγεῖν, remplir la fonction de stratège : οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσε 95 a 25.

στρατηγία (ἡ), commandement militaire, stratégie : τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, ... οἷον ἰσχύος, ὑγιείας, πλούτου, **στρατηγίας** 55 b 6.

στρατηγός (ὁ), général, stratège : ἑλομένων **στρατηγὸν** αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν 93 b 10 ; « τὸν μὲν χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα » 93 b 21 ; οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν, **στρατηγοί**, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι 88 b 18 ; καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι ὅτι θανατοῦνται πολλάκις, οὐδ' οἱ σοφισταί 97 b 30.

στρεβλός, ή, όν, tourné, tordu, vicieux : ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε **στρεβλόν** 54 a 26.

στρέφειν, faire tourner, retourner : ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν 68 a 3 ; καὶ εἰ ἀμφίβολος [ὁ νόμος], ὥστε στρέφειν καὶ ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι 75 b 11.

στρογγύλος, η, ον, ramassé, précis, concis [style] : περὶ δὲ τῶν μὴ παραδόξων, ἀδήλων δέ, προστιθέντα τὸ διότι **στρογγυλώτατα** 94 b 34.

στυγεῖν, haïr, détester : « μητέρα δὲ τὴν σὴν οὔ τις **ἐστύγει** βροτῶν ; » 97 b 4 (= Théodecte, *Alcméon*, *fr.* 2 Nauck p. 801 = Snell p. 231).

σύ, σὺ, toi ; **ὑμεῖς**, vous : « σὺ μὲν ὢν Ἀριστοφῶν..., ἐγὼ δ' ὢν Ἰφικράτης ; » 98 a 7 ; Πῶλον · « ἀεὶ σὺ πῶλος εἶ » 00 b 22 ; « σὺ δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας... » 06 b 9 (Gorgias) ; « σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς... » 10 a 36 ; « οὐκοῦν σὺ ταῦτα... οὐκοῦν σὺ τούτοις... οὐκοῦν... καὶ σὺ ἀπόλοιο ; » 19 a 29, 33 & 34 ; ἀλλ' ἴσως οὐχ ὑπὸ **σοῦ** 97 a 30 ; « οὐ πονηρά **σοι** ταῦτα ἐδόκει εἶναι ; » 19 a 29 ; « νομίζειν χρή **σε** καὶ τοὐναντίον » 97 a 18 (Euripide, *Thyeste*, *fr.*, 396) ; « οἱ ἄνθρωποί σε μισήσουσιν... οἱ θεοί σε φιλήσουσιν » 99 a 24 & 25 ; « σὲ δ' ὥσπερ ἄφετον » 11 b 28 ; « οὐ... μᾶλλον ἤ σε δεῖ » 12 b 14 & 15 ; « διὰ σὲ καὶ τεὰ δῶρα εἴτε σκῦλα » 15 a 11 ; « οὕτω δὲ καὶ **ὑμεῖς**, ὁρᾶτε... » 93 b 19 (Stésichore) ; « ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι **ὑμῶν** » 00 a 23 ; « οὗτός ἐστιν ὁ κλέψας ὑμῶν... » 13 b 24 ; « οἱ **ὑμῖν** ἀναλώσουσι τὰ λοιπὰ κλέπτοντες » 94 a 1 ; « εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι » 97 a 26 ; « ἐρῶ γὰρ ὑμῖν... » 15 b 14 ; « καὶ **ὑμᾶς** μὲν ἀξιοῦσιν ἐμμένειν... » 77 b 9 ; « ἢ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων ; » 85 a 13 ; « ἀτὰρ καὶ ὑμᾶς... » 93 b 31 ; « εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων » 97 b 32 ; « καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσεν δὲ τοῖς Τριάκοντα » 00 a 19 ; « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται » 10 a 19*.

συγγένεια (ἡ), parenté, appartenance à une même famille : εἴδη δὲ φιλίας ἑταιρεία, οἰκειότης, συγγένεια καὶ ὅσα τοιαῦτα 81 b 34 ; ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ **συγγένειαν**, καθ' ἡλικίας, κατὰ ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα 87 b 26.

συγγενής, ής, ές, de même famille, de même genre, analogue : ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ **συγγενὲς** ἡδὺ ἑαυτῷ ἅπαν, μάλιστα δὲ αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν 71 b 18 ; « τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται » 88 a 8 (= Eschyle, Nauck, *fr.* 305, p. 95 = Mette, *fr.* 610, p. 219) ; 05 a 37 (*infra*) ; καὶ ὧν πρόγονοι ἢ **συγγενεῖς** ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα 88 b 8 ; καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ **συγγενῆ** δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ, ἵππος ἵππῳ, κ. τ. α. 71 b 12-13 ; ἔτι δὲ οὐ πόρρωθεν δεῖ, ἀλλ' ἐκ τῶν **συγγενῶν** καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως ὃ λεχθὲν δῆλόν ἐστιν ὅτι συγγενές 05 a 35-37 ; ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, **συγγενεῖς**, ὅλως τοὺς ἐξ ἴσου 84 a 11 ; καὶ ὅτι **συγγενέστερος** αὐτός · « τὰ γοῦν ἔργα **συγγενέστερά** ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ σά » 98 a 21*.

συγγίγνεσθαι, fréquenter, avoir des rapports avec : καὶ **συγγενέσθαι**, ἀλλ' οὐ μοιχεῦσαι, ἢ κλέψαι μέν, ἀλλ' οὐχ ἱεροσυλῆσαι 74 a 3 ; καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ ἢ οὗ οὐ δεῖ ἢ ὅτε μὴ δεῖ · ἀπὸ ἀκολασίας γάρ 83 b 21.

συγγιγνώσκειν, être indulgent, pardonner : καὶ τὸ τοῖς ἀνθρωπίνοις συγγινώσκειν ἐπιεικές 74 b 11.

συγγνώμη (ἡ), indulgence, pardon : καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξίων · τοιαῦτα δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη 73 a 37 ; συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι « οὐρανόμηκες » 08 b 12 ; καὶ ἃ πάντες ἢ πολλοὶ ἀδι-

κεῖν εἰώθασιν · **συγγνώμης** γὰρ οἴονται τεύξεσθαι 73 a 28 ; ἐφ' οἷς τε γὰρ δεῖ **συγγνώμην** ἔχειν, ἐπιεικῆ ταῦτα 74 b 4 ; ὅτι τοῖς μεθύουσιν δεῖ συγγνώμην ἔχειν 02 b 10 ; εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν 15 a 3.

συγγνωμονικός, ή, όν, indulgent : καὶ τοὺς μὴ **συγγνωμονικοὺς** τοῖς φαινομένοις ἁμαρτάνειν 84 b 3.

σύγγραμμα (τὸ), ouvrage, traité : οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ [sc. τοῦ Ἡρακλείτου] τοῦ **συγγράμματος** 07 b 16.

συγγραφή (ἡ), écrit, document : ἄτεχνα δὲ λέγω ὅσα μὴ δι' ἡμῶν πεπόρισται, ἀλλὰ προϋπῆρχεν, οἷον μάρτυρες, βάσανοι, **συγγραφαὶ** καὶ ὅσα τοιαῦτα 55 b 37.

συγκαταθάπτειν, ensevelir en même temps : καὶ οἷον ἐν τῷ Ἐπιταφίῳ, διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα, ὡς **συγκαταθαπτομένης** τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας · εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς, μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 33-34 (cf. Lysias, *Oraison funèbre*, § 60).

συγκεῖσθαι, être composé de, consister en, être convenu : ἐκ γὰρ τῶν εἰρημένων ἀνάγκη συγκεῖσθαι, ὥστε καὶ τοὺς λόγους συγκεῖσθαι ἐκ τῶν εἰρημένων 77 b 2* ; **σύγκειται** μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος καὶ περὶ οὗ λέγει καὶ πρὸς ὅν 58 a 37 ; ἀληθές ἐστιν ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς 59 b 9 ; ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ τάχους 61 b 21 ; οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν [sc. τῶν ὑποκριτικῶν], ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν 03 b 35 ; σύγκειται γὰρ ἔχων ὁ λόγος τὸ μὲν ἄτεχνον... τὸ δ' ἐκ τῆς τέχνης 16 b 19 ; ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων 19 b 10 ; ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη **συγκειμένη** 02 a 18 ; ἄλλος [τόπος] τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ **συγκείμενον** διαιροῦντα 01 a 26.

συγκινδυνεύειν, affronter ensemble le danger : τοὺς γὰρ **συγκινδυνεύοντας** ἐγκαταλιμπάνουσι διὰ τὸν φόβον [οἱ δειλοί] 68 b 19.

συγκρίνειν, rapprocher, comparer : δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν 68 a 21. — Voir ἀντιπαραβάλλειν.

συζῆν, vivre ensemble : καὶ φιλόφιλοι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν, διὰ τὸ χαίρειν τῷ συζῆν [οἱ νέοι] 89 b 1.

συκάμινον (τὸ), mûre : εἰσὶ δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ μεταφοραί, οἷον εἰς ὑπωπιασμένον · « ᾠήθητε δ' ἂν αὐτὸν εἶναι **συκαμίνων** κάλαθον » 13 a 23.

συκῆ (ἡ), figue : οἷον ποιεῖ Κλεοφῶν · ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν · « πότνια συκῆ » 08 a 16.

συκοφάντης (ὁ), sycophante : τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη · τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν **συκοφάντην** ἅπας 82 a 7.

συκοφαντία (ἡ), délation, tromperie : ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν τὸ κατά τί καὶ πρός τί καὶ πῇ οὐ προστιθέμενα ποιεῖ τὴν **συκοφαντίαν** 02 a 16.

συλᾶν, piller, dépouiller : τῶν μὲν γὰρ ἡ λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ **συλῶντες** τοὺς Χαλκηδονίους 72 b 27. — Voir σκυλεύειν.

συλλαβή (ἡ), syllabe : ἀπὸ **συλλαβῆς** δέ [sc. ἡ παρομοίωσις] 10 a 37 ; ἔστι δὲ καὶ ἐν ταῖς **συλλαβαῖς** ἁμαρτία, ἐὰν μὴ ἤδειας ᾗ σημεῖα φωνῆς 05 a 31 ; καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας **συλλαβὰς** ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα 10 a 28.

συλλαμβάνειν, rassembler, réunir, résumer : **συλλαβόντι** εἰπεῖν 69 b 18.

συλλογίζεσθαι, raisonner par syllogisme, conclure d'un syllogisme (ou d'un enthymème) : ἐνδέχεται δὲ συλλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμένων πρότερον, τὰ δ' ἐξ ἀσυλλογίστων μέν, δεομένων δὲ συλλογισμοῦ διὰ τὸ μὴ εἶναι ἔνδοξα 57 a 8* ; τὰ δ' ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι, τὰ δ' ἀναγκαῖα ἐξ ἀναγκαίων 57 a 28 ; περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ συλλογισμῷ εἴθ' ὁποιῳοῦν, ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα 96 a 4 ; 02 a 32 *var.* ; τῶν μὲν οὖν ἄλλων τεχνῶν οὐδεμία τἀναντία **συλλογίζεται**, ἡ δὲ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ μόναι τοῦτο ποιοῦσιν 55 a 34 ; καὶ γὰρ ἐκείνη [sc. ἡ διαλεκτικὴ] συλλογίζεται οὐκ ἐξ ὧν ἔτυχεν, ... ἀλλ'... ἐκ τῶν λόγου δεομένων, ἡ δὲ ῥητορικὴ ἐκ τῶν ἤδη βουλεύεσθαι εἰωθότων 56 b 35 ; πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι, **συλλογίζονται** περὶ ὧν λέγουσιν 98 a 28 ; ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων, οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα ἢ ἐξ ὧν λέγουσιν 18 a 11 ; ἐάν τε ἀκριβέστερον, ἐάν τε μαλακώτερον **συλλογίζωνται** 96 a 34 ; εἴπερ καὶ ὅλως ἀνάγκη ἢ **συλλογιζόμενον** ἢ ἐπάγοντα δεικνύναι ὁτιοῦν 56 b 8 ; 18 b 13 *var.* ; ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταύτας ἐστὶν λαβεῖν τοῦ **συλλογίσασθαι** δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ περὶ τὰς ἀρετὰς καὶ τρίτον τοῦ περὶ τὰ πάθη 56 a 22 ; οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν 58 a 15 ; πρὶν ἐπερωτῆσαι τὸ ἐπιὸν ἢ συλλογίσασθαι 19 a 23 ; ὅταν λαβὼν τὸ καθόλου εἶτα **συλλογίσηται** τὰ κατὰ μέρος 02 b 17 ; ὥσπερ ἐν τοῖς διαλεκτικοῖς τὸ μὴ **συλλογισάμενον** συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν 01 a 3 ; ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ... τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ **συλλελόγισται** ἢ ὅτι ψεῦδός τι εἴληφεν 03 a 30 ; ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται 18 b 3 ; καὶ διὰ τιν' αἰτίαν τὰ μὲν ἀσυλλόγιστά ἐστι, τὰ δὲ **συλλελογισμένα**, ἐν τοῖς Ἀναλυτικοῖς διώρισται περὶ αὐτῶν 57 b 24 ; **συλλελογισμένων** 57 a 8 (*supra*). — Voir ἀντισυλλογίζεσθαι, ἀσυλλόγιστος.

συλλογισμός (ὁ), syllogisme, raisonnement déductif (au sens large : enthymème) : τὸ δ' ἐνθύμημα συλλογισμός τις, περὶ δὲ συλλογισμοῦ ὁμοίως ἅπαντος τῆς διαλεκτικῆς ἐστιν ἰδεῖν 55 a 8* ; ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν, ἐκ τίνων καὶ πῶς γίνεται συλλογισμός, οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα, προσλαβὼν περὶ ποῖά τέ ἐστι τὸ ἐνθύμημα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς συλλογισμούς 55 a 11-14 ; τῶν δὲ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι, καθάπερ καὶ ἐν τοῖς διαλεκτικοῖς, τὸ μὲν ἐπαγωγή ἐστιν, τὸ δὲ συλλογισμός, τὸ δὲ φαινόμενος συλλογισμός, καὶ ἐνταῦθα ὁμοίως · ἔστιν γὰρ τὸ μὲν παράδειγμα ἐπαγωγή, τὸ δ' ἐνθύμημα συλλογισμός, ⟨τὸ δὲ φαινόμενον ἐνθύμημα φαινόμενος συλλογισμός⟩ 56 b 1-2-3-4 ; τὸ δὲ τινῶν ὄντων ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα τῷ ταῦτα εἶναι ἢ καθόλου ἢ ὡς ἐπὶ τὸ πολύ, ἐκεῖ μὲν συλλογισμός, ἐνταῦθα δὲ ἐνθύμημα καλεῖται 56 b 18 ; περί τε τῶν ἐνδεχομένων ὡς τὰ πολλὰ ἔχειν ἄλλως, τὸ μὲν παράδειγμα ἐπαγωγήν, τὸ δ' ἐνθύμημα συλλογισμόν, καὶ ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός 57 a 16-17 ; ἀναγκαῖα μὲν οὖν λέγω ἐξ ὧν γίνεται συλλογισμός 57 b 6 ; οἷον περὶ φυσικῶν εἰσι προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν 58 a 19 ; ὅλως μὲν γὰρ συλλογισμὸς ἐκ προτάσεών ἐστιν, τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι συνεστηκὼς ἐκ τῶν εἰρημένων προτάσεων 59 a 9-10 ; οὐ γὰρ ἐπὶ τούτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μανθάνειν τι συμβαίνει 71 b 9 ; ὥστ' ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τοιούτων συλλογισμός ἐστιν, σχεδὸν τὰ συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν 94 a 26-28 ; ὅτι μὲν

οὖν τὸ ἐνθύμημα συλλογισμός ἐστιν, εἴρηται πρότερον, καὶ πῶς συλλογισμός, καὶ τί διαφέρει τῶν διαλεκτικῶν 95 b 23-24 ; τὰ μὲν γὰρ δεικτικά ἐστιν ὅτι ἔστιν ἢ οὐκ ἔστιν, τὰ δ' ἐλεγκτικά, καὶ διαφέρει ὥσπερ ἐν τοῖς διαλεκτικοῖς ἔλεγχος καὶ συλλογισμός 96 b 25 ; ἐπεὶ δ' ἐνδέχεται τὸν μὲν εἶναι συλλογισμόν, τὸν δὲ μὴ εἶναι μὲν φαίνεσθαι δέ, ἀνάγκη καὶ ἐνθύμημα τὸ μὲν εἶναι, τὸ δὲ μὴ εἶναι ἐνθύμημα φαίνεσθαι δέ, ἐπείπερ τὸ ἐνθύμημα συλλογισμός τις 00 b 37-39 ; ἔτι... παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, ἀλλὰ τί, γίγνεται φαινόμενος συλλογισμός 02 a 5 ; **συλλογισμοῦ** 55 a 8 (*supra*) ; ἐκεῖ γὰρ [sc. ἐν τοῖς Τοπικοῖς] περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον 56 b 13 ; ἐνδέχεται δὲ συλλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμένων πρότερον, τὰ δ' ἐξ ἀσυλλογίστων μέν, δεομένων δὲ συλλογισμοῦ διὰ τὸ μὴ εἶναι ἔνδοξα 57 a 9 ; 94 a 28 (*supra*) ; περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ **συλλογισμῷ** εἴθ' ὁποιῳοῦν, ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια 96 a 5 ; ἡδεῖα δὲ ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παρ' ἄλληλα μᾶλλον γνώριμα, καὶ ὅτι ἔοικε συλλογισμῷ · ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστίν 10 a 22 ; τὰ δὲ πρὸς τὸ ἀντίδικον οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεων · ἔστι τὰ μὲν λῦσαι ἐνστάσει, τὰ δὲ συλλογισμῷ 18 b 6 ; τῆς αὐτῆς [sc. τῆς Ῥητορικῆς] τό τε πιθανὸν καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν, ὥσπερ καὶ ἐπὶ τῆς διαλεκτικῆς **συλλογισμόν** τε καὶ φαινόμενον συλλογισμόν 55 b 16-17 ; καλῶ δ' ἐνθύμημα μὲν ῥητορικὸν συλλογισμόν, παράδειγμα δὲ ἐπαγωγὴν ῥητορικήν 56 b 5 ; τὸ δ' ἐνθύμημα συλλογισμόν 57 a 16 (*supra*) ; 00 b 37 (*supra*) ; ἐπεὶ δ' ἐστὶν ὀλίγα μὲν τῶν ἀναγκαίων ἐξ ὧν οἱ ῥητορικοὶ **συλλογισμοί** εἰσι 57 a 23 ; ἐν δὲ τοῖς ἀμφισβητησίμοις ἐκ τῶνδε οἱ συλλογισμοί 62 b 30 ; οἱ μὲν γὰρ συλλογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν 02 a 33 ; ταῦτα δ' ἐστὶν πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα 03 a 20 ; τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσίν ἐστιν ἥπερ καὶ περὶ τὴν διαλεκτικὴν μέθοδον τῶν **συλλογισμῶν** · τὰ μὲν γὰρ αὐτῶν ἐστι κατὰ τὴν Ῥητορικήν, ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν 58 a 4-6 ; καὶ τοὺς τῶν φαινομένων ἐνθυμημάτων, οὐκ ὄντων δὲ ἐνθυμημάτων, ἐπεί περ οὐδὲ συλλογισμῶν 97 a 4 ; πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι, μὴ τῷ ἐπιπολῆς εἶναι 00 b 33 ; ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 9 ; ἔτι δὲ τἀναντία δεῖ δύνασθαι πείθειν, καθάπερ καὶ ἐν τοῖς **συλλογισμοῖς** 55 a 30 ; προσλαβὼν περὶ ποῖά τέ ἐστι τὸ ἐνθύμημα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς **συλλογισμούς** 55 a 14 ; λέγω γὰρ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς τόπους λέγομεν 58 a 11 ; περὶ δὲ κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν 68 b 2. — Voir ἀντισυλλογίζεσθαι, ἀσυλλόγιστος, ἐνθύμημα, παράδειγμα, συλλογίζεσθαι.

συλλογιστικῶς, sous forme de syllogisme, par voie de raisonnement déductif : ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 8.

σύλλογος (ὁ), réunion : οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ **συλλόγῳ** εἴθ' ὁποιῳοῦν 96 a 5 *var.*

συμβαίνειν, se produire, survenir, résulter (d'un syllogisme ou d'un enthymème) : δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ προσδεδοξάσθαι ποιόν τινα εἶναι τὸν λέγοντα 56 a 9 ; τὸ δὲ τινῶν ὄντων ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα 56 b 16 ; « ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς » 97 a 19 (= Euripide, *Thyeste*, *fr.* 396, Nauck p. 481) ;

ἄλλος [τόπος] ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν 99 a 35 ; ὥστε **συμβαίνει** τὴν Ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας 56 a 25 ; ἐπεὶ δὲ συμβαίνει... ἐπαινεῖν πολλάκις 66 a 28 ; συμβαίνει μέντοι ταῖς μὲν τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε τὰ τοιάδε 69 a 19 ; ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μανθάνειν τι συμβαίνει 71 b 10 ; συμβαίνει δὲ τοῦτο τὰ μὲν ἑκόντων, τὰ δὲ ἀκόντων τῶν νομοθετῶν 74 a 28 ; εἰ δὲ μή, ταὐτὸ καὶ οὕτω συμβαίνει 81 b 18 ; δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποιὰ ἄττα συμβαίνει τοῖς ἀνθρώποις 90 b 15 ; ὅ περ ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν 90 b 23 ; ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει ὥστε ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν 99 a 11 ; ἄλλος [τόπος] ἐκ τοῦ τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά ·... ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε 99 b 5-6 & 8 ; « συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν » 10 a 7 (= Isocrate, *Panég.*, § 48) ; συμβαίνει γὰρ τοῦ μήκους ἀφαιρεῖσθαι 14 b 6 ; ὥστε ἑνὸς προσερωτηθέντος συμβαίνει τὸ ἄτοπον 19 a 2 ; **συμβαῖνον** 99 b 5 (*supra*) ; καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκάστου λαμβάνειν ὡς τὸ αὐτὸ ἀεί 99 b 9 ; δηλοῖ δὲ τὸ συμβαῖνον 04 a 29 ; τὰ δ' ὡς ἐπὶ τὸ πολὺ **συμβαίνοντα** καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι, τὰ δ' ἀναγκαῖα ἐξ ἀναγκαίων 57 a 27 ; καὶ ὅλως ὅσα τῶν **συμβαινόντων** ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων 69 a 28 ; **συμβήσεται** γὰρ ἅμα περὶ τούτων λέγοντας κἀκεῖνα δηλοῦν... 66 a 25 ; τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον, ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν 86 b 19 ; τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ 02 b 35 ; [ὀδυνηρὸν καὶ φθαρτικόν]... τὸ ὅθεν προσῆκεν ἀγαθόν τι ὑπάρξαι, κακόν τι **συμβῆναι** 86 a 12 ; οἷον εἰ **συνέβη** ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ μητρός 72 b 4 ; πρᾶοι γὰρ γίγνονται ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν, ὃ συνέβη ἐπὶ Ἐργοφίλου 80 b 11 ; συνέβη δὲ τοῦτο διὰ τὸ μὴ κληθῆναι 01 b 19 ; μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος 01 b 33 ; ὅτι οὐ βλάψαι ἐβούλετο, ἀλλὰ τόδε... συνέβη δὲ βλαβῆναι 16 a 19 ; εἰ γὰρ **συμβέβηκεν** τοῖς νέοις ὀργίλοις εἶναι ἢ ἐπιθυμητικοῖς 69 a 9 ; ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι..., τοῖς δὲ πλουσίοις... 69 a 12 ; ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ 96 b 14 ; ἄλλος [τόπος] διὰ τὸ **συμβεβηκός**, οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς 01 b 15 ; οἷον... γεωμετρία περὶ τὰ **συμβεβηκότα** πάθη τοῖς μεγέθεσι 55 b 29 ; καὶ ὅλως δὴ [ἐλεοῦσιν] ὅταν ἔχῃ οὕτως ὥστ' ἀναμνησθῆναι τοιαῦτα συμβεβηκότα ἢ αὐτῷ ἢ τῶν αὐτοῦ, ἢ ἐλπίσαι γενέσθαι αὐτῷ ἢ τῶν αὐτοῦ 86 a 2.

συμβάλλεσθαι, contribuer : ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν, καὶ **συμβάλλεται** πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον 03 b 17 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε 07 b 26 ; καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 12.

συμβεβηκός (τὸ), ce qui survient, accident : 55 b 29 ; 86 a 2 ; 01 b 15 : voir συμβαίνειν.

συμβολή (ἡ), convention, contrat : ἵνα πρὸς τούτους καὶ συνθῆκαι καὶ **συμβολαὶ** γίγνωνται 60 a 15.

σύμβολον (τὸ), signe de reconnaissance (tessère d'hospitalité), symbole : κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ **σύμβολα** λέγειν 16 b 1 ; πιθανὰ γάρ, διότι σύμβολα γίγνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασιν 17 b 2.

συμβουλεύειν, conseiller : ἔστιν γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ τῶν ἐνδεχομένων καὶ γίγνεσθαί καὶ μή, περὶ ὧν οὐδὲν πρὸ ἔργου τὸ συμβουλεύειν 59 a 37 ; τὸν μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι 59 b 24 ; περὶ ὧν μὲν οὖν ἔχειν δεῖ ⟨τὰς προτάσεις⟩ τὸν μέλλοντα συμβουλεύειν, τὰ μέγιστα τοσαῦτά ἐστιν 60 b 1 ;

64 a 23 *var.* ; μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν τὰς πολιτείας ἁπάσας λαβεῖν 65 b 23 ; ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ λέξει ἐγκώμια γίγνεται 67 b 37 ; ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσιν, ἀλλ' οὐκ εὖνοι, διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας 78 a 13 ; λέγω δ' οἷον πῶς ἂν δυναίμεθα συμβουλεύειν 'Αθηναίοις εἰ πολεμητέον... μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν 96 a 8 ; περὶ γὰρ τῶν ἐσομένων **συμβουλεύει** ἢ προτρέπων ἢ ἀποτρέπων 58 b 15 ; ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει 58 b 23 ; πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ ὁ συμβουλεύων συμβουλεύει 59 a 31* ; οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία 76 a 3 ; ἄλλος [τόπος], εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν 00 a 40 ; καὶ ἀπὸ συμβουλῆς · οἷον ὅτι δεῖ τοὺς ἀγαθοὺς τιμᾶν... οὗτος γὰρ συμβουλεύει 14 b 39 ; ὡς δὲ ἀσύμφορα **συμβουλεύουσιν** ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμολογήσαιεν 58 b 34 ; διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν ἢ συμβουλεύουσιν 78 a 9 ; ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξαι ὅτι οὕτως ἔχει ὥς φησιν ὁ **συμβουλεύων** 54 b 31 ; 59 a 31 (*supra*) ; δεῖ οὖν ἀποροῦντα τοῦτο ποιεῖν ὅπερ οἱ 'Αθήνησι ῥήτορες ποιοῦσι καὶ 'Ισοκράτης · καὶ γὰρ συμβουλεύων κατηγορεῖ 18 a 31 ; χρόνοι δὲ ἑκάστου τούτων εἰσὶ τῷ μὲν **συμβουλεύοντι** ὁ μέλλων 58 b 14 ; τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι, ... τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν 58 b 22 ; ἀναγκαῖον καὶ τῷ συμβουλεύοντι καὶ τῷ δικαζομένῳ καὶ τῷ ἐπιδεικτικῷ ἔχειν προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου 59 a 14 ; ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον 62 a 17 ; καὶ γὰρ **συμβουλεύοντα** τῷ 'Αχιλλεῖ καὶ ἐπαινοῦντα καὶ ψέγοντα κ. τ. α. 96 a 25 ; συμβουλῆς δὲ τὸ μὲν προτροπή, τὸ δὲ ἀποτροπή · ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ **συμβουλεύοντες** καὶ οἱ κοινῇ δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν 58 b 9 ; ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες τὰ μὲν ἄλλα πολλάκις προΐενται, ὡς δὲ ἀσύμφορα συμβουλεύουσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμολογήσαιεν 58 b 33-34 ; περὶ ὧν βουλεύονται πάντες καὶ περὶ ἃ ἀγορεύουσιν οἱ συμβουλεύοντες 59 b 20 ; δόξαι καὶ προτάσεις εἰσὶν ἐξ ὧν τὰς πίστεις φέρουσιν καὶ συμβουλεύοντες καὶ ἐπιδεικνύμενοι καὶ ἀμφισβητοῦντες 91 b 24 ; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες κ. τ. α. 91 b 31 ; συμβουλεύοντες δ' εἴ τι συμφέρον ἢ βλαβερόν 96 a 30 ; ἄλλος [τόπος] κοινὸς καὶ τοῖς ἀμφισβητοῦσιν καὶ τοῖς **συμβουλεύουσι**, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα 99 b 33 ; οἷον Ξενοφάνης 'Ελεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, **συνεβούλευεν**, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν 00 b 8 ; **συμβουλεύσαντος** 64 a 22 *var.*

συμβουλευτικός, ή, όν, qui concerne la délibération, délibératif (genre) : ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, **συμβουλευτικόν**, δικανικόν, ἐπιδεικτικόν 58 b 7 ; τὰ δὲ παραδείγματα τοῖς **συμβουλευτικοῖς** [ἐπιτηδειότατα] 68 a 30 ; περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον 69 b 30 ; περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον 91 b 19 ; ἔστιν δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ... τὸ δὲ γεγονὸς τοῖς δικανικοῖς, ... τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς 92 a 7 ; εἴρηται γὰρ ἐν τοῖς συμβουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν καὶ περὶ τοῦ μείζονος ἁπλῶς καὶ ἐλάττονος 93 a 11. — Voir ἀποδεικτικός, δεικτικός, δικανικός, ἐπιδεικτικός.

συμβουλή (ἡ), conseil, délibération : διαιρετέον ἰδίᾳ περὶ ἑκάστου τούτων, οἷον περὶ ὧν συμβουλὴ καὶ περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι 59 a 28 ; ὅσα δὲ ἐξ

ἀνάγκης ἢ ἔστιν ἢ ἔσται ἢ ἀδύνατον ἢ εἶναι ἢ γενέσθαι, περὶ δὲ τούτων οὐκ ἔστι συμβουλή 59 a 34 ; καὶ γὰρ ἢ κατηγορία καὶ ἢ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ἢ συμβουλή 14 b 4 ; **συμβουλῆς** δὲ τὸ μὲν προτροπή, τὸ δὲ ἀποτροπή 58 b 8 ; καὶ ἀπὸ συμβουλῆς [τὰ προοίμια] 14 b 35 ; δεῖ δὲ καὶ ἐν **συμβουλῇ** καὶ ἐν δικῇ ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον 18 b 7 ; ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων **συμβουλήν** 59 b 32 ; ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ **συμβουλαί** 67 b 36 ; πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς **συμβουλαῖς**, εἶτα καὶ ἐν ταῖς δίκαις τὸ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα 77 b 25 ; πρὸς δὲ τὰς πολιτικὰς **συμβουλὰς** αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίαι [χρήσιμοι] 60 a 36 ; καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι καὶ ἡ δίκη κρίσις ἐστίν 77 b 21 ; τὸ μὲν οὖν ποιόν τινα φαίνεσθαι τὸν λέγοντα χρησιμώτερον εἰς τὰς συμβουλάς ἐστιν 77 b 30.

σύμβουλος (ὁ, ἡ), conseiller : ἢ διαβάλλοντες ἢ ἐπαινοῦντες · ἀλλὰ τότε οὐ τὸ τοῦ **συμβούλου** ποιεῖ ἔργον 17 b 16 ; ἢ ὧν διδάσκαλοι ἢ **σύμβουλοι** γεγόνασιν 85 a 6.

Σύμηθεν, de Symé : « Νιρεὺς αὖ Σύμηθεν..., Νιρεὺς Ἀγλαΐης..., Νιρεὺς ὃς κάλλιστος » 14 a 3 (= *Iliade*, II, 671-673).

συμμάχεσθαι, combattre avec, être allié de guerre : καὶ τοὺς πρὸς τὸν βάρβαρον ἀριστεύσαντας καὶ **συμμαχεσαμένους** ἠνδραποδίσαντο 96 a 19.

συμμαχικός, ή, όν, qui concerne les alliés : καὶ γὰρ συμβουλεύων κατηγορεῖ [ὁ Ἰσοκράτης], οἷον... Χάρητος δ' ἐν τῷ **συμμαχικῷ** [λόγῳ] 18 a 32.

σύμμαχος, ος, ον, allié : « ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι » 18 b 20 (= Euripide, *Troyennes*, 969) ; « ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν **συμμάχων** περιορᾶν δουλεύοντας » 10 a 16 (= Isocrate, *Panég.*, § 181).

σύμμετρος, ος, ον, de même mesure, qui en harmonie avec : ἐφ' ὅσον ἦν τῷ παρόντι καιρῷ **σύμμετρον** 66 a 21 ; οἷον τὸ σύμμετρον τὴν διάμετρον εἶναι οὔτ' ἂν ἄρξαιτο γίγνεσθαι οὔτε γίγνεται 92 a 17.

συμπαραλαμβάνειν, prendre en outre en même temps : τὰ δ' ἄλλα πρὸς τοῦτο **συμπαραλαμβάνει** ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν · τοῖς δὲ δικαζομένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, τὰ δ' ἄλλα καὶ οὗτοι **συμπαραλαμβάνουσι** πρὸς ταῦτα 58 b 24-27 ; ἢ εἴ τις κύνα ἐγκωμιάζων, τὸν ἐν τῷ οὐρανῷ **συμπαραλαμβάνοι** ἢ τὸν Πᾶνα 01 a 16.

συμπαρανεύειν, donner ensemble son assentiment : ὅταν γὰρ λέγωσιν ἀμφίβολα [οἱ μάντεις], **συμπαρανεύουσιν** [οἱ πολλοί] 07 a 38.

συμπεραίνειν, conclure : καὶ **συμπεραινόμενον**, ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν 19 a 25.

συμπέρασμα (τὸ), terminaison, conclusion (d'un raisonnement) : πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερόν, ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν 19 a 8 ; καὶ συμπεραινόμενον, ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν 19 a 26 ; διὸ οὔτε ἐπερωτᾶν δεῖ μετὰ τὸ συμπέρασμα, οὔτε τὸ συμπέρασμα ἐπερωτᾶν, ἐὰν μὴ τὸ πολὺ περιῇ τοῦ ἀληθοῦς 19 b 1* ; ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ **συμπεράσματι** 94 b 30 ; σχεδὸν τὰ **συμπεράσματα** τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαί, ἀφαιρεθέντος τοῦ συλλογισμοῦ, γνῶμαί εἰσι 94 a 27.

συμπερασματικῶς, sous forme de conclusion : ὥσπερ ἐν τοῖς διαλεκτικοῖς τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν 01 a 3.

συμπεριπατεῖν, circuler ensemble : τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ

οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος, ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς **συμπεριπατοῦντας** 09 b 24.

συμπίπτειν, tomber ensemble, survenir : ἢ ὅτι ἀπὸ τύχης **συνέπεσεν** ἢ συνηναγκάσθησαν 85 b 2.

συμπράττειν, assister, aider, secourir : καὶ ἐάν τε ἀντιπράττῃ τις ἐάν τε μὴ **συμπράττῃ** ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, πᾶσιν ὀργίζεται 79 a 16 ; καὶ οἷς ἂν τἀγαθὰ **συμπράττωσιν** ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά 81 b 23.

σύμπτωμα (τὸ), événement fortuit, coïncidence : διὸ καὶ τὰ **συμπτώματα καὶ τὰ** ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον 67 b 24.

συμφέρειν, être utile, avantageux ; **τὸ συμφέρον**, ce qui est utile, l'avantage : οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις 62 b 38 ; ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος 63 b 5-7 ; διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται · ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν, ἀλλὰ δι' ἡδονήν 69 b 8-9-10-11 ; ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα **συμφέρει** ἑκάστῃ 60 a 21 ; ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι 60 a 31 ; καὶ οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει · οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρεία μάλιστα ὠφέλιμον τοῖς πολίταις 62 b 31-32 ; πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ σῷζον τὴν πολιτείαν 65 b 25-26 ; ἢ ἂν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω... 83 a 24 ; οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν 15 a 37 ; οἷον εἴ τις λέγοι · ταῖς πόλεσι **συμφέρουσιν** οἱ ἐρῶντες 01 b 10 ; ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ **συμφέρον** καλῶς τοὺς κρίνοντας 54 b 4 ; πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρηται πολλάκις 54 b 9 ; τέλος δὲ... τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν 58 b 22 ; τούτῳ δὲ ὁ μὲν τοιοῦτος θάνατος κάλλιον, τὸ δὲ ζῆν συμφέρον 59 a 5 ; ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον, ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις, τὸ δὲ συμφέρον, ἀγαθόν, ληπτέον ἂν εἴη τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς 62 a 18-19-20-21 ; καὶ τὸ δίκαιον · συμφέρον γάρ τι κοινῇ ἐστιν 62 b 28 ; καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τε καὶ συμφέρον, ἀλλ' οὐ τὸ δοκοῦν 75 b 3 ; ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον 75 b 13 ; περὶ δὲ τοῦ ποῖον οἱ μάρτυρες, οἷον εἰ δίκαιον ἢ ἄδικον, εἰ συμφέρον ἢ ἀσύμφορον 76 a 15 ; ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς 76 b 29 ; καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν 89 b 2 ; καὶ πρὸς τὸ συμφέρον ζῶσιν [οἱ πρεσβύτεροι], ἀλλ' οὐ πρὸς τὸ καλόν 89 b 36 ; τὸ μὲν γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς 90 a 1 ; καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον, οὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω [οἱ ἀκμάζοντες] 90 a 33 ; ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον 93 a 14 ; συμβουλεύοντες δ' εἴ τι συμφέρον ἢ βλαβερόν 96 a 30 ; ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον 17 a 36 ; **συμφέροντος** 62 a 21 (*supra*) ; περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτων ληπτέον τὰς πίστεις 63 b 3 ; 63 b 7 (*supra*) ; καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν 66 a 18 ; περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν 69 b 29 ; ἔστι δὲ ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ τοῦ καλοῦ 89 a 34 ; διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως

τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν [οἱ πρεσβύτεροι] 90 a 3; ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος, τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστιν 90 a 17 (voir 89 a 34 *supra*); πείθονται γὰρ ἅπαντες τῷ **συμφέροντι** 65 b 25 (*supra*); ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες οὐ σκοποῦσιν εἰ **συμφέροντα** ἔπραξεν ἢ βλαβερά 59 a 1; 62 a 19 (*supra*); καὶ τὰ ἑκάστης [πολιτείας] ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν 65 b 24; δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον 66 a 7; 69 b 10 (*supra*); ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα 69 b 28; φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινοῦσι μάλιστα, ἰδίᾳ δὲ τὰ συμφέροντα μᾶλλον βούλονται 99 a 32; καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν **συμφερόντων** [οἱ νέοι] 89 a 33.

συμφορά (ἡ), malheur : « Πενθεὺς ἐσομένης **συμφορᾶς** ἐπώνυμος » 00 b 28 (= Chérémon, *Dionysos*, *fr.* 4, Nauck p. 783 = Snell p. 218); « ἀλλ' ἵνα τὰς **συμφορὰς** λάθωσιν ἐπιφανεστέρας » 99 b 26 (*fragm. trag. anon.*, Nauck p. 855).

[**σύν**, avec : la préposition σύν, fort peu employée par Aristote, ne se rencontre dans la *Rhétorique* qu'en composition.]

συνάγειν, rassembler, déduire, conclure : ἐνδέχεται δὲ συλλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμένων πρότερον, τὰ δ' ἐξ ἀσυλλογίστων μέν, δεομένων δὲ συλλογισμοῦ 57 a 8; οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ λαμβάνοντας συνάγειν 95 b 26; καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ 96 a 2; μηδὲν γὰρ ἔχων ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν 96 a 7; ἔστι δὲ τὸ μὲν δεικτικὸν ἐνθύμημα τὸ ἐξ ὁμολογουμένων συνάγειν, τὸ δὲ ἐλεγκτικὸν τὰ ἀνομολογούμενα συνάγειν 96 b 26-27; ἄλλος [τόπος]... ἐκ τούτων πειρᾶσθαι συνάγειν θάτερον 99 a 33; ὅθεν λέγεται ὡς τὰ κακὰ **συνάγει** τοὺς ἀνθρώπους, ὅταν ᾖ ταὐτὸ βλαβερὸν ἀμφοῖν 63 a 1; ἐπαινεῖ γὰρ τοὺς τὰς πανηγύρεις **συνάγοντας** 14 b 33; « πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις **συναγαγόντων** καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων » 09 b 35 (= Isocrate, *Panég.*, § 1); καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, λύχνῳ ψακαζομένῳ μύωπα · ἄμφω γὰρ **συνάγεται** 13 a 5; ἔστι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ ὄντων ἢ δοκούντων **συνηγμένα** ἐνθυμήματα ἐκ τῶν εἰκότων 02 b 15.

συναγωγή (ἡ), rapprochement : ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστὶν 10 a 23; διὰ τὸ **συναγωγὴν** μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα 00 b 30.

συναιρεῖν, établir (des rapports personnels) : πρὸς οὓς [δικαστὰς] καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον **συνῄρηται** πολλάκις, ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές 54 b 9.

συνακτέον, il faut déduire, conclure : ἐνταῦθα οὖν συνακτέον καὶ τὸ ἐπιορκεῖν, ὅτι ἔστι τὸ τῇ διανοίᾳ, ἀλλ' οὐ τῷ στόματι 77 b 6.

συναλγεῖν, partager la peine ou la souffrance de quelqu'un : οἱ γὰρ φίλοι **συναλγοῦσιν**, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν 79 b 22; ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ **συναλγοῦντα** τοῖς λυπηροῖς μὴ διά τι ἕτερον, ἀλλὰ δι' ἐκεῖνον 81 a 4.

συναλείφειν, effacer (sens figuré : « passer l'éponge sur ») : [αἰσχρὸν]τὸ δ' ἐπαινεῖν παρόντας κολακείας καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν, τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα 83 b 31.

συνάλλαγμα (τὸ), contrat, convention, échange : καλλίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας οὔσης ἢ τῆς περὶ τὰ **συναλλάγματα** 54 b 25; ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν **συναλλαγμάτων** καὶ τὰ ἑκούσια κατὰ συνθήκας 76 b 12.

συναναγκάζειν, contraindre en même temps : ἢ ὅτι ἀπὸ τύχης συνέπεσεν ἢ **συνηναγκάσθησαν** 85 b 3.

συναπεργάζεσθαι, venir en aide (achever l'effet de la parole par le geste et la diction) : ἀνάγκη τοὺς **συναπεργαζομένους** σχήμασι καὶ φωναῖς καὶ ἐσθῆσι καὶ ὅλως ἐν ὑποκρίσει ἐλεεινοτέρους εἶναι 86 a 32.

συναποθνήσκειν, mourir avec : Ἀντιφῶν ὁ ποιητής... ἰδὼν τοὺς συναποθνήσκειν μέλλοντας ἐγκαλυπτομένους ὡς ᾔεσαν διὰ τῶν πυλῶν 85 a 11.

συνάπτειν, rattacher, relier : καὶ γὰρ οἱ αὐληταί, ὅ τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο προαυλήσαντες **συνῆψαν** τῷ ἐνδοσίμῳ, καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις δεῖ οὕτως γράφειν, ὅ τι γὰρ ἂν βούληται εὐθὺ εἰπόντα ἐνδοῦναι καὶ **συνάψαι**, ὅπερ πάντες ποιοῦσιν 14 b 24-26.

συναριθμεῖσθαι, se compter ensemble, s'additionner : ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων **συναριθμουμένου** τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων μεῖζον ἀγαθὸν εἶναι 63 b 19.

συνάχθεσθαι, partager l'affliction, la peine de quelqu'un : δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν 86 b 13.

σύνδεσμος (ὁ), conjonction ou particule de liaison, lien (au plur. : membres de phrase liés par une conjonction ou une particule de liaison) : ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά, ὥστε ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίον ἔσται τὸ ἓν πολλά 13 b 33 ; δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ **συνδέσμου** ἀποδιδόναι τοῦ ἀναγκαίου · ὀλιγαχοῦ γὰρ ἁρμόττει 07 a 25* ; ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου προεμβέβληνται σύνδεσμοι 07 a 29* ; καὶ μετὰ συνδέσμου λέγειν · ἐὰν δὲ συντόμως, ἄνευ μὲν συνδέσμου, μὴ ἀσύνδετα δέ, οἷον « πορευθεὶς καὶ διαλεχθείς », « πορευθεὶς διελέχθην » 07 b 38-39 ; τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην καὶ τῷ **συνδέσμῳ** μίαν, ... ἢ κατεστραμμένην 09 a 25 ; **σύνδεσμον** 07 a 25 (*supra*) ; **σύνδεσμοι** 07 a 29 (*supra*) ; ὅπερ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν [sc. τὸ εὐανάγνωστον καὶ εὔφραστον εἶναι] 07 b 12 ; πρῶτον μὲν ἐν τοῖς **συνδέσμοις** [τὸ ἑλληνίζειν ἐστίν] 07 a 21 ; ἓν μὲν δὴ τὸ εὖ ἐν τοῖς συνδέσμοις 07 a 31.

συνδιάγειν, passer sa vie avec : ἔτι τοὺς ἡδεῖς **συνδιαγαγεῖν** καὶ συνδιημερεῦσαι [φιλοῦσιν] 81 a 29.

συνδιημερεύειν, passer la journée avec : ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ **συνδιημερεῦσαι** [φιλοῦσιν] 81 a 29.

συνδρομή (ἡ), concours, réunion : καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευεν μὴ πολλὰς ποιήσωσιν τὰς **συνδρομάς** 11 a 29.

συνδυάζειν, unir deux à deux (pass. : être pris deux par deux) : καὶ **συνδυαζομένων** πῶς λεκτέον δῆλον 77 a 30.

σύνεγγυς, tout proche, tout près de (lieu & temps) : ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον 67 a 33 ; καὶ ταῦτα ἐὰν μὴ πόρρω, ἀλλὰ σύνεγγυς φαίνηται ὥστε μέλλειν [φοβοῦνται] 82 a 25 ; δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύννεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν 86 b 16.

συνεθίζειν, accoutumer, habituer : πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν **συνεθισθῶσιν**, ἡδέως ποιοῦσιν 69 b 18.

συνειδέναι, « savoir avec » (être complice) : ὥστε οἱ **συνειδότες** πεποιηκότι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν 82 b 6 ; διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις... καὶ τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες 84 b 17 ;

καὶ μέλλοντες ὁρᾶσθαι καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς **συνειδόσιν** αἰσχυντηλοὶ μᾶλλον εἰσίν 85 a 9.

συνεῖναι, avoir des rapports avec quelqu'un : οἷον ὑποβεβλημένης τινὸς τὸν αὐτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή 00 a 27.

συνεπαινεῖν, louer en même temps : ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν **συνεπαινεῖσθαι** τὸν ἀκροατήν 15 b 29.

συνεστραμμένως, d'une manière serrée, concise : 01 a 5 *var.* : voir συστρέφειν.

συνηγορεῖν, parler pour, plaider en faveur de : οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος **συνηγορῶν** 74 b 36 ; Αἴσωπος δὲ ἐν Σάμῳ συνηγορῶν 93 b 23 *var.*

συνήδεσθαι, partager la joie de quelqu'un : ἀνάγκη φίλον εἶναι τὸν **συνηδόμενον** τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς λυπηροῖς 81 a 4.

συνήθεια (ἡ), habitude, accoutumance : τῶν μὲν οὖν πολλῶν οἱ μὲν εἰκῇ ταῦτα δρῶσιν, οἱ δὲ διὰ **συνήθειαν** ἀπὸ ἕξεως 54 a 7 ; δι' ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν καὶ οἱ ἀπὸ τοῦ αὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται 54 a 9 ; διὰ συνήθειαν 68 a 21 *var.* — Voir ἀσυνήθεια.

συνήθης, ης, ες, habituel, accoutumé, familier : καὶ περὶ τὰς ἐσπουδασμένας δὲ παιδιὰς ὁμοίως · αἱ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ᾖ συνήθης 71 a 5 ; ἔστιν δὲ καὶ τὸ **σύνηθες** καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσιν 69 b 16 ; καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ · τὸ γὰρ σύνηθες ἡδὺ ἦν 71 a 25 ; τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ **συνήθεις** καὶ οἱ πολῖται τῶν ἄπωθεν 71 a 11 ; διὸ καὶ τὸ διασπᾶσθαι ἀπὸ φίλων καὶ **συνήθων** ἐλεεινόν 86 a 11.

σύνθεσις (ἡ), combinaison, arrangement, synthèse : ἡ γὰρ σύνθεσις ὑπεροχὴν δείκνυσι πολλήν 65 a 17.

συνθήκη (ἡ), arrangement, convention, traité : ἔστι γὰρ ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη 73 b 8 ; ἡ γὰρ συνθήκη νόμος ἐστὶν ἴδιος καὶ κατὰ μέρος, καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ νόμους συνθήκας. Καὶ ὅλως αὐτὸς ὁ νόμος συνθήκη τίς ἐστιν, ὥστε ὅστις ἀπιστεῖ ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ 76 b 7-8-9-10* ; ὁμολογουμένης δ' εἶναι τῆς **συνθήκης**, οἰκείας μὲν οὔσης αὐξητέον 76 b 6 ; **συνθήκην** 76 b 10 (*supra*) ; ἵνα πρὸς τούτους καὶ **συνθῆκαι** καὶ συμβολαὶ γίγνωνται 60 a 15 ; εἰσὶν δὲ πέντε τὸν ἀριθμόν, νόμοι, μάρτυρες, συνθῆκαι, βάσανοι, ὅρκος [αἱ ἄτεχνοι καλούμεναι πίστεις] 75 a 24 ; ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν 76 b 5 ; 76 b 8 (*supra*) ; καὶ τὸ μὲν δίκαιον οὐκ ἔστιν μεταστρέψαι οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ (πεφυκὸς γάρ ἐστιν), συνθῆκαι δὲ γίγνονται καὶ ἐξαπατηθέντων καὶ ἀναγκασθέντων 76 b 22 ; περὶ δὲ τῶν **συνθηκῶν** τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν 76 a 33 ; ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ **συνθήκαις** ἀναγκαῖον 76 b 19 ; πρὸς δὲ τούτοις σκοπεῖν... ἔπειτα εἰ ἢ ἄλλαις συνθήκαις ὑστέραις ἢ προτέραις 76 b 26 ; **συνθήκας** 76 b 9 (*supra*) ; ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκούσια κατὰ συνθήκας 76 b 12 ; καὶ τὸ τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων 11 b 16. — Voir νόμος.

συνθλίβειν, presser, comprimer : ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ πιέζοντα ἢ **συνθλίβοντα**, ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτων τισίν ἐστιν ἰσχυρός 61 b 17.

συνιδεῖν, comprendre : 10 b 33 : voir συνορᾶν.

συνιστάναι, réunir, retenir, se composer de : διὸ καὶ αἱ τέχναι **συνέστησαν**, ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ καὶ ἄλλαι γε 04 a 23 ; ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος **συνέστηκεν** 91 b 16 ; ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγος συνέστηκεν 04 b 26 ; τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι **συνεστηκὼς** ἐκ τῶν εἰρημένων προτάσεων 59 a 10.

συννεφεῖν, se couvrir de nuages : καὶ εἰ προγέγονε ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ **συννεφεῖ** εἰκὸς ὗσαι 93 a 6.

συνομνύναι, prêter serment avec : οἷον « καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, **συνώμοσεν** δὲ τοῖς Τριάκοντα » 00 a 19. — Voir ὀμνύναι.

συνομολογεῖν, convenir de, s'accorder : **συνομολογήσαντος** δὲ [τοῦ ἀνθρώπου] καὶ ἀναβάντος ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς [ὁ ἵππος] ἐδούλευσε τῷ ἀνθρώπῳ 93 b 17.

συνομοπαθεῖν, être affecté de la même manière : καὶ **συνομοπαθεῖ** ὁ ἀκούων ἀεὶ τῷ παθητικῶς λέγοντι, κἂν μηθὲν λέγῃ 08 a 23 (*var.* συνομοιοπαθεῖ).

συνορᾶν, avoir une vue d'ensemble : καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν 57 a 4 ; ταῦτα δ' οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων συμβουλήν 59 b 31 ; καὶ ταύτην [μεταφορὰν] μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ **συνιδεῖν**, μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν 10 b 33.

συντείνειν, tendre ensemble vers, contribuer à la tension : εἰς γὰρ ταῦτα [sc. τὸν πλοῦτον καὶ τὴν δύναμιν] **συντείνουσιν** αἱ μέγισται δοκοῦσαι εἶναι εὐτυχίαι 91 a 31 ; ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατριπτέον, ἐὰν μή τι εἰς ἐκεῖνο **συντείνῃ**, οἷον εἰ πέπρακται, ἀλλ' οὐκ ἄδικον 17 a 11 ; καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ **συντείνοντα** πρὸς αὐτά 78 b 13 ; περὶ γὰρ ταύτης [τῆς εὐδαιμονίας] καὶ τῶν εἰς ταύτην **συντεινόντων** καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε προτροπαὶ καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσιν 60 b 9 ; ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην **συντεινούσας** 92 a 30.

συντιθέναι, composer (une œuvre littéraire), réunir les éléments, accumuler, conclure un accord : καὶ τὸ συντιθέναι δὲ καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμος, διά τε τὸ αὐτὸ τῇ διαιρέσει 65 a 16 ; πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε · **συντίθησι** γάρ 01 a 36 ; κλέπτεται δ' εὖ [ἡ τέχνη], ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων **συντιθῇ** 04 b 25 ; ἄλλος [τόπος] τὸ διῃρημένον **συντιθέντα** λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα 01 a 25 ; νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων **συντιθέντες** οὐδὲν ὡς εἰπεῖν πεπορίκασιν αὐτῆς μόριον 54 a 12 ; οἷον ἐνίοτε **ὁ** μὲν κελεύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει μὴ **συντίθεσθαι** παρὰ τὸν νόμον 75 b 10* ; ὁ μὲν οὖν λόγος **συντίθεται** ἐκ τούτων 07 a 19 ; **συντεθέντα** γὰρ ἴσως οὐκέτι δίκαιον 01 b 1 ; ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη, **συντεθέντων** δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι 01 a 12 ; **συνθῶνται** 75 b 10 (*supra*).

συντομία (ἡ), concision, brièveté : εἰς δὲ **συντομίαν** τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα 07 b 28. — Opp. ὄγκος.

σύντομος, ος, ον, concis, court : ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφής, οὐδὲ ἂν σύντομος, ἀλλὰ δῆλον ὅτι τὸ μέσον ἁρμόττει 14 a 25.

συντόμως, en peu de mots, avec concision : καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, « τῆς γυναικὸς τῆς ἡμετέρας » · ἐὰν δὲ συντόμως, τοὐναντίον, « τῆς ἡμετέρας γυναικός » 07 b 37 ; καὶ μετὰ συνδέσμου λέγειν · ἐὰν

δὲ συντόμως, ἄνευ μὲν συνδέσμου, μὴ ἀσύνδετα δέ, οἷον « πορευθεὶς καὶ διαλεχθείς », « πορευθεὶς διελέχθην » 07 b 38 ; ἄλλος [τόπος] τῷ διαβάλλοντι, τὸ ἐπαινοῦντα μικρὸν μακρῶς, ψέξαι μέγα συντόμως 16 b 5 ; οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ τὸ ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ μετρίως 16 b 35 ; ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως 19 a 21. — Voir μακρῶς.

συντονία (ἡ), tension de l'esprit, application intense : τὰς δ' ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς **συντονίας** λυπηράς · ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶσιν 70 a 12.

συντρέχειν, courir ensemble : καὶ Ἰσοκράτης πρὸς τοὺς **συντρέχοντας** ἐν ταῖς πανηγύρεσιν 11 a 30 (Isocrate, *Philippe*, § 12).

συνωνυμία (ἡ), similitude de sens, synonymie : τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι, ... τῷ δὲ ποιητῇ δὲ **συνωνυμίαι** 04 b 39.

συνώνυμος, ος, ον, de même sens, synonyme : λέγω δὲ κύριά τε καὶ **συνώνυμα** οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν · ταῦτα γὰρ ἀμφότερα καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις 04 b 39-05 a 2.

Συρακόσιοι (οἱ), les Syracusains : τὰ γὰρ βέλτιστα τεθέανται · διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς **Συρακοσίους** 84 b 16.

σύστοιχος, ος, ον, qui est sur la même ligne ; au plur. : termes d'une même série : καὶ ὡς ἂν ἐκ τῶν **συστοίχων** καὶ τῶν ὁμοίων πτώσεων, καὶ τἆλλ' ἀκολουθεῖ 64 b 34.

συστρέφειν, resserrer, condenser, exposer dans un langage concis : διὸ καὶ τὰ ἐνθυμήματα ὅτι μάλιστα συστρέφειν δεῖ 19 a 19 ; καὶ ἐν τοῖς ἐνθυμήμασι τὸ **συνεστραμμένον** καὶ ἀντικειμένως εἰπεῖν φαίνεται ἐνθύμημα 01 a 5.

σφαίρισις (ἡ), jeu de balle : ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι... καὶ ἀστραγαλίσεις καὶ **σφαιρίσεις** καὶ κυβείας καὶ πεττείας 71 a 2.

σφετερισμός (ὁ), action de s'approprier (le bien d'autrui) : οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, ἔκλεψεν, ἀλλ' εἰ ἐπὶ βλάβῃ ⟨τούτου ἀφ' οὗ ἔλαβε⟩ καὶ **σφετερισμῷ** ἑαυτοῦ 74 a 16.

σφέτερος, α, ον, leur : ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ **σφετέρῳ** ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους 90 a 25.

σφόδρα, fortement, vivement, tout à fait : ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα [δημοκρατία] 60 a 27 ; ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα 60 a 29 ; καὶ οἱ σφόδρα εὐδοκιμοῦντες καὶ οἱ σφόδρα ἀδοξοῦντες 72 b 21* ; ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπερέχειν 79 b 1 ; καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους 81 b 27 ; τὰ γὰρ πόρρω σφόδρα οὐ φοβοῦνται 82 a 25 ; ἢ παρ' ὧν τυγχάνουσιν δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι 84 a 30 ; μεγάλη δὲ [χάρις] ἂν ᾖ σφόδρα δεομένῳ 85 a 20 ; μήτ' αὖ φοβούμενοι σφόδρα 85 b 32 ; ἂν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι 86 a 18 ; καὶ σφόδρα μὲν ἐπιθυμοῦσι, ταχέως δὲ παύονται [οἱ νέοι] 89 a 7 ; καὶ οὔτε φιλοῦσι σφόδρα, οὔτε μισοῦσι διὰ ταῦτα [οἱ πρεσβύτεροι] 89 b 23 ; καὶ οὔτε σφόδρα θαρροῦντες, ... οὔτε λίαν φοβούμενοι [οἱ ἀκμάζοντες] 90 a 29 ; ἐρυθρὸν γάρ τι τὸ ὑπώπιον, ἀλλὰ τὸ πολὺ σφόδρα 13 a 24.

σφοδρός, ά, όν, fort, violent : καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ **σφοδρότερον** ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον [οἱ νέοι] 89 b 3.

σφοδρότης (ἡ), véhémence, impétuosité : εἰσὶ δ' αἱ ὑπερβολαὶ μειρακιώδεις · **σφοδρότητα** γὰρ δηλοῦσιν 13 a 30.

σχεδόν, presque, à peu près, peu s'en faut : ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος 56 a 13 ; εἴρηται σχεδὸν ἱκανῶς 56 a 35 ; διαφορὰ καὶ

μάλιστα λεληθυῖα σχεδὸν παρὰ πᾶσιν 58 a 3; σχεδὸν γάρ, ..., τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα 59 b 19; σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν 60 b 4; σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες 60 b 17; σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν 61 a 10; ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστιν 62 b 29; σχεδὸν εἴρηται 65 b 20; ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες 68 a 34; σχεδὸν ταῦτ' ἐστίν 73 a 38; σχεδὸν ὡς εἰπεῖν τὰ μέγιστα ταῦτ' ἐστίν 82 b 27; σχεδὸν περὶ πάντα φθόνος ἐστί 88 a 2; σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα 89 b 14; ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη 91 a 20; σχεδὸν τὰ συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν 94 a 26; σχεδὸν μὲν οὖν ἡμῖν περὶ ἕκαστον τῶν εἰδῶν... ἔχονται οἱ τόποι 96 b 27; τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν 03 b 32; αἱ δ' ἀρεταὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται 10 b 3; ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται καὶ διότι, σχεδὸν εἴρηται τὸ αἴτιον 13 a 21.

σχετλιασμός (ὁ), mécontentement, plainte : καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν **σχετλιασμῷ** καὶ δεινώσει 95 a 9.

σχῆμα (τὸ), figure, contour, extérieur : διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορική 56 a 28; καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως 01 a 8; τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι μήτε ἄρρυθμον 08 b 21; ὁ δὲ τοῦ **σχήματος** τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν 08 b 28; κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων, κατὰ δὲ τὴν λέξιν τῷ μὲν **σχήματι**, ἐὰν ἀντικειμένως λέγηται 10 b 29; ἢ τὰ εὐμετάβλητα **σχήμασιν** ἢ χρώμασιν ἢ κράσεσιν, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον 73 a 30; ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ φωναῖς καὶ ἐσθῆσι καὶ ὅλως ἐν ὑποκρίσει ἐλεεινοτέρους εἶναι 86 a 32.

σχολῇ, encore moins (adverbe en apodose) : ἄλλος [τόπος] ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οἷον εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασιν, σχολῇ οἵ γε ἄνθρωποι 97 b 15.

σῴζειν, sauver, sauvegarder : πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ **σῷζον** τὴν πολιτείαν 65 b 26; ὅτι τοὺς μὲν **ἔσωσε**, τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσε 01 a 10; καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν **σῴζεσθαι** ἐκ τῶν κινδύνων · πάντα γὰρ θαυμαστὰ ταῦτα 71 b 11; « οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ' αἰσχρῶς **ἐσώθησαν** » 10 a 14 (= Isocrate, *Panég.*, § 149); « ἀλλ' ἡδύ τοι **σωθέντα** μεμνῆσθαι πόνων » 70 b 4 (= Euripide, *Andromède*, *fr.* 133, Nauck, p. 199).

Σωκράτης (ὁ), Socrate : οἷον εἴ τις εἴπειεν σημεῖον εἶναι ὅτι οἱ σοφοὶ δίκαιοι, Σωκράτης γὰρ σοφὸς ἦν καὶ δίκαιος 57 b 12; ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν 67 b 8; καὶ δι' ὃ Σωκράτης οὐκ ἔφη βαδίζειν ὡς Ἀρχέλαον · ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς 98 a 25; ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ Ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλ' ἐν Λακεδαιμονίοις 15 b 31; οἷον Σωκράτης, Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι, ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δέ · « ἔστιν οὖν, ἔφη, ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ; » 19 a 8; τὰ δὲ στάσιμα [γένη] εἰς ἀβελτερίαν καὶ νωθρότητα [ἐξίσταται], οἷον οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ **Σωκράτους** 90 b 31; παράδειγμα ἐκ τοῦ Σωκράτους τοῦ Θεοδέκτου · « εἰς ποῖον ἱερὸν ἠσέβηκεν; τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει; » 99 a 8; οἷον ἡ ἰατρικὴ τί **Σωκράτει** τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε ἢ τοῖς τοιοῖσδε · τοῦτο γὰρ ἔντεχνον, τὸ δὲ

καθ' ἕκαστον ἄπειρον καὶ οὐκ ἐπιστητόν · οὐδὲ ἡ Ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδοξον θεωρήσει, οἷον Σωκράτει ἢ Ἱππίᾳ, ἀλλὰ τὸ τοιοῖσδε, καθάπερ καὶ ἡ διαλεκτική 56 b 31-34 ; καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαστα, οἷον Καλλίαν ἢ **Σωκράτην**, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη 82 a 6 ; ἢ ὥσπερ Ἀρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο · « ἀλλὰ μὴν ὅ γ' ἑταῖρος ἡμῶν, ἔφη, οὐθὲν τοιοῦτον », λέγων τὸν Σωκράτην 98 b 33.

Σωκρατικοὶ λόγοι (οἱ), **Σωκρατικά** (τά), les Dialogues Socratiques, les « Dits de Socrate » : διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν (τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν), ἀλλ' οἱ Σωκρατικοί · περὶ τοιούτων γὰρ λέγουσιν 17 a 21 ; παραβολὴ δὲ τὰ Σωκρατικὰ οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν 93 b 4.

σῶμα (τό), corps, personne, dispositions physiques : οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέγουσιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως 54 a 15 ; νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν 61 b 8 ; τὸ μὲν γὰρ ἄλλου ἕνεκα, τὸ δὲ αὑτοῦ, οἷον τὸ γυμνάζεσθαι τοῦ εὖ ἔχειν τὸ σῶμα 64 a 5 ; καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν μάλιστα ἀκολουθητικοί εἰσιν [οἱ νέοι] ταῖς περὶ τὰ ἀφροδίσια 89 a 4 ; ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα 90 b 9 ; καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν 91 a 32 ; καὶ οὐ τὸ σῶμα παρήμπισχεν, ἀλλὰ « τὴν τοῦ σώματος αἰσχύνην » 06 a 28-29 (Alcidamas) ; ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν 15 b 8 ; πρὸς δὲ τούτοις ἄτοπον εἰ τῷ σώματι μὲν αἰσχρὸν μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ, λόγῳ δ' οὐκ αἰσχρόν · ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ **σώματος** χρείας 55 a 39-55 b 2 ; ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν, κάλλος, ἰσχύν, κ. τ. α. 60 b 21 ; νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ κατ' ἀρετὴν σώματος, οἷον μέγεθος, κάλλος, ἰσχύν, κ. τ. α. 61 a 2 ; θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 6 ; σώματος δὲ ἀρετὴ ὑγίεια, αὕτη δὲ οὕτως ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν 61 b 3-4 ; ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ τάχους 61 b 21 ; ἔστιν δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης 61 b 29 ; πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν 61 b 33 ; ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν 62 b 15 ; σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει 66 b 14 ; καὶ ἄδικοί εἰσιν... ὁ δ' ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς 68 b 17 ; ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι [ἐπιθυμίαι], οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα 70 a 21 ; ταῦτα δ' ἐστὶ τὰ εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστιν τὸ ὑβρίζεσθαι 84 a 17 ; καὶ αἱ ἐν ταῖς τοῦ σώματος κακώσεσιν καὶ ἐν κινδύνοις [δεήσεις] 85 a 24 ; τῶν Ἱμεραίων... μελλόντων φυλακὴν διδόναι τοῦ σώματος 93 b 12 ; ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν 98 a 24 ; 06 a 29 (*supra*) ; **σώματι** 55 a 39 (*supra*) ; ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή 60 b 27 ; ἔστω δὴ εὐδαιμονία... ἢ εὐθενία κτημάτων καὶ **σωμάτων** μετὰ δυνάμεως φυλακτικῆς τε καὶ πρακτικῆς τούτων 60 b 16 ; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας κ. τ. α. 83 b 1 ; ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ νόσοι καὶ τροφῆς ἔνδεια 86 a 8 ; Ἰσοκράτης δὲ ψέγει ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν 14 b 34 ; καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις ἐκ προϋπαρχόντων ἐστίν 19 b 22 ; **σώμασιν** 61 b 4 (*supra*).

σωρεύειν, entasser, amonceler : ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν 90 b 18.

Σώτειρα (ἡ), déesse Salutaire : οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς **Σωτείρας** ἱερῶν 19 a 3.

σωτηρία (ἡ), conservation, préservation, salut : ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως 60 a 20 ; ἀλλὰ δεῖ τινα ἐλπίδα ὑπεῖναι **σωτηρίας**, περὶ οὗ ἀγωνιῶσιν 83 a 6 ; 19 a 3 *var.* : voir Σώτειρα ; εὐεργεσία δὲ ἡ εἰς **σωτηρίαν** καὶ ὅσα αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν 61 a 30 ; ἔτι τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς σωτηρίαν [φιλοῦσιν] 81 a 20 ; καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν 98 b 10.

σωτήριος, ος, ον, secourable, qui assure le salut : ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα ἢ τὰ **σωτήρια** ἐγγύς 83 a 20 ; ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν **σωτηρίων** ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων 83 a 18.

σωφρονεῖν, être sage, modéré, tempérant : καὶ ἀνδρεία σωφροσύνης αἱρετωτέρα καὶ τὸ ἀνδρεῖον εἶναι τοῦ σωφρονεῖν 64 b 37 ; οἷον ὅτι τὸ σωφρονεῖν ἀγαθόν · τὸ γὰρ ἀκολασταίνειν βλαβερόν 97 a 10.

σωφρονικός, ή, όν, modéré, tempérant : διὸ **σωφρονικοὶ** φαίνονται οἱ τηλικοῦτοι [οἱ πρεσβύτεροι] · αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι καὶ δουλεύουσι τῷ κέρδει 90 a 14.

σωφρόνως sagement, avec modération : οἷον εἰ τὸ ἀνδρείως κάλλιον καὶ αἱρετώτερον τοῦ σωφρόνως 64 b 36.

σωφροσύνη (ἡ), sagesse, bon sens, prudence, modération : ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρεία νέου ἀρεταὶ 61 a 3 ; θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 7 ; δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις 62 b 12 ; μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία 66 b 1 ; σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει · ἀκρασία δὲ τοὐναντίον 66 b 13 ; καὶ ἀνδρεία **σωφροσύνης** αἱρετωτέρα καὶ τὸ ἀνδρεῖον εἶναι τοῦ σωφρονεῖν 64 b 36 ; καὶ σώφρονες μετ' ἀνδρίας καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης [οἱ ἀκμάζοντες] 90 b 4 ; ἀρετήν... ἢ καὶ τὰ μέρη αὐτῆς φρόνησιν, ἀνδρείαν, δικαιοσύνην, **σωφροσύνην** 60 b 24.

σώφρων, ων, ον, sain d'esprit, modéré, simple, tempérant : εὐθὺς γὰρ ἴσως τῷ μὲν **σώφρονι** διὰ τὸ **σώφρονα** εἶναι δόξαι τε καὶ ἐπιθυμίαι χρησταὶ ἐπακολουθοῦσι περὶ τῶν ἡδέων, τῷ δ' ἀκολάστῳ αἱ ἐναντίαι περὶ τῶν αὐτῶν τούτων 69 a 21* ; τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις ἄλλη ἤθους ἀρετή ; 14 a 21 ; καὶ **σώφρονες** μετ' ἀνδρίας καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης [οἱ ἀκμάζοντες]. Ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διήρηται ταῦτα · εἰσὶν γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι, οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί 90 b 3-6 ; καὶ τοὺς **σώφρονας** [φιλοῦσιν], ὅτι οὐκ ἄδικοι 81 a 24.

* * *

τάλαρος (ὁ), panier, corbeille : συκαμίνων **τάλαρον** 13 a 23 *var.* : voir κάλαθος.

τάξις (ἡ), rang, place, ordre des parties dans le discours : λοιπὸν δὲ διελθεῖν

περὶ λέξεως καὶ **τάξεως** 03 b 3 ; περὶ μὲν οὖν λέξεως εἴρηται... λοιπὸν δὲ περὶ τάξεως εἰπεῖν 14 a 30 ; μοναρχία δ' ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν · τούτων δὲ ἡ μὲν κατὰ **τάξιν** τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς 66 a 2.

ταπεινός, ή, όν, bas, humble, modeste : ἡ γὰρ ποιητικὴ [λέξις] ἴσως οὐ **ταπεινή**, ἀλλ' οὐ πρέπουσα λόγῳ 04 b 4 ; **ταπεινόν** 14 a 24 & 28 *var.* ; καὶ μήτε **ταπεινὴν** μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν [τὴν λέξιν] 04 b 3 ; μὴ ταπεινὴν δὲ ἀλλὰ κεκοσμημένην [ποιεῖ] τἆλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ Ποιητικῆς 04 b 6 ; τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι, ἀλλὰ πρέπουσαν ; ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφὴς 14 a 24 ; καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις [πρᾶοί εἰσιν] · **ταπεινότεροι** γὰρ 80 a 29.

ταπεινότης (ἡ), bassesse, platitude : καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν · μικροψυχίας γὰρ πάντα καὶ **ταπεινότητος** σημεῖα 84 a 4.

ταπεινοῦν, déprécier, ravaler, humilier : τὸ δὲ μετὰ τοῦτο, δεδειγμένων ἤδη, αὔξειν ἐστὶν κατὰ φύσιν ἢ ταπεινοῦν · ... ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν, ἔκκεινται οἱ τόποι πρότερον 19 b 20 & 23 ; ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων · ... καὶ ἐκ τοῦ αὐξῆσαι καὶ **ταπεινῶσαι** 19 b 12 ; καὶ τοῖς **ταπεινουμένοις** πρὸς αὐτοὺς καὶ μὴ ἀντιλέγουσιν [πρᾶοί εἰσιν] 80 a 22 ; ὅτι δὲ πρὸς τοὺς **ταπεινουμένους** παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας 80 a 24 ; καὶ μικρόψυχοι [οἱ πρεσβύτεροι] διὰ τὸ **τεταπεινῶσθαι** ὑπὸ τοῦ βίου 89 b 25 ; καὶ μεγαλόψυχοι [οἱ νέοι] · οὔτε γὰρ ὑπὸ τοῦ βίου πω **τεταπείνωνται**, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν 89 a 30. — Voir αὔξειν, μειοῦν.

ταπεινῶς, avec humilité : παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις, ... καὶ λέγειν, ἐὰν δὲ ἐπαινετά, ἀγαμένως, ἐὰν δὲ ἐλεεινά, ταπεινῶς, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως 08 a 19.

ταραχή (ἡ), trouble, agitation : ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ λυπηροῦ 82 a 21 ; ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν 83 b 13 ; οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας 86 b 22.

ταραχώδης, ης, ες, qui cause du trouble : λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶν καὶ ἐπὶ εὐπραγίᾳ 86 b 17.

τάττειν, disposer avec ordre, mettre à sa place : διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες προσέχοντες ἀκροῶνται 15 b 11 ; τρίτον δὲ πῶς χρὴ **τάξαι** τὰ μέρη τοῦ λόγου 03 b 8 ; εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν **τέτακται** τῶν τοιούτων ἀκολουθεῖν 69 a 26 ; φύσει δὲ ὅσων ἥ τ' αἰτία ἐν αὐτοῖς καὶ **τεταγμένη** · ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει 69 b 1. — Voir τεταγμένως.

ταῦτα : voir οὗτος, celui-ci.

ταὐτά, ταὐτό, ταὐτόν : voir αὐτὸς (ὁ), le même.

ταύτῃ (adv.), par là, par ce moyen : 60 a 2 ; 75 b 15 : voir οὗτος.

ταυτότης (ἡ), identité : ταὐτότητι 12 a 16 *var.*

τάφος (ὁ), tombeau, sépulture : ἄξιον ἦν ἐπὶ τῷ **τάφῳ** τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα 11 a 31 ; μέρη δὲ τιμῆς θυσίαι, ... τεμένη, προεδρίαι, **τάφοι**, εἰκόνες, κ. τ. α. 61 a 35.

τάχα, vraisemblablement, peut-être : καὶ ἀμφιδοξοῦντες [οἱ πρεσβύτεροι] προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα, καὶ πάντα λέγουσιν οὕτως, παγίως δ'

οὐδέν 89 b 19 ; « τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι » 02 a 11 (= Agathon, *fr.* 9, Nauck, p. 765 = Snell, p. 164),

ταχέως, promptement, vite : καὶ σφόδρα μὲν ἐπιθυμοῦσιν [οἱ νέοι], ταχέως δὲ παύονται 89 a 7. — Voir ταχύς.

τάχος (τὸ), vitesse, rapidité : διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν 61 b 11 ; ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ **τάχους** · καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν 61 b 22.

ταχύς, εῖα, ύ, rapide, prompt, vite ; **ταχύ**, rapidement, vite : καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν 61 b 22 (voir τάχος) ; τῶν μὲν γὰρ ἡ λῆψις **ταχεῖα**, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς Χαλκηδονίους 72 b 27 ; ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν **ταχὺ** καὶ πόρρω δρομικός 61 b 24 ; οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὐγήρως, οὔτ' εἰ μόγις μὲν λυπηρῶς δέ 61 b 28 ; τοιαῦτα δὲ ὅσα ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα 73 a 29 ; καὶ τοῖς ταχὺ οἱ μήπω τυχόντες ἢ μὴ τυχόντες φθονοῦσιν 88 a 24 ; τὸ « ᾄξαντες » ἐνέργεια καὶ μεταφορά · ταχὺ γὰρ λέγει 11 b 31 ; οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ ἢ τὸ ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ μετρίως 16 b 35 ; ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα ταῦτ' εἶναι ἀστεῖα ὅσα ποιεῖ ἡμῖν μάθησιν **ταχεῖαν** 10 b 21 ; νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν 16 b 30 ; καὶ γεγονότα ἄρτι ἢ μέλλοντα διὰ **ταχέων** ἐλεεινότερα 86 b 1.

ταχύποπτος, ος, ον, prompt à se méfier : ἔτι δὲ **ταχύποπτοί** εἰσι διὰ τὴν ἀπιστίαν [οἱ πρεσβύτεροι] 89 b 22 *var.* : voir καχύποπτος.

Τεγέα (ἡ), Tégée : « ἰχθῦς ἐξ Ἄργους εἰς **Τεγέαν** ἔφερον » 65 a 27 (= Simonide, *fr.* 163 Bergk).

τεθνάναι, être mort : voir θνήσκειν.

τείνειν, tendre, étendre, déployer : καὶ ἃ μὴ λανθάνει παρόντα ἢ ἃ λανθάνει · πρὸς ἀλήθειαν γὰρ **τείνει** ταῦτα 65 b 15 ; « αἰθέρος ἠνεκέως **τέταται** διά τ' ἀπλέτου αὖ γῆς » 73 b 17 (Empédocle).

Τείσανδρος (ὁ), Tisandre : 19 a 27 *var.* : voir Πείσανδρος.

τεῖχος (τὸ), rempart : οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων 76 a 2.

τέκμαρ (τὸ), borne, terme, fin : τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν 57 b 9.

τεκμήριον (τὸ), signe convaincant, preuve (accompagnement *invariable* d'une chose) : τούτων δὲ [τῶν σημείων] τὸ μὲν ἀναγκαῖον τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον ἀνώνυμόν ἐστι κατὰ τὴν διαφοράν. Ἀναγκαῖα μὲν οὖν λέγω ἐξ ὧν γίνεται συλλογισμός. Διὸ καὶ τεκμήριον τὸ τοιοῦτον τῶν σημείων ἐστίν · ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον 57 b 4-6-8 ; ... ἀναγκαῖον · ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐστίν · μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστιν 57 b 16 ; τί μὲν οὖν εἰκός ἐστι καὶ τί σημεῖον καὶ τεκμήριον, καὶ τί διαφέρουσιν, εἴρηται μὲν καὶ νῦν 57 b 22 ; ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ τέτταρα ταῦτ' ἐστὶν εἰκός, παράδειγμα, τεκμήριον, σημεῖον 02 b 14 ; εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο 03 a 13 ; τὰ δὲ [ἐνθυμήματα] διὰ ἀναγκαίου καὶ ⟨ἀεὶ⟩ ὄντος διὰ **τεκμηρίου** 02 b 19 ; τὰ γὰρ **τεκμήρια** καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα προτάσεις εἰσὶν ῥητορικαί 59 a 7 ; τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι 03 a 9 ; τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων ὅτι ψεύδεται 17 b 37. — Voir εἰκός, παράδειγμα, σημεῖον.

τεκμηριώδης, ης, ες, qui peut servir de preuve ou de fondement (à une induction) : τὰ δὲ τεκμήρια καὶ **τεκμηριώδη** ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι 03 a 10.

τέκνον (τὸ), enfant, progéniture : ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια **τέκνα** πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα 61 a 4 ; « τέκνα δέ τ' ἄλλοι ἄγουσιν » 65 a 15 (= *Iliade*, IX, 594) ; διὸ καὶ φιλοκόλακες... καὶ φιλότεκνοι · αὐτῶν γὰρ ἔργον τὰ τέκνα 71 b 25 ; ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν, οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρχομένους 79 b 28 ; καὶ οἷς ὑπάρχουσι γονεῖς ἢ τέκνα ἢ γυναῖκες 85 b 28 ; καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα 95 a 17 ; οἷον · « ἐγὼ δ' ἐνουθέτουν, ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν » 17 a 4 ; ὅτι περὶ τῶν **τέκνων** αἱ γυναῖκες πανταχοῦ διορίζουσι τἀληθές 98 b 1 ; παράδειγμα τὸ ἐκ τῆς 'Αντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ ἐκήδετο ἢ ἀνδρὸς ἢ τέκνων · τὰ μὲν γὰρ ἂν γενέσθαι ἀπολόμενα 17 a 31 ; οἷον εἴ τις γείτοσι τύχοι κεχρημένος ἢ **τέκνοις** φαύλοις 95 b 8 : voir le suivant.

τεκνοποιΐα (ἡ), procréation d'enfants : οἷον εἴ τις γείτοσι τύχοι κεχρημένος ἢ τέκνοις φαύλοις, ἀποδέξαιτ' ἂν τοῦ εἰπόντος · « οὐδὲν γειτονίας χαλεπώτερον » ἢ ὅτι « οὐδὲν ἠλιθιώτερον **τεκνοποιΐας** » 95 b 9.

τέκτων (ὁ), charpentier : καὶ ὡς 'Αρχίλοχος ψέγει · ποιεῖ γὰρ... καὶ τὸν Χάρωνα τὸν **τέκτονα**, ἐν τῷ ἰάμβῳ οὗ ἀρχή · « Οὔ μοι τὰ Γύγεω... » 18 b 30 (= Archiloque, éd. Lasserre, *fr.* 15, p. 7).

Τελαμών (ὁ), Télamon : ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασκόπων 16 b 3. — Voir Τεῦκρος.

Τελαμωνιάδης (ὁ), fils de Télamon (Ajax) : « Αἴαντος δ' ἀλέεινε μάχην **Τελαμωνιάδαο** » 87 a 33 (= *Iliade*, XI, 542).

τέλειος, α ou **ος, ον**, achevé, accompli, parfait : οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά · ἄμφω γὰρ **τέλεια**, ἀλλ' οὐ σημαίνει ἐνέργειαν 11 b 27.

τελειοῦν, achever, accomplir : λέγω δὲ εἰρομένην [λέξιν] ἣ οὐδὲν ἔχει τέλος καθ' αὑτήν, ἂν μὴ τὸ πρᾶγμα ⟨τὸ⟩ λεγόμενον **τελειωθῇ** 09 a 32 ; δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ **τετελειῶσθαι**, καὶ μὴ διακόπτεσθαι 09 b 8 ; ἔστιν δ' ἐν κώλοις μὲν λέξις ἡ **τετελειωμένη** τε καὶ διῃρημένη καὶ εὐανάπνευστος 09 b 14.

τελεσφόρος, ος, ον, qui porte au but : καὶ « **τελεσφόρον** ᾠήθη τὴν προθυμίαν αὐτῶν γενήσεσθαι », καὶ « τελεσφόρον τὴν πειθὼ τῶν λόγων κατέστησε » 06 a 2-3 (Alcidamas).

τελετή (ἡ), célébration de mystères, rite d'initiation : ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή · τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή 01 a 14-15 ; οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς **τελετῆς** τῶν τῆς Σωτείρας ἱερῶν 19 a 3. — Voir ἀτέλεστος.

τελευταῖος, α, ον, qui est au terme, dernier : ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσιν τρεῖς, ἡ δὲ μακρὰ **τελευταία** 09 a 16 (voir παιάν) ; τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ **τελευταῖον** εἰπεῖν 01 a 4 ; καὶ φιλόζωοι [οἱ πρεσβύτεροι], καὶ μᾶλλον ἐπὶ τῇ **τελευταίᾳ** ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν 89 b 33.

τελευτᾶν, finir, mourir : οὗτος δ' ἐστὶν οὗ ἄρχει μὲν ἡ μακρά, **τελευτῶσιν** δὲ τρεῖς βραχεῖαι 09 a 14 (voir παιάν) ; νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι καὶ ἀρχόμενοι ⟨καὶ **τελευτῶντες**⟩, δεῖ δὲ διαφέρειν τὴν τελευτὴν τῆς ἀρχῆς

09 a 11 ; καὶ τὰς πράξεις καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη **τελευτώντων** 86 b 4 ; διότι « ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι **τελευτησάντων** κείρασθαι τὴν Ἑλλάδα » 11 a 32 (= Lysias, *Oraison funèbre*, § 60) ; « ἢ ζῶντας ἕξειν ἢ **τελευτήσαντας** καταλείψειν » 10 a 17 (= Isocrate, *Panég.*, § 186).

τελευτή (ἡ), fin, terme (clausule), mort : [παρομοίωσις...] καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα 10 a 27 ; ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ ἢ ἐπὶ **τελευτῆς** ἔχειν 10 a 26 ; ἐν ἀρχῇ μὲν... ἐπὶ τελευτῆς δέ · « ᾠήθης ἂν αὐτὸν οὐ παιδίον τετοκέναι, ἀλλ' αὐτὸν παιδίον γεγονέναι » 10 a 32 ; **τελευτῇ** δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος ἀλλὰ μὴ λόγος ᾖ · « εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε » 20 b 2 ; δεῖ δὲ διαφέρειν τὴν **τελευτὴν** τῆς ἀρχῆς 09 a 11 ; οὗτος δὲ τελευτὴν ποιεῖ 09 a 18 (voir παιάν) ; ἀλλὰ δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι, καὶ δήλην εἶναι τὴν τελευτὴν μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγραφήν, ἀλλὰ διὰ τὸν ῥυθμόν 09 a 20 ; λέγω δὲ περίοδον λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτὴν καὶ μέγεθος εὐσύνοπτον 09 a 36. — Voir ἀρχή, τέλος.

τέλος (τὸ), fin, achèvement, but (atteint ou à atteindre) : καὶ τὸ τέλος [τοῦ λόγου] πρὸς τοῦτόν ἐστιν, λέγω δὲ τὸν ἀκροατήν 58 b 1 ; τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι 58 b 20 ; σημεῖον δ' ὅτι τὸ εἰρημένον ἑκάστοις τέλος 58 b 30 ; οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα 60 a 26 ; ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον, βουλεύονται γὰρ οὐ περὶ τοῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος, ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις 62 a 18-19 ; φαινόμενον γὰρ ἀγαθὸν ἤδη, καὶ ὡς τέλος τὸ τοιοῦτον ὑπολαμβάνεται καὶ τέλος πολλῶν, τὸ δὲ τέλος ἀγαθόν 63 a 4-5* ; τὸ δ' οὗ ἕνεκα τό τέλος ἐστίν, τέλος δέ ἐστιν οὗ ἕνεκα τὰ ἄλλα 63 b 16* ; κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος 64 a 3* ; τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή 64 a 18 ; ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος 64 b 25 ; τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν · αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος. Ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλοῦτος, ἀριστοκρατίας δὲ τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα, ⟨...⟩, τυραννίδος δὲ φυλακή. Δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον, εἴπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες 66 a 3-4*-7 ; τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος 66 a 16 ; διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται 69 b 8-9 ; ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος... 91 b 23 ; καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος, ... καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή · ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται 92 a 16 & 18 ; ὥστε ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον 93 a 14 ; λέγω δὲ εἰρομένην [λέξιν] ἣ οὐδὲν ἔχει τέλος καθ' αὑτήν, ἂν μὴ τὸ πρᾶγμα ⟨τὸ⟩ λεγόμενον τελειωθῇ. Ἔστι δὲ ἀηδὴς διὰ τὸ ἄπειρον · τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν 09 a 30-32 ; τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον τοῦ προοιμίου καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστιν τὸ τέλος οὗ ἕνεκα ὁ λόγος 15 a 23 ; **τέλους** 62 a 18 (*supra*) ; καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους 65 a 35 ; καὶ τὰ ἐν **τέλει** τοῦ βίου · τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει 35 a 37** ; οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ Πανηγυρικῷ ἐπὶ τέλει 08 b 16 ; ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει 17 a 19 ; καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων · τὰ μὲν γὰρ **τέλη**, τὰ δ' οὐ τέλη 64 a 33* ; 65 a 37 (*supra*) ; οἷον ὡς ὁ τελώνης Διομέδων περὶ τῶν **τελῶν** (« impôts ») 97 a 26. — Voir ἀρχή.

τελώνης (ὁ), percepteur d'impôts : οἷον ὡς ὁ τελώνης Διομέδων περὶ τῶν τελῶν · « εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι » 97 a 25.

τέμενος (τὸ), terrain réservé, sanctuaire : μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, **τεμένη**, προεδρίαι, τάφοι, κ. τ. α. 61 a 35.

Τενέδιοι (οἱ), les habitants de Ténédos : οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς 75 b 30.

Τένεδος (ἡ), Ténédos : διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν **Τενέδῳ** 01 b 18.

τεός, ή, όν, ton, tien : « διὰ σὲ καὶ **τεὰ** δῶρα εἴτε σκῦλα » 15 a 11 (= Timothée, *Scylla* (?), *fr.* 3 Bergk = Page *fr.* 18, p. 415).

τέρμα (τὸ), but, borne : τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ **τέρματος**, ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας 09 b 23. — Voir καμπτήρ.

τέρπειν, charmer, réjouir ; **τέρπεσθαι**, se réjouir : « ἧλιξ ἥλικα **τέρπει** » 71 b 16 (proverbe) ; λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται 79 a 26 ; « μετὰ γάρ τε καὶ ἄλγεσι **τέρπεται** ἀνήρ, μνησάμενος ὅτε πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ » 70 b 5 (= *Odyssée*, XV, 400-401).

τεταγμένως, régulièrement, en ordre : ἔστι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως 69 a 34. — Voir τάττειν.

τέταρτος, η, ον, quatrième : καὶ ἔτι **τέταρτον** τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίνεται 06 b 5 ; τέταρτον, ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη 07 b 6 ; τέταρτον δὲ [ἐρωτᾶν] ὅταν μὴ ἐνῇ ἀλλ' ᾖ σοφιστικῶς ἀποκρινάμενον λῦσαι 19 a 13.

τετράγωνος, ος, ον, quadrangulaire, carré : οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι **τετράγωνον** μεταφορά · ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν 11 b 26.

Τετρακόσιοι (οἱ), les Quatre-Cents : οἷον Σοφοκλῆς, ἐρωτώμενος ὑπὸ Πεισάνδρου εἰ ἔδοξεν αὐτῷ, ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις, καταστῆσαι τοὺς **Τετρακοσίους**, ἔφη 19 a 28.

τετράμετρον (τὸ), vers tétramètre (tétramètre trochaïque) : ὁ δὲ τροχαῖος κορδακικώτερος · δηλοῖ δὲ τὰ **τετράμετρα** · ἔστι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα 09 a 1* ; ὥσπερ καὶ ἐκ τῶν **τετραμέτρων** εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων, οὕτω... 04 a 31.

τετραχῶς, de quatre façons : περὶ δ' ὅρκων τετραχῶς ἔστι διελεῖν 77 a 8 ; αἱ δ' ἐνστάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς Τοπικοῖς, τετραχῶς 02 a 35.

τέτταρες, ες, α, quatre : εἰσὶν δὲ πολιτεῖαι **τέτταρες**, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία 65 b 29 ; εἰ δή ἐστιν γνώμη τὸ εἰρημένον, ἀνάγκη **τέτταρα** εἴδη εἶναι γνώμης 94 b 7 ; ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ τέτταρα ταῦτ' ἐστὶν εἰκός, παράδειγμα, τεκμήριον, σημεῖον 02 b 3* ; τῶν δὲ μεταφορῶν **τεττάρων** οὐσῶν εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν 11 a 1 ; **τεττάρων** (neut.) 02 b 13 (*supra*) ; ἀποδεικνύναι δὲ χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις, περὶ τοῦ ἀμφισβητουμένου φέροντα τὴν ἀπόδειξιν 17 b 22 ; ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων 19 b 10 ; τὰ δὲ ψυχρὰ ἐν **τέτταρσι** γίγνεται κατὰ τὴν λέξιν 05 b 35.

τέττιξ (ὁ), cigale : οἷον εἴ τις λέγει ὅ περ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ **τέττιγες** χαμόθεν ᾄδωσιν 95 a 2 ; καὶ τῶν

ἀποφθεγμάτων δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι λέγειν, οἷον τὸ Στησιχόρου, ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται 12 a 24.

Τεῦκρος (ὁ), *Teucer* (tragédie de Sophocle) : ἄλλος [τόπος] ἐκ τῶν εἰρημένων καθ' αὑτοῦ πρὸς τὸν εἰπόντα · διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ **Τεύκρῳ** 98 a 5 ; κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ 'Οδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ · ἡ γὰρ Ἡσιόνη ἀδελφή · ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασκόπων 16 b 1.

Τευμησσός (ὁ), Teumessos : καὶ τὸ 'Αντιμάχου χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ **Τευμησσοῦ** · « Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος » 08 a 2.

τεύχειν, faire, préparer, créer : « οἷ τ' αὐτῷ κακὰ **τεύχει** ἀνὴρ ἄλλῳ κακὰ **τεύχων** » 09 b 28* (Démocrite de Chios) ; τεύξεσθαι : voir τυγχάνειν.

τέχνη (ἡ), métier, activité technique, art, traité (sur l'art oratoire) : οὐδεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον 56 b 30 ; ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις 62 a 4 ; ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη, προσλαβοῦσα τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται 99 a 17 ; ἔστι δ' ὁ τόπος οὗτος ὅλη τέχνη ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου 00 a 4 ; ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη 00 b 17 ; ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη 02 a 18 ; οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν [sc. περὶ τῆς ῥαψῳδίας καὶ τῆς ὑποκριτικῆς], ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν 03 b 35 ; τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται, τὸ δὲ τοιοῦτον ἤδη πάντες ἂν ὁμολογήσαιεν **τέχνης** ἔργον εἶναι 54 a 11 ; τοῦτο γὰρ [sc. θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν] οὐδεμιᾶς ἑτέρας ἐστὶ τέχνης ἔργον 55 b 27 ; διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης, ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς 59 b 6 ; καὶ εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δυνατὸν γίγνεσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν, ὅθεν καὶ 'Αγάθωνι εἴρηται · « καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει, τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται » 92 b 5-6-8 ; σύγκειται γὰρ ἔχων ὁ λόγος τὸ μὲν ἄτεχνον, ... τὸ δ' ἐκ τῆς τέχνης 16 b 20 ; οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ **τέχνῃ** καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 11 ; 92 b 8 (*supra* : Agathon) ; καὶ ἐν οὐδεμιᾷ τέχνῃ, ἀλλ' ἐν ῥητορικῇ καὶ ἐριστικῇ 02 a 27 ; εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ τέχνῃ 14 b 17 ; καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον **τέχνην** · ἐλευθέρου γὰρ τὸ μὴ πρὸς ἄλλον ζῆν 67 a 31 ; αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ **τέχναι** 62 a 2 ; ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι καὶ τὸ ζῆν · εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθόν, καθ' αὑτὸ αἱρετόν ἐστιν 62 b 26 ; καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι, δυνατὰ ταῦτα καὶ ἔστι καὶ γίγνεται 92 a 25 ; διὸ καὶ αἱ τέχναι συνέστησαν ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ καὶ ἄλλαι γε 04 a 23 ; τῶν μὲν οὖν ἄλλων **τεχνῶν** οὐδεμία τἀναντία συλλογίζεται, ἡ δὲ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ μόναι τοῦτο ποιοῦσιν 55 a 34 ; ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν 55 b 31 ; καθάπερ καὶ ἐν ταῖς ἄλλαις **τέχναις** πάσαις 55 b 12 ; καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ « παρασοφίζεσθαι τὸν ἰατρόν » 75 b 21 ; νῦν μὲν οὖν οἱ τὰς **τέχνας** τῶν λόγων συντιθέντες οὐδὲν ὡς εἰπεῖν πεπορίκασιν αὐτῆς μόριον 54 a 12 ; ἔστιν δὲ τὸ ἔργον αὐτῆς [sc. τῆς ῥητορικῆς] περί τε τοιούτων περὶ ὧν βουλευόμεθα καὶ τέχνας μὴ ἔχομεν 57 a 2 ; τὰ δὲ κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας, τὰς δ' οὔπω κατειλημμένας 58 a 6. — Voir δύναμις, ἐνέργεια, ἐπιστήμη.

τεχνικός, ή, όν, qui a rapport à un art, à une technique, versé dans une technique : διὸ καί φαμεν αὐτὴν οὐ περί τι γένος ἴδιον ἀφωρισμένον ἔχειν τὸ

τεχνικόν 55 b 34 ; τοιοῦτοι δὲ οἱ **τεχνικώτατοι** καὶ ἀδικώτατοι · τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πειρῶνται, μιγνύντες αὐτὰ τῷ κακῷ 16 b 7. — Voir ἄτεχνος, ἔντεχνος.

τεχνίτης (ὁ), artisan, technicien, spécialiste : καὶ εἰ μηδ' ἄλλοι **τεχνῖται** φαῦλοι, οὐδ' οἱ φιλόσοφοι 97 b 29 ; καὶ ὁ μὲν διονυσοκόλακας, αὐτοὶ δ' αὐτοὺς **τεχνίτας** καλοῦσιν [οἱ ὑποκριταί] · ταῦτα δ' ἄμφω μεταφορά, ἡ μὲν ῥυπαινόντων, ἡ δὲ τοὐναντίον 05 a 23.

τεχνολογεῖν, disserter sur un art ou une spécialité, être l'auteur d'un ouvrage technique : περὶ μὲν ἐκείνης οὐδὲν λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχνολογεῖν 54 b 26 ; φανερὸν ὅτι τὰ ἔξω τοῦ πράγματος **τεχνολογοῦσιν** ὅσοι τἆλλα διορίζουσιν 54 b 17 ; ὅτι μὲν οὖν τὰ ἔξω τοῦ πράγματος οἱ ἄλλοι τεχνολογοῦσι, καὶ διότι μᾶλλον ἀπονενεύκασι πρὸς τὸ δικολογεῖν, φανερόν 55 a 19 ; οὐ γὰρ ὥσπερ ἔνιοι τῶν **τεχνολογούντων** τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 11 ; πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν **τεχνολογοῦντας** 56 a 17.

Τήλεφος (ὁ), Télèphe : τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησίν · « κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν », ἀπρεπές 05 a 28 (= Euripide, *Télèphe*, *fr.* 705, Nauck p. 583).

τηλία (ἡ), planche à pain, huche : καὶ Πειθόλαος τὴν Πάραλον ῥόπαλον τοῦ δήμου [ἐκάλει], Σηστὸν δὲ **τηλίαν** τοῦ Πειραιέως 11 a 14.

τηλικοῦτος, αὕτη, οῦτο(ν), aussi grand, aussi important, aussi âgé : ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερόν, ἢ οὐ τούτῳ, ἢ ὡς οὐ **τηλικοῦτον**, ἢ οὐκ ἄδικον κ. τ. α. 16 a 8 ; ἢ μὴ γεγονέναι, ἢ μὴ βλαβερὸν εἶναι, ἢ μὴ ἄδικον, ἢ μὴ τηλικοῦτον 17 a 10 ; ὡς τὸ μὲν μὴ **τηλικοῦτον** ὄντα γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν 95 a 4 ; διὸ σωφρονικοὶ φαίνονται οἱ **τηλικοῦτοι** [sc. οἱ πρεσβύτεροι] 90 a 14 ; καὶ τὰ **τηλικαῦτα** καὶ τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς [ἀφύλακτα] 72 a 25 ; ἢ τηλικαῦτα ἡλίκα βούλει 17 a 2 ; ἀλλ' οὐ δίκαια ἢ οὐκ ὠφέλιμα ἢ οὐ τηλικαῦτα 17 b 36.

τῆνος, τήνα, τῆνο, celui-là : « τόκα μὲν ἐν **τήνων** ἐγὼν ἦν, τόκα δὲ παρὰ **τήνοις** ἐγών » 10 b 5 (= Épicharme, *fr.* 23 B 30 a D-K, I, p. 201).

τηρεῖν, observer, épier, veiller à qqch. : ἐκεῖ δ' αὐτοὶ οἱ κριταὶ τοῦτο **τηροῦσιν** ἱκανῶς 55 a 3 ; καὶ οἱ ἠδικημένοι ἢ νομίζοντες ἀδικεῖσθαι [φοβεροί] · ἀεὶ γὰρ τηροῦσι καιρόν 82 b 10 ; ἵνα... τοὺς ἐπιτηδείους τόπους **τηρῶσι** μᾶλλον 60 a 11.

τιθέναι, poser, placer, établir : **τίθημι** γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ ἀπαλλαγὴν ἢ... μετάληψιν ἐν τοῖς ἀγαθοῖς κ. τ. α. 69 b 23 ; οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων **τιθέασιν** ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 11 ; ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας τοῦ αὑτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν 59 a 2 ; δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν ὄνομα **τίθεσθαι** 14 b 16 ; ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν [οἱ νόμοι], ἀλλ' ἐξαμάρτωσιν οἱ **τιθέμενοι** 76 b 18 ; « οὐκοῦν σὺ τούτοις ταὐτὰ **ἔθου** ; » 19 a 33 ; καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς **ἐτέθη** ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος 75 b 14 ; οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος **τεθῇ** καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη 75 a 5.

τίκτειν, engendrer, enfanter : « φήθης ἂν αὐτὸν οὐ παιδίον **τετοκέναι**, ἀλλ' αὐτὸν παιδίον γεγονέναι » 10 a 32 ; οἷον εἴ τις εἴπειεν σημεῖον ὅτι νοσεῖ, πυρέττει γάρ, ἢ **τέτοκεν** ὅτι γάλα ἔχει, ἀναγκαῖον 57 b 15.

τιμᾶν, honorer, estimer : καὶ [ὀργίζονται] τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν 79 b 4 ; καὶ ἀπὸ συμβουλῆς · οἷον ὅτι δεῖ

τοὺς ἀγαθοὺς τιμᾶν 14 b 36; διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα **τιμῶσιν** 66 b 6; διὸ τοὺς ἐλευθερίους καὶ ἀνδρείους τιμῶσι καὶ τοὺς δικαίους 81 a 21; τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας καὶ τοὺς ἀγαθούς 88 b 12; καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφῶ καίπερ γυναῖκα οὖσαν, κ. τ. α., ... καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔθαψαν καὶ τιμῶσι ἔτι καὶ νῦν 98 b 11-12 & 16; ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ **τιμῶν**, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν 99 b 31; καὶ εἰ τὰ προτρέποντα καὶ **τιμῶντα** διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη 68 a 16; οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν ὑβρισθείς, οὐ **τιμήσειν** ἔφη ἐλάττονος ἢ ὁ παθὼν ἑαυτῷ **ἐτίμησεν** 75 a 1-2; Ἰσοκράτης δὲ ψέγει ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς **ἐτίμησαν**, τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν 14 b 34; « τίνας θεῶν οὐ **τετίμηκεν** ὧν ἡ πόλις νομίζει; » 99 a 10; **τετιμήκασι** 98 b 12 (*supra*); καὶ τὸ θαυμάζεσθαι ἡδὺ δι' αὐτὸ τὸ **τιμᾶσθαι** 71 a 22; **τιμᾶται** 61 a 29 *infra* : τιμὴ δ' ἐστὶν μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας, **τιμῶνται** δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ ὁ δυνάμενος εὐεργετεῖν 61 a 28-29; τιμή, δόξα· καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται 62 b 22; καὶ οἱ **τιμώμενοι** ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ [φθονεροί εἰσιν] 87 b 30; τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῳ τῶν **τιμωμένων** 60 b 37. — Voir ἀτιμάζειν.

τιμή (ἡ), estimation, honneur, estime, considération, honneurs : ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή 60 b 28; τιμὴ δ' ἐστὶν μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας 61 a 28; τιμή, δόξα [ἀγαθά]· καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν 62 b 20; καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον 63 a 27; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή, κ. τ. α. 63 b 2; καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ τιμὴ ὥσπερ ἀξία τίς ἐστιν 65 a 7-8; καὶ ἐφ' ὅσοις τὰ ἆθλα τιμή, καλά· καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα 66 b 35*; καὶ νίκη καὶ τιμὴ τῶν καλῶν· αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ 67 a 22; καὶ ἃ μὴ ζῶντι ἕπεται, καὶ οἷς τιμὴ ἀκολουθεῖ, καὶ τὰ περιττά 67 a 25; καὶ τιμὴ καὶ εὐδοξία τῶν ἡδίστων διὰ τὸ γίγνεσθαι φαντασίαν ἑκάστῳ ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος 71 a 8; ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας τῶν ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ 91 a 1; πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα **τιμῆς** τυγχάνουσιν, ἀλλ' οἱ τόποι καὶ οἱ καιροὶ αἴτιοι. Μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, τάφοι, εἰκόνες, τροφαὶ δημόσιαι, τὰ βαρβαρικά, οἷον προσκυνήσεις καὶ ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάστοις τίμια. Καὶ γὰρ τὸ δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν 61 a 33-34-38; ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς ἢ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν, ἀλλ' εἴπερ, δι' ἄλλο τι 71 a 16; [εὐδαιμονίας μέρη] εὐγένειαν, πολυφιλίαν, ... δόξαν, **τιμήν**, εὐτυχίαν, κ. τ. α. 60 b 22; καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι 61 b 2; εὐδαιμονικὸν γὰρ καὶ καλὸν καὶ τὸ προσεπικτᾶσθαι τιμήν 67 b 14; ὁ δὲ φιλότιμος διὰ τιμήν [ἄδικός ἐστιν] 68 b 20; τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτε ἀγαθοῦ οὔτε κακοῦ 78 b 30; **τιμαί** 65 a 7 (*supra*); ἐφ' οἷς ὀνείδη καὶ ἔπαινοι καὶ ἀτιμίαι καὶ τιμαὶ καὶ δωρεαὶ 74 a 22. — Voir ἀτιμία.

τίμημα (τὸ), cens, impôt : ἔστιν δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ δια-

νέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ οἱ ἀπὸ **τιμημάτων**, ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν 65 b 33.

τιμητέον, il faut estimer : οὐ τιμητέον ἔφη ἐλάττονος ἢ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν 75 a 1 *var.* : voir τιμᾶν.

τίμιος, α, ον, qui a du prix, honorable, précieux, qui fait honneur : δεῖ δὲ τὸ παρ' ἑκάστοις **τίμιον** ὃν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσόφοις. Καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ γε δοκεῖ γειτνιᾶν 67 b 9-11 ; ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον 01 a 21 ; ἄμφω γὰρ περὶ θεόν, ἀλλὰ τὸ μὲν τίμιον τὸ δὲ ἄτιμον 05 a 22 ; μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι, ..., τὰ βαρβαρικά, ..., δῶρα τὰ παρ' ἑκάστοις **τίμια** 61 a 37 ; θαυμάζουσι τούτους ὅσοι τι ἔχουσιν ἀγαθὸν τῶν **τιμίων** 84 a 29 ; ἐν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ **τιμιωτάτη** πασῶν τελετή · τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή 01 a 14-15 ; ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι **τιμιώτατον** 01 b 17 ; ὅτι δύο τῶν τοῖς πολλοῖς **τιμιωτάτων** αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν 62 b 17. — Voir ἄτιμος.

τιμωρεῖν (τινι), secourir quelqu'un ; **τιμωρεῖσθαι**, se venger : καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν [καλόν] 01 a 39 ; ὅτι τοὺς μὲν ἔσωσε, τοῖς δ' ἑτέροις **ἐτιμώρησε**, τοὺς δ' Ἕλληνας ἠλευθέρωσε 01 a 10 ; καὶ τὸ τοὺς ἐχθροὺς **τιμωρεῖσθαι** μᾶλλον καὶ μὴ καταλλάττεσθαι 67 a 20 ; καὶ τὸ τιμωρεῖσθαι ἡδύ 70 b 30 ; ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ 78 b 9 ; οἱ γὰρ ἀντιποιοῦντες οὐχ ὑβρίζουσιν, ἀλλὰ **τιμωροῦνται** 78 b 26 ; οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλήτως μὴ **τιμωρούμενοι**, ἐλπίζοντες δὲ χαίρουσιν 70 b 32 ; καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα **τιμωρήσασθαι** ὑπὲρ πατρὸς ἢ μητρός 72 b 4 ; καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι 78 b 2 ; βουλόμενος [ὁ ἵππος] τιμωρήσασθαι τὸν ἔλαφον ἠρώτα τινὰ ἄνθρωπον εἰ δύναιτ' ἂν μετ' αὐτοῦ τιμωρήσασθαι τὸν ἔλαφον 93 b 14-15 ; συνομολογήσαντος δὲ καὶ ἀναβάντος ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς ἐδούλευσε τῷ ἀνθρώπῳ · « Οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι τὸ αὐτὸ πάθητε τῷ ἵππῳ... » 93 b 18-19 ; ὡς οὐ **τετιμωρημένος** εἰ μὴ ᾔσθετο καὶ ὑφ' ὅτου καὶ ἀνθ' ὅτου 80 b 24.

τιμωρητικός, ή, όν, enclin à la vengeance, vindicatif : διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ **τιμωρητικὰ** [πράττεται] 69 b 12.

τιμωρία (ἡ), vengeance, secours, protection : τοῦτο δὲ ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μικρὰ ᾖ 63 a 26 ; διαφέρει δὲ τιμωρία καὶ κόλασις · ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ 69 b 12-13 ; καὶ ὧν μή ἐστιν τιμωρία ἴση τῇ ὠφελείᾳ, οἷον δοκεῖ ἡ τυραννίς 72 b 1 ; τῶν μὲν γὰρ ἡ λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς Χαλκηδονίους 72 b 27 ; καὶ οὗ μή ἐστιν ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων 74 b 31 ; παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον 80 b 7 ; οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ **τιμωρίας** τυχεῖν 70 b 13 ; ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν 78 a 30 ; οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός 86 b 27 ; καὶ ἄδικοί εἰσιν... ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ πικρὸς δὲ διὰ **τιμωρίαν**, κ. τ. α. 68 b 21 ; καὶ ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν · ὥσπερ εἰληφέναι γὰρ οἴονται τιμωρίαν 80 b 15.

τίς ; τίς ; τί ; qui? quel? lequel? (interrog. direct ou indirect) :

τίς (masc.) : 08 a 34 (τίς δ' οὐκ οἶδεν ;) ; 09 a 3 (οὐκ εἶχον δὲ λέγειν τίς ἦν) ;

τίς (fém.) : 55 b 24 (τίς ἐστι, sc. ἡ 'Ρητορική) ; 56 b 12 ; 60 a 31 (τίς πολιτεία) ; 62 b 5 ; 96 a 9 (τίς ἡ δύναμις) ;

τί (neut.) : **a) διὰ τί** : 73 a 38 ; 80 b 35 ; 87 b 4 ; 93 b 28 ; 94 b 25 ; 03 b 10 ; 04 b 30 ;

b) autres emplois : 54 b 18 ; 56 a 23 ; 56 b 31* ; 57 b 21*, 22 ; 59 a 24 ; 60 b 7, 30 ; 68 a 7, 8 ; 69 b 14 ; 73 b 27 ; 74 a 7** ; 75 b 18 ; 80 b 9 ; 83 a 13, 15 ; 85 a 12 ; 94 a 19, 32 ; 95 b 18 ; 95 b 24 ; 96 a 11 ; 98 a 16, 28 ; 02 a 4, 15* ; 05 a 3, 14 ; 10 a 37 ; 11 b 23, 24 ; 14 a 21 ; 15 a 23 ; 15 b 21 (Euripide) ; 16 b 32 (τί δέ ;) ; 17 a 17 ; 19 a 28 (τί δέ ;) ; 20 a 2, 3, 4 ;

τίνος (masc.) : 68 b 27 (τίνος ἕνεκα) ;

τίνος (neut.) : 14 a 24 (τίνος γὰρ ἕνεκα) ;

τίνι (neut.) : 19 a 23 (προορᾶν ἐν τίνι ὁ λόγος) ;

τίνα (masc.) : 95 b 21 (τίνα τρόπον) ; 08 b 25 (τίνα... ἐπίτροπον) ;

τίνα (fém.) : 57 b 23 (διὰ τίν' αἰτίαν) ; 95 b 19 (τίνα ὠφέλειαν) ;

τίνες (masc.) : 88 b 15 ; 96 a 10 ; 09 a 23 ;

τίνες (fém.) : 59 b 25 ;

τίνων (neut.) : **a) ἐκ τίνων** : 55 a 11 ; 55 b 23 ; 56 a 24 ; 60 b 8 ; 65 b 19 ; 66 a 18 ; 68 a 33, 35 ; 77 b 16 ; 03 b 7, 19 ;

b) autres emplois : 60 a 13, 14, 22 ; 66 a 20 (διὰ τίνων) ; 68 b 3, 28 ; 80 a 8 (διὰ τίνων) ; 91 b 21 (*id.*) ;

τίσιν (masc.) : 78 a 23 ; 79 a 12 ; 85 a 16 ; 87 a 6 ; 87 b 22 ; 88 a 25 ; 94 a 20 ; 03 b 30 ;

τίσιν (neut.) : 85 a 16 ; 87 a 7 ; 87 b 22 ; 88 a 31 ;

τίνας (masc.) : 59 b 36 (τίνας πολέμους) ; 68 b 27 ; 72 a 5 ; 80 a 8 ; 80 b 35 ; 82 a 20 ; 83 b 11 ; 85 b 12 ; 96 a 11 (τίνας πολέμους) ; 99 a 9 (τίνας θεῶν) ;

τίνας (fém.) : 55 a 13 (τίνας ἔχει διαφοράς).

τίτθη (ἡ), nourrice : καὶ ὡς Δημοκράτης εἴκασεν τοὺς ῥήτορας ταῖς **τίτθαις** αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν 07 a 9.

τιτρώσκειν, blesser : καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν, οἷον τὸ **τρῶσαι** σιδήρῳ πηλίκῳ καὶ ποίῳ τινί · ὑπολείποι γὰρ ἂν ὁ αἰὼν διαριθμοῦντα 74 a 32.

τλῆναι, oser : οἷον καὶ 'Ισοκράτης ποιεῖ ἐν τῷ Πανηγυρικῷ ἐπὶ τέλει... « οἵτινες **ἔτλησαν** » 08 b 17 (= Isocrate, *Panég.*, § 96).

τμῆμα (τὸ), morceau coupé, section, part : ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα **τμήματα** 08 b 29 *var.* : voir le suivant.

τμητός, ή, όν, coupé, divisé, divisible : ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα **τμητά** 08 b 29.

τόδε : voir ὅδε.

τοιαδί, telle que voici : καὶ μεταφορὰ τοιαδί 12 b 32 : voir τοιόσδε.

τοίνυν, donc, ainsi donc : λάβωμεν τοίνυν 60 b 30 ; ἀνάγκη τοίνυν 82 b 33 ; μὴ τοίνυν μέλλοντες 97 b 37 ; οὐ τοίνυν δεῖ 99 a 15 ; κόλλησιν τοίνυν εἶπεν 05 b 3.

τοιόσδε, τοιάδε, τοιόνδε, tel que voici :

τοιαδί (fém.) 12 b 32 ;

τοιόνδε (neut.) 85 b 6 ; 93 a 31 ; 18 a 38 ; **τοιονδί** 85 b 6 *var.* ;

τοιῷδε (masc.) 56 b 32 ;

τοιόνδε (masc.) 82 a 4 ;

τοιάδε (neut.) 69 a 21 ; 71 b 5 ;

τοιοῖσδε (masc.) 56 b 32 & 34 ;

τοιαῖσδε 69 a 20 ; **τοιαισδί** 69 a 20* *var.*

τοιοῦτος, τοιαύτη, τοιοῦτον (τοιοῦτο), tel, tel que voici, de ce genre-ci :
τοιοῦτος 59 a 5 ; 61 b 36 ; 71 a 9 ; 96 b 13 ; 15 b 7 ; 17 a 35 ;
τοιαύτη 01 a 6 ; 09 b 1 ; 10 a 21 ; 11 b 15 ;
τοιοῦτο (nom. & acc.) 82 b 12 ; 85 b 18 ;
τοιοῦτον (neut., nom. & acc.) 54 a 10 ; 57 b 6 ; 60 b 19 ; 61 a 26 ; 63 a 4 ; 67 b 17 ; 70 a 1 ; 72 b 6 (τοιοῦτόν τι) ; 73 a 11 ; 85 a 33 (τοιοῦτόν τι) ; 86 a 13 ; 89 b 13 (τοιοῦτόν ἐστιν) ; 90 a 30 ; 96 a 17, 21 ; 97 b 2 ; 98 b 32 ; 01 a 7 ; 03 b 25 ; 06 b 13 (Alcidamas) ; 09 b 30 ; 10 a 24 ; 16 a 1, 13 ;
τοιαύτης 04 a 38 ;
τοιούτου (neut.) 57 a 26 ; 07 b 6 ;
τοιαύτῃ 55 b 3 (τῇ τοιαύτῃ δυνάμει) ; 85 a 32 & 33 (ἐν τοιαύτῃ λύπῃ καὶ δεήσει... ἐν τοιαύτῃ χρείᾳ) ;
τοιοῦτον (acc. masc.) 67 b 31, 33 ; 78 a 18 ; 82 b 4 ; 85 b 17 ; 17 b 7 ;
τοιαύτην 02 b 36 ;
τοιοῦτοι 61 b 38 ; 63 b 1 ; 71 a 10 ; 72 a 15 ; 72 b 13, 35 ; 75 b 35 ; 76 a 13 ; 79 b 9 ; 80 a 13 ; 81 a 22, 26, 29, 31 ; 81 b 10, 29 ; 83 a 9 (τοιοῦτοί εἰσιν) ; 84 a 32 ; 84 b 14, 35 ; 85 b 24 ; 87 b 25 ; 88 a 25 ; 88 b 3 ; 90 a 27 ; 01 b 22, 24 ; 07 a 34 ; 16 b 7 ;
τοιαῦται 62 b 13 ; 67 b 28 ; 70 a 20 ; 76 a 31 ; 85 a 23 ;
τοιαῦτα (nom. & acc.) 54 a 17 ; 55 b 37 ; 59 a 38 ; 61 a 5 ; 62 a 5, 11, 28 ; 62 b 14, 23, 24 ; 63 a 28 ; 63 b 16 ; 66 b 27, 28 ; 67 a 1 ; 69 a 10, 20, 32 ; 71 b 17, 21 ; 72 a 25 ; 72 b 16, 24 ; 73 a 10, 20, 29, 31, 36 ; 74 a 10, 12, 25 ; 75 a 9 ; 76 b 30 ; 77 a 6 ; 78 a 21 ; 79 a 33, 34 ; 79 b 27 ; 81 b 34 ; 82 a 28, 32 ; 83 b 18, 32 ; 84 a 16, 21 ; 86 a 2, 17 (τοιαῦτά ἐστιν) ; 86 b 2 ; 87 a 15 ; 87 b 5 (τοιαῦτά ἐστιν) ; 88 a 14 ; 88 b 3, 5, 7, 15, 18, 33 ; 90 a 24 ; 96 a 12, 20 ; 96 b 18 ; 00 b 33 ; 02 b 22 ; 08 b 17 ; 10 a 29 ; 10 b 28 ; 13 a 15 ; 13 b 11, 28 ; 14 b 13 ; 15 b 5 ; 17 b 3 ; 18 a 9 ;
τοιούτων (masc.) 83 a 11 ;
τοιούτων (neut.) 54 a 2 ; 56 b 30 ; 57 a 2, 28 ; 61 a 9, 24 ; 62 a 28 ; 69 a 26 ; 69 b 4 ; 76 a 16 ; 82 a 30 ; 87 a 21 ; 94 a 26 ; 96 a 14 ; 15 b 3, 26 ; 16 a 10 ; 17 a 21 ;
τοιούτοις (masc.) 57 a 3 ; 80 a 12 ; 81 a 12 ; 85 a 21 ; 86 b 5 ;
τοιαύταις 69 a 20 ;
τοιούτοις (neut.) 70 b 21 ; 72 b 10 ; 83 b 17 ; 86 b 28 ; 87 a 13 ; 94 b 34 ; 08 a 21 ;
τοιούτους 72 b 24 ; 80 a 3, 4, 30 ; 80 b 32 ; 81 a 21 ; 81 b 26 ; 82 b 14 ; 83 a 2, 8, 10 ; 85 a 7 ; 87 b 19 ; 04 a 27 ; 13 b 12 ; 14 b 37 ;
τοιαύτας 69 a 24 ; 88 b 11.

τόκα... τόκα..., tantôt... tantôt... : « τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών » 10 b 5 (= Épicharme, *fr.* 23 B 30 a, D-K, t. I, p. 201).

τόκος (ὁ), revenu, intérêts : καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν · ἐκεῖνον μὲν γὰρ ἐπιτρίτων **τόκων** πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων 11 a 18.

τόνος (ὁ), tension, ton, accent : ἀνάγκη γὰρ ὑποκρίνεσθαι καὶ μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει καὶ **τόνῳ** εἰπεῖν 13 b 31 ; οἷον πότε μεγάλῃ [φωνῇ] καὶ πότε μικρᾷ καὶ μέσῃ, καὶ πῶς τοῖς **τόνοις**, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ 03 b 29.

τόξον (τὸ), arc : καὶ « ⟨τὸ⟩ τόξον φόρμιγξ ἄχορδος »... τὸ δ' εἰπεῖν τὸ **τόξον** φόρμιγγα ἢ τὴν ἀσπίδα φιάλην ἀπλοῦν 13 a 1 & 2.

τοπικός, ή, όν, qui est à sa place, qui convient à un lieu, qui concerne les

lieux communs ; **τὰ Τοπικά**, les *Topiques* : εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς πρῶτος οὗτος ὁ τοπικός, τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν 96 b 19 ; τίς δ' ἐστὶν διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν **Τοπικῶν** 56 b 13 ; φανερὸν δ' ἡμῖν ἔστω ἐκ τῶν Τοπικῶν καὶ τοῦτο καὶ αἱ λύσεις 19 a 24 ; ὥσπερ καὶ ἐν τοῖς **Τοπικοῖς** ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως 55 a 28 ; καθάπερ οὖν καὶ ἐν τοῖς Τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον 58 a 29 ; φανερὸν ὅτι ἀναγκαῖον, ὥσπερ ἐν τοῖς Τοπικοῖς, πρῶτον περὶ ἕκαστον ἔχειν ἐξειλεγμένα 96 b 3 ; ἄλλος [τόπος] ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς Τοπικοῖς περὶ τοῦ ὀρθῶς 98 a 29 ; ἄλλος [τόπος] ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς Τοπικοῖς ποία κίνησις ἡ ψυχή 99 a 7 ; αἱ δ' ἐνστάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς Τοπικοῖς, τετραχῶς 02 a 35 ; ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ καθάπερ ἐν τοῖς Τοπικοῖς τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν 03 a 29.

τόπος (ὁ), lieu, passage (d'un ouvrage), développement ; au plur. : *lieux* prémisses probables de l'enthymème ; **κοινοὶ τόποι**, lieux communs aux trois genres littéraires : οὗτοι δ' εἰσὶν οἱ κοινοὶ [τόποι]... οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος 58 a 14 ; περὶ δὲ ἀρετῆς ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον 62 a 13 ; πρῶτος οὗτος ὁ τόπος 96 b 19 *var.* : voir τοπικός ; ἔστι δὲ εἷς μὲν τόπος τῶν δεικτικῶν ἐκ τῶν ἐναντίων 97 a 7 ; ἄλλος [τόπος] ἐκ τῶν ὁμοίων πτώσεων 97 a 20 ; ἄλλος [τόπος] ἐκ τῶν πρὸς ἄλληλα 97 a 23 ; ἄλλος [τόπος] ἐκ τοῦ μᾶλλον καὶ ἧττον 97 b 14 ; ἄλλος [τόπος] ἐκ τοῦ τὸν χρόνον σκοπεῖν 97 b 34 ; ἄλλος [τόπος] ἐκ τῶν εἰρημένων καθ' αὑτοῦ πρὸς τὸν εἰπόντα 98 a 4 ; ἄλλος [τόπος] ἐξ ὁρισμοῦ 98 a 16 ; ἄλλος [τόπος] ἐκ τοῦ ποσαχῶς 98 a 29 ; ἄλλος [τόπος] ἐκ διαιρέσεως 98 a 31 ; ἄλλος [τόπος] ἐξ ἐπαγωγῆς 98 a 34 ; ἄλλος [τόπος] ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ ἢ ὁμοίου ἢ ἐναντίου 98 b 21 ; ἄλλος [τόπος] ἐκ τῶν μερῶν 99 a 7 ; ἄλλος [τόπος]... ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν... ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη προσλαβοῦσα τὸ δυνατὸν καὶ τἆλλα 99 a 11 & 17 ; ἄλλος [τόπος], ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπ' ἀμφοῖν χρῆσθαι 99 a 19 ; ἄλλος [τόπος], ἐπειδὴ οὐ ταὐτὰ φανερῶς ἐπαινοῦσι καὶ ἀφανῶς... ἐκ τούτων πειρᾶσθαι συνάγειν θάτερον · τῶν γὰρ παραδόξων οὗτος ὁ τόπος κυριώτατός ἐστιν 99 a 30 & 34 ; ἄλλος [τόπος] ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν 99 a 35 ; ἄλλος [τόπος] ἐκ τοῦ τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά 99 b 5 ; ἄλλος [τόπος] ἐκ τοῦ μὴ ταὐτὸ ἀεὶ αἱρεῖσθαι ὕστερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν 99 b 15 ; ἄλλος [τόπος] τὸ οὗ ἕνεκ' ἂν εἴη ἢ γένοιτο, τούτου ἕνεκα φάναι εἶναι ἢ γεγενῆσθαι 99 b 21 ; ἄλλος [τόπος] κοινὸς καὶ τοῖς ἀμφισβητοῦσιν καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττουσι καὶ φεύγουσιν... ἔστι δ' ὁ τόπος οὗτος ὅλη τέχνη ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου 99 b 33 & 00 a 4 ; ἄλλος [τόπος] ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι, ἀπίστων δέ, ὅτι οὐκ ἂν ἔδοξαν, εἰ μὴ ἦν ἢ ἐγγὺς ἦν 00 a 6 ; ἄλλος [τόπος] ἐλεγκτικός, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, εἴ τι ἀνομολογούμενον ἐκ τόπων καὶ χρόνων καὶ πράξεων καὶ λόγων 00 a 16-17 ; ἄλλος [τόπος] τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου 00 a 24 ; ἄλλος [τόπος] ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν 00 a 31 ; ἄλλος [τόπος], εἰ ἐνδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν 00 a 39 ; ἄλλος [τόπος], ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν 00 b 5 ; ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι... ἔστι δ' ὁ τόπος οὗτος τοῦ

ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη 00 b 10 & 16; ἄλλος [τόπος] ἀπὸ τοῦ ὀνόματος 00 b 18; τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων · εἷς μὲν [τόπος] ὁ παρὰ τὴν λέξιν, καὶ τούτου ἓν μὲν μέρος, ... ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν 00 a 1-2 etc.; ἄλλος [τόπος] τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα... ὅλος δὲ ὁ τόπος παραλογιστικός 01 a 25 & 34; ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν 01 b 3; ἄλλος [τόπος] ἐκ τοῦ σημείου 01 b 9; ἄλλος [τόπος] διὰ τὸ συμβεβηκός 01 b 15; ἄλλος [τόπος] τὸ παρὰ τὸ ἑπόμενον 01 b 20; ἄλλος [τόπος] παρὰ τὸ ἀναίτιον ὡς αἴτιον 01 b 29; ἄλλος [τόπος] παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς 01 b 34; ἔτι [= τόπος ἄλλος] ὥσπερ ἐν τοῖς ἐριστικοῖς παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, κ. τ. α. 02 a 3; τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον · ἔστιν γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει 03 a 16-17; ταῦτα δ' ἐστὶν πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα, ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος, οὐδὲ τὸ αὔξειν καὶ μειοῦν 03 a 22; περὶ δὲ διαβολῆς ἓν μὲν τὸ ἐξ ὧν ἄν τις ὑπόληψιν δυσχερῆ ἀπολύσαιτο · ... ἄλλος τόπος ὥστε πρὸς τὰ ἀμφισβητούμενα ἀπαντᾶν, ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερόν, ἢ οὐ τούτῳ, ἢ ὡς οὐ τηλικοῦτον, ἢ οὐκ ἄδικον ἢ οὐ μέγα, ἢ οὐκ αἰσχρὸν ἢ οὐκ ἔχον μέγεθος 16 a 4 & 6; ἄλλος τόπος ὡς ἐστὶν ἁμάρτημα, ἢ ἀτύχημα, ἢ ἀναγκαῖον 16 a 14; ἄλλος [τόπος], εἰ ἐμπεριείληπται ὁ διαβάλλων, ἢ νῦν ἢ πρότερον, ἢ αὐτὸς ἢ τῶν ἐγγύς τις 16 a 20; ἄλλος [τόπος], εἰ ἄλλοι ἐμπεριλαμβάνονται οὓς ὁμολογοῦσι μὴ ἐνόχους εἶναι τῇ διαβολῇ, οἷον εἰ, ὅτι καθάριος ὁ μοιχός, καὶ ὁ δεῖνα ἄρα 16 a 22; ἄλλος [τόπος], εἰ ἄλλους διέβαλεν ἢ ἄλλος αὐτούς, ἢ ἄνευ διαβολῆς ὑπελαμβάνοντο ὥσπερ αὐτὸς νῦν, οἵ πεφήνασιν οὐκ ἔνοχοι 16 a 24; ἄλλος [τόπος] ἐκ τοῦ ἀντιδιαβάλλειν τὸν διαβάλλοντα · ἄτοπον γὰρ εἰ ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί 16 a 26; ἄλλος [τόπος], εἰ γέγονεν κρίσις 16 a 28; ἄλλος [τόπος], ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο, ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι 16 a 35; κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν 16 b 1; ἄλλος [τόπος] τῷ διαβάλλοντι, τὸ ἐπαινοῦντα μικρὸν μακρῶς ψέξαι μέγα συντόμως, ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρει ἓν ψέξαι 16 b 4; ἔστι δ' ἐκ τούτου τοῦ **τόπου** ἡ Κόρακος τέχνη συγκειμένη 02 a 18; τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ **τόπῳ** καὶ ἡλικίᾳ καὶ δόξῃ ⟨καὶ γένει⟩ φθονοῦσιν 88 a 6; στοιχεῖον δὲ λέγω καὶ **τόπον** ἐνθυμήματος τὸ αὐτό 96 b 21; τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον 03 a 16; κοινὸν δὲ [τόπον] τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ, ... τῷ μὲν διαβάλλοντι κακοηθιστέον ἐπὶ τὸ χεῖρον ἐκλαμβάνοντι, τῷ δὲ ἀπολυομένῳ ἐπὶ τὸ βέλτιον 16 b 9; πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν, ἀλλ' οἱ **τόποι** καὶ οἱ καιροὶ αἴτιοι 61 a 33; ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα 65 a 20; σχεδὸν μὲν οὖν ἡμῖν περὶ ἕκαστον τῶν εἰδῶν τῶν χρησίμων καὶ ἀναγκαίων ἔχονται οἱ τόποι · ἐξειλεγμέναι γὰρ αἱ προτάσεις περὶ ἕκαστόν εἰσιν, ὥστε ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων περὶ ἀγαθοῦ ἢ κακοῦ ἢ καλοῦ ἢ αἰσχροῦ ἢ δικαίου ἢ ἀδίκου, καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι 96 b 28-30-32; τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων 01 a 1 (*supra*); ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ τόποι 03 b 14; εἴρηνται οἱ τόποι πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους 19 b 18; ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν ἔκκεινται οἱ τόποι πρότερον 19 b 23; εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον 19 b 27; τὰ δ' ἄλλα περὶ μάρτυρος... καὶ ὅσαι ἄλλαι τοιαῦται διαφοραί, ἐκ τῶν αὐτῶν **τόπων** λεκτέον ἐξ οἵων περ καὶ τὰ ἐνθυμήματα λέγομεν 76 a 32; δῆλον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις ἐκ τούτων τῶν τόπων λεκτέον 80 b 31; ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων 96 b 30 (*supra*); εἴ τι

ἀνομολογούμενον ἐκ τόπων καὶ χρόνων καὶ πράξεων καὶ λόγων 00 a 17 (*supra*); τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι δῆλον ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν 02 a 33; καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ **τόποις** ἢ διαθέσεις εὔποροι 72 a 32; τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν μικροῖς τόποις ἀφανιζόμενα 73 a 32; λέγω γὰρ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς **τόπους** λέγομεν · οὗτοι δ' εἰσὶν οἱ κοινοὶ [τόποι] περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει, οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος 58 a 12*-14; καθάπερ οὖν καὶ ἐν τοῖς Τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον. Λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων 58 a 30-32; τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων... ἵνα... τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον 60 a 8 & 11; περὶ δ' ἐνθυμημάτων καθόλου τε εἴπωμεν, τίνα τρόπον δεῖ ζητεῖν, καὶ μετὰ ταῦτα τοὺς τόπους 95 b 22. — Voir ἐνθύμημα, συλλογισμός.

τόσος, η, ον, aussi grand (que) : « οὐδ' εἴ μοι **τόσα** δοίη ὅσα ψάμαθός τε κόνις τε » 13 a 32 (= *Iliade*, IX, 385); « ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνήρ... » 18 a 8 (= *Odyssée*, IV, 204).

τοσόσδε, τοσήδε, τοσόνδε, aussi grand (que) : ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ **τοσόνδε** ἢ τοιόνδε ἢ πότε ἢ ποῦ 85 b 6 (*var.* τοσονδὶ); καὶ ὅτι οὐ τοσόνδε ἢ ὅτι δικαίως 17 b 25.

τοσοῦτος, τοσαύτη, τοσοῦτο(ν), aussi grand, aussi important (que) : περὶ δὲ τῶν συνθηκῶν **τοσαύτη** τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους 76 a 33; ἔστω δὴ ὑπερέχον μὲν τὸ **τοσοῦτον** καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ ἐνυπάρχον 63 b 8; οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι 75 b 22; αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως 84 a 12; καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν ὥσθ' ἅμα εἰρημένων γνωρίζειν 00 b 35; καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι 01 a 31; διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν, οὐ μέντοι τοσοῦτον 04 a 10; μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν **τοσούτῳ** μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν 61 b 19; ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχῃ τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον δεικνύναι, ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα καὶ ἧττον κοινά 96 b 9-10; τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων 05 a 6; ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ εὐδοκιμεῖ μᾶλλον 12 b 23; ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται 12 b 31; ἔστιν δὲ τῆς Ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν · **τοσοῦτοι** γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες 58 a 36; τὰ μέγιστα **τοσαῦτά** ἐστιν 60 b 1; ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν 65 b 28; εἰρήσθω τοσαῦτα 72 a 3 *var.*; 77 b 12; 90 b 13; 95 b 20 *var.*; 03 b 2 & 16 b 16; τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία ἐστὶ τὰ αἴτια · τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ἀποδείξεων · ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια 78 a 7; περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα μόνα 03 b 10; τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ Ποιήσεως 04 b 27.

τότε, alors : τότε γὰρ πιστεύομεν μάλιστα ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν 55 a 5; ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον 57 b 8; ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ τότε 61 a 32; ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον 62 a 14; καὶ εἰ οὕτως ἢ ἐνταῦθα ἢ τότε 65 a 23; ἡ οὖν τότε

γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων 78 b 9 ; φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται, οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. Ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε 82 b 32-34 ; καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο 83 a 12 ; ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ 12 b 12 ; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τότε γίνεται ὅταν ἀντιλογία ᾖ 14 b 3 ; ἂν δ' ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν 17 a 29 ; ἢ διαβάλλοντες ἢ ἐπαινοῦντες · ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον 17 b 16 ; ἃ γὰρ ἐροῦσι προανελὼν οὕτως τότε αὐτὸς εἶπεν 18 b 12 ; « εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι » 18 b 38.

τοὐναντίον, le contraire : 62 b 34 ; 66 b 13, 15, 16, 18 ; 69 b 35 ; 72 b 3, 14 ; 74 b 27 ; 76 b 2 ; 78 a 3, 5 ; 97 a 18 ; 04 b 20 ; 05 a 25 ; 07 b 37 ; 09 b 11 ; 13 b 34 ; 15 a 36 : voir ἐναντίος.

τοὐντεῦθεν, à partir de là : 11 b 30 (Euripide) : voir ἐντεῦθεν.

τραγικός, ή, όν, tragique : εἰσὶν γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον..., αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ **τραγικόν** 06 b 8 ; καὶ γὰρ εἰς τὴν **τραγικὴν** [τέχνην] καὶ ῥαψῳδίαν ὀψὲ παρῆλθεν [ἡ ὑπόκρισις] 03 b 22 ; καὶ οἱ **τραγικοὶ** δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθὺς ὥσπερ Εὐριπίδης, ἀλλ' ἐν τῷ προλόγῳ γέ που, ὥσπερ Σοφοκλῆς 15 a 19 ; τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ... ἄριστα τῶν **τραγικῶν** 06 b 16.

τραγῳδία (ἡ), tragédie : καὶ γὰρ εἰς τὴν τραγικὴν καὶ ῥαψῳδίαν ὀψὲ παρῆλθεν · ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς **τραγῳδίας** οἱ ποιηταὶ τὸ πρῶτον 03 b 23 ; οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον [τῇ ξενικῇ λέξει] 04 a 30.

τραχύς, εῖα, ύ, rude, dur : « πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων **τραχεῖαν** ἄσιλλαν » 65 a 26 & 67 b 19 (= Simonide, *fr.* 163 Bergk = 110 Diehl).

τρεῖς, τρεῖς, τρία, trois : ἔστιν δὲ παιᾶνος δύο εἴδη ἀντικείμενα ἀλλήλοις, ... οὗτος δ' ἐστὶν οὗ ἄρχει μὲν ἡ μακρά, τελευτῶσιν δὲ **τρεῖς** βραχεῖαι, ... ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσιν τρεῖς, ἡ δὲ μακρὰ τελευταία 09 a 14 & 16 ; τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων πίστεων **τρία** εἴδη ἐστίν 56 a 1 ; [τὰ τρία 56 a 21] ; ἔστιν δὲ τῆς Ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν 58 a 36 ; ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν 58 b 7 ; τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι, καὶ τρισὶν οὖσι τρία, τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν, κ. τ. α. 58 b 21* ; δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν..., δεύτερον δὲ..., τρίτον δὲ... 68 b 3 ; ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ... ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν 74 b 26 & 28 ; τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία ἐστὶ τὰ αἴτια 78 a 6 ; δεῖ δὲ διαιρεῖν περὶ ἕκαστον εἰς τρία 78 a 22 ; τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις 78 b 14 ; ἐπεὶ δὲ δὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον 03 a 32 & 03 b 6 ; τρία γάρ ἐστι περὶ ἃ σκοποῦσιν 03 b 30 ; τρία γὰρ πρὸς δυ' ἐστίν 09 a 4 ; σύγκειται μὲν γὰρ ἐκ **τριῶν** ὁ λόγος 58 a 38 ; οἷον εἰ πάντες τριῶν ἕνεκεν ἀδικοῦσιν 98 a 31 ; περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί 03 b 9 ; δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφορᾶς, ἀντιθέσεως, ἐνεργείας 10 b 35 ; **τρισίν** 58 b 21 (*supra*).

τρέμειν, trembler : οἷον Σοφοκλῆς ἔφη τρέμειν οὐχ ὡς ὁ διαβάλλων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης · οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοήκοντα 16 a 15.

τρέφειν, nourrir, éduquer, élever : καίτοι οὐκ εἰκὸς οὐδὲ πιθανὸν ἐν ἅλμῃ **τρεφομένους** [τοὺς ἰχθύας] δεῖσθαι ἁλός 00 a 13 ; εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς καὶ τὸν οὕτω **τραφέντα** τοιοῦτον εἶναι 67 b 30.

τριάκοντα, trente ; **οἱ Τριάκοντα**, les Trente : ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα 90 b 10* ; « καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσεν δὲ τοῖς Τριάκοντα » 00 a 19 ; οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν Τριάκοντα · οὐκ ἐνδέχεσθαι ἔφη · μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς Τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον 00 a 35-37 ; πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε · συντίθησι γάρ 01 a 35.

τριήρης (ἡ), trière : ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος, οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν · ἕκαστον γὰρ οἶδεν 01 a 29 ; καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ **τριήρη**, καὶ εἰ τριήρη, καὶ πλοῖον 92 b 2-3 ; καὶ Κηφισόδοτος τὰς **τριήρεις** ἐκάλει μύλωνας ποικίλους 11 a 23. — Voir ναῦς, πλοῖον.

τρίτος, η, ον, troisième : ἔστι δὲ τρίτος [ῥυθμὸς] ὁ παίαν, καὶ ἐχόμενος τῶν εἰρημένων 09 a 3 ; καὶ **τρίτον** τοῦ περὶ τὰ πάθη 56 a 23 ; τρίτον δὲ περὶ ὧν αἱ δίκαι 59 a 29 ; τρίτον δὲ τοὺς ποίους καὶ πῶς ἔχοντας 68 b 4 ; διὰ δὲ τὸ τρίτον οὐδ' αὐτοί φασιν 98 a 33 ; τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου 03 b 8 ; τρίτον δὲ τούτων ὃ δύναμιν μὲν ἔχει μεγίστην, οὔπω δ' ἐπικεχείρηται, τὰ περὶ τὴν ὑπόκρισιν 03 b 20 ; ἔτι δὲ τρίτον... ὃ λύει τὸν σοφιστικὸν λόγον 05 b 8 ; τρίτον δ' ἐν τοῖς ἐπιθέτοις 06 a 10 ; τρίτον μὴ ἀμφιβόλοις 07 a 32. — Voir πρῶτος, δεύτερος.

τριχῶς, de trois sortes, sous trois formes : καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 32.

τρόπαιον (τὸ), trophée : καὶ τὸ τὰς συνθήκας φάναι **τρόπαιον** εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων 11 b 16.

τρόπον τινά, d'une certaine façon, à certains égards : 54 a 2, 4 ; 86 b 10 ; 11 a 27 ; 12 b 35 : voir le suivant.

τρόπος (ὁ), tour, manière, méthode : εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς πρῶτος οὗτος ὁ τοπικός 96 b 19 ; ἄλλος [τόπος] ἐκ τῶν εἰρημένων καθ' αὑτοῦ πρὸς τὸν εἰπόντα · διαφέρει δὲ ὁ τρόπος 98 a 5 ; καὶ τῷ πρότερον εἰρημένῳ **τρόπῳ** ἐπ' ἀμφοῖν χρῆσθαι 99 a 21 ; διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ 04 a 36 ; ἃ κοινὰ **τρόπον** τινὰ ἁπάντων ἐστὶ γνωρίζειν 54 a 2 ; πάντες τρόπον τινὰ μετέχουσιν ἀμφοῖν [sc. ῥητορικῆς καὶ διαλεκτικῆς] 54 a 4 ; μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν 58 a 9 ; ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει 64 a 26 ; ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου · ἔχει γὰρ ὡς βουλόμεθα 64 a 30 ; τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις 66 a 31 ; περὶ μὲν οὖν τῶν ἐπιεικῶν διωρίσθω τὸν τρόπον τοῦτον 74 b 23 ; ἄλλον δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα 75 a 18 ; οὕτω καὶ περὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον 78 a 29 ; ἀντικείμενόν ἐστι τρόπον τινὰ 86 b 10 ; τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον 86 b 16 ; τίνα τρόπον δεῖ ζητεῖν 95 b 21 ; ζητεῖν τὸν αὐτὸν τρόπον 96 b 6 ; ἔτι δὲ ἄλλον τρόπον καθόλου περὶ ἁπάντων λάβωμεν 97 a 1 ; οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον 04 a 30 ; καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων 11 a 27 ; καὶ « πάντα τρόπον μικρὸν φρονεῖν

μελετῶντες » 11 b 11 (= Isocrate, *Panég.*, § 151) ; αἱ εὐδοκιμοῦσαι τρόπον τινὰ μεταφοραὶ 12 b 35 ; ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον 18 b 15 ; ἀλλ' οἱ **τρόποι** καὶ οἱ καιροὶ αἴτιοι 61 a 33 *var.* ; καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόποις ἢ διαθέσεις εὔποροι 72 a 32.

τροφή (ἡ), nourriture : ἔτι δὲ περὶ **τροφῆς**, πόση δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία, ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος 60 a 12 ; οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα, καὶ καθ' ἕκαστον εἶδος τροφῆς εἶδος ἐπιθυμίας 70 a 22* ; ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι... καὶ νόσοι καὶ τροφῆς ἔνδεια, κ. τ. α. 86 a 9 ; μέρη δὲ τιμῆς θυσίαι, ... εἰκόνες, **τροφαὶ** δημόσιαι, κ. τ. α. 61 a 36.

τροχαῖος (ὁ), trochée : ὁ δὲ τροχαῖος κορδακικώτερος · δηλοῖ δὲ τὰ τετράμετρα 08 b 36.

τροχερός, ά, όν, courant, cursif : ἔστι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα 09 a 1.

τρυφᾶν, vivre dans le luxe, faire le délicat : καὶ [αἰσχυντηλὸν] τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ πρεσβύτεροι ἢ **τρυφῶντες** ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι 84 a 1.

τρυφερός, ά, όν, délicat, tendre, voluptueux : καὶ **τρυφεροὶ** καὶ σαλάκωνες [οἱ πλούσιοι], τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ... 91 a 2-3.

τρυφή (ἡ), noblesse : τρυφεροὶ μὲν [οἱ πλούσιοι] διὰ τὴν **τρυφὴν** καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας 91 a 3.

Τρῶες (οἱ), les Troyens : ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν **Τρώων** 96 b 16.

τρῶσαι, blesser : 74 a 32 : voir τιτρώσκειν.

τυγχάνειν, rencontrer, trouver, obtenir : περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν πῶς τε καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων 55 b 23 ; οὐ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ 70 b 30-31 ; τὸ μὲν γὰρ εὖ πάσχειν τυγχάνειν ὧν ἐπιθυμοῦσι 71 a 35 ; ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ ἢ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν 85 b 14 ; ὥστ' ἐάν... ὁ λόγος... τοὺς ἀξιοῦντας ἐλεεῖσθαι καὶ ἐφ' οἷς ἐλεεῖσθαι δείξῃ ἀναξίους ὄντας τυγχάνειν, ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν 87 b 20-21 ; ὥστε ἂν αὐτοὶ μὲν παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι, δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων 88 a 28-29 ; ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν 88 a 37 ; τὰ μέγιστα **τυγχάνει** πέντε τὸν ἀριθμὸν ὄντα 59 b 20 ; « ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν » 71 b 34 (= Euripide, *Antiope*, *fr.* 183, Nauck p. 413) ; ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες **τυγχάνομεν**, ἀληθές ἐστιν 59 b 9 ; οἱ ἄνθρωποι πρὸς τὸ ἀληθὲς πεφύκασιν ἱκανῶς καὶ τὰ πλείω **τυγχάνουσι** τῆς ἀληθείας 55 a 16 ; πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν, ἀλλ' οἱ τόποι καὶ οἱ καιροὶ αἴτιοι 61 a 33 ; καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν, οὐ γὰρ μόνον ἡδύ, ἀλλὰ καὶ βέλτιον φαίνεται 63 a 37 ; περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν 68 b 15 ; [θαυμάζεσθαι βούλονται καὶ θαυμάζουσι]... ἢ παρ' ὧν τυγχάνουσιν δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι 84 a 29 ; καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν 87 b 11 ; δῆλον γὰρ ὅτι παρ' αὐτοὺς οὐ τυγχάνουσιν τοῦ ἀγαθοῦ, ὥστε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον 88 a 20 ; χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσι 95 b 7 ; ὥστε δεῖ στοχάζεσθαι πῶς τυγχάνουσι ποῖα προϋπολαμβάνοντες, εἶθ' οὕτως περὶ τούτων καθόλου λέγειν 95 b 10 ; ἂν οὖν ἀγαθὸς ὢν μὴ τοῦ ἁρμόττοντος **τυγχάνῃ**, νεμεση-

τόν 87 a 30 ; ἐὰν καὶ αὐτοὶ διακείμενοί πως **τυγχάνωσιν** 77 b 28 ; ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι 87 a 17 ; αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα κεκτημένοι... δεύτερον δέ, ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν 87 b 6 & 8 ; φανερὸν δ' ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ **τυγχάνουσι** χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ 87 b 17 ; καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν · συγγνώμης γὰρ οἴονται **τεύξεσθαι** 73 a 28 ; ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται 78 b 3 ; **τεύξονται** 70 b 16 (*infra*) ; ἢ ὧν δέονταί τινα χρείαν ὧν μὴ τεύξονται ἄδοξοι ὄντες 84 b 31 ; 88 a 29 (*supra*) ; οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας **τυχεῖν** 70 b 13 ; καὶ οἷς ἂν ᾖ τοῦ ἐπιεικοῦς τυχεῖν 72 b 19 ; καὶ πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν 73 a 18 ; « εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν... » 97 b 36 ; καὶ γὰρ ἐκείνη συλλογίζεται οὐκ ἐξ ὧν **ἔτυχεν** 56 b 36 ; ἢ εἰ τοῦ πλησίον ἔτυχεν τὸ βέλος, τούτου δὲ μή 62 a 9 ; ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν 70 b 16* ; ὅταν **τύχωσι** τιμωρίας 86 b 27 ; **τύχοι** 95 b 7 (*supra*) ; τύχοι γὰρ ἄν τις μᾶλλον ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει 07 b 2 ; οὐ μόνον ἄνθρωπον ἢ θεόν, ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ **τυχόν** 66 a 31 ; καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ **τυχόντος** ἄξιον 87 a 27 ; καὶ τοῖς ταχὺ οἱ μήπω **τυχόντες** ἢ μὴ τυχόντες φθονοῦσιν 88 a 24* ; διαφέρει δέ, ὅτι ἐκεῖ μὲν τὰ **τυχόντα** ἀντιτίθεται, ἐνταῦθα δὲ τἀναντία 99 a 22 ; καὶ εἰ προετικὸς τοῖς **τυχοῦσι**, καὶ τοῖς φίλοις 67 b 6. — Voir ἐπιτυγχάνειν, στοχάζεσθαι.

Τυνδαρίδαι (οἱ), les Tyndarides : καὶ εἰ μηδ' οἱ Τυνδαρίδαι [ἠδίκησαν], οὐδ' Ἀλέξανδρος 97 b 28.

τύπτειν, frapper, donner des coups : ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους ὕβριν εἶναι · οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων 02 a 2 ; τὸ δ' ὅτι τοὺς πλησίον **τύπτει** ὅς γε καὶ τὸν πατέρα τύπτει, ... τύπτει ⟨ἐκ τοῦ⟩ ὅτι εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει · τοὺς γὰρ πατέρας ἧττον **τύπτουσιν** ἢ τοὺς πλησίον 97 b 17* & 19-20 ; ὁ γὰρ μοιχεύων καὶ **τύπτων** ἀδικεῖ τινα τῶν ὡρισμένων, ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν 73 b 23 ; πέμπτον ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν · « οἱ δ' ἐλθόντες **ἔτυπτόν** με » 07 b 10.

τυραννεύειν, exercer la tyrannie : καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν **ἐτυράννευσε** 57 b 32.

τυραννίς (ἡ), pouvoir absolu, « tyrannie » : μοναρχία δ' ἐστὶν κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν · τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς 66 a 2 ; καὶ ὧν μή ἐστιν τιμωρία ἴση τῇ ὠφελείᾳ, οἷον δοκεῖ ἡ τυραννίς 72 b 2 ; ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλοῦτος, ἀριστοκρατίας δὲ τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα ⟨...⟩, **τυραννίδος** δὲ φυλακή 66 a 6 ; οἷον ὅτι ἐπιβουλεύει **τυραννίδι** Διονύσιος αἰτῶν τὴν φυλακήν 57 b 31 ; πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ 57 b 36.

τύραννος (ὁ), maître absolu, « tyran » : ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν **τύραννον** Ἵππαρχον 01 b 12 ; « ἢ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα **τυράννων** » 67 b 20 (= Simonide, *fr.* 111 Bergk) ; πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα **τυράννους** κατέλυσε · συντίθησι γάρ 01 a 35.

τυφλοῦν, aveugler, rendre aveugle : διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον **τυφλώσῃ** καὶ τὸν δύ' ἔχοντα · ἀγαπητὸν γὰρ ἀφῄρηται 65 b 18.

τυχεῖν, obtenir : voir τυγχάνειν.

τύχη (ἡ), hasard, sort, circonstance fortuite, chance : εὐτυχία δέ ἐστιν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα. Αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις, ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι 61 b 39-62 a 2 ; ἔστιν δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷος εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός 62 a 7 ; δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιούτων [sc. τῶν παρὰ φύσιν] 69 b 4 ; καὶ ὅσων ἡ τύχη αἰτία κακῶν μέγεθος ἐχόντων [ἐλεεινά] 86 a 7 ; ἔστι δὲ ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι..., ὧν δ' ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία, κ. τ. α. 86 a 9 ; διὸ πολλάκις καταφρονοῦσιν τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη 88 b 28 ; ἔστιν γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ **τύχης** γινόμενα ἀγαθά 59 a 35 ; ἔστιν δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης · μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς οὐκ ἔσται ἀπαθής, οὐδ' ἄλυπος καὶ πολυχρόνιος ἄνευ τύχης διαμείνειεν ἄν 61 b 29-31 ; ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστιν ἀπὸ τύχης, ἐφ' οἷς ἐστιν ὁ φθόνος 62 a 6 ; διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον 67 b 24 ; καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν · μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὑτὸν ἂν δόξειεν 68 a 15 ; ὥστε πάντα ὅσα μὴ δι' αὑτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ 68 b 37 ; ἔστι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται, καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως · δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ τῆς τύχης περὶ τούτων 69 a 32-35 ; ἢ ὅτι ἀπὸ τύχης συνέπεσεν ἢ συνηναγκάσθησαν 85 b 2 ; περὶ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν, δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποιὰ ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἐφεξῆς 90 b 14 ; ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσιν πρός τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀπὸ τῆς τύχης 91 b 3 ; « ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης » 94 b 6 (= Euripide, *Hécube*, 866) ; ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον 11 a 22 ; τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης 11 b 18 ; ἔτι δ' ἐὰν τἀναντία **τύχῃ** προσδεχόμενος [ὀργίζεται] 79 a 25 ; « τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται » 92 b 9 (= Agathon, *fr.* 8, Nauck p. 765 = Snell p. 163) ; ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ **τύχην** 60 b 29 ; οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην, ἀλλὰ τοῖς δι' αὑτόν. Οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον, μέγα φρονῶν οὐ τοῖς διὰ τύχην ὑπάρχουσιν, ἀλλὰ τοῖς δι' αὑτόν 68 a 4-8 ; τῶν μὲν οὖν μὴ δι' αὑτούς, τὰ μὲν διὰ τύχην πράττουσι, τὰ δ' ἐξ ἀνάγκης 68 b 34 ; ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν 69 a 6 ; καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθος 72 b 17 ; τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν 88 b 36 ; περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται 91 b 4 ; τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς **τύχας**, διέλθωμεν μετὰ ταῦτα 88 b 32. — Voir δυστυχία, εὐτυχία.

τωθάζειν, railler, se moquer de : καὶ οἱ ἐπιδέξιοι καὶ τῷ **τωθάσαι** καὶ τῷ ὑπομεῖναι [τοιοῦτοι οἷοι φιλεῖσθαι] 81 a 33 *var.*

* * *

ὑβρίζειν, insulter, outrager, agir avec violence, orgueil ou démesure : λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο 73 a 13 ; οἱ γὰρ ἀντιποιοῦντες οὐχ **ὑβρίζουσιν**, ἀλλὰ τιμωροῦνται 78 b 26 ; ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσιν καὶ σκώπτουσιν · ὑβρίζουσι γάρ 79 a 33 ; διὸ οὔτε

οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν..., οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν 85 b 21 ; καὶ ὁ **ὑβρίζων** δὲ ὀλιγωρεῖ 78 b 23 ; διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί · ὑπερέχειν γὰρ οἴονται **ὑβρίζοντες** 78 b 29 ; αἴτιον δὲ τῆς ἡδονῆς τοῖς **ὑβρίζουσιν**, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον 78 b 27 ; καὶ πατάξαι πρότερον, ἀλλ' οὐχ **ὑβρίσαι** 74 a 3 ; οὐ γὰρ εἰ ἐπάταξεν πάντως **ὕβρισεν**, ἀλλ' εἰ ἕνεκά του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον ἢ αὐτὸς ἡσθῆναι 74 a 14 ; ταῦτα δ' ἐστὶ τὰ εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστιν τὸ **ὑβρίζεσθαι** 84 a 18 ; καὶ ἀρετὴ **ὑβριζομένη** δύναμιν ἔχουσα · δῆλον γὰρ ὅτι προαιρεῖται μὲν ὅταν **ὑβρίζηται**, ἀεί, δύναται δὲ νῦν 82 b 1-2 ; ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν **ὑβρισθείς** 75 a 1. — Voir καταγελᾶν, ὀλιγωρεῖν, σκώπτειν, χλευάζειν.

ὕβρις (ἡ), outrage, violence, excès, démesure : διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι τί κλοπή, τί ὕβρις, τί μοιχεία, ὅπως... ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον 74 a 7 ; ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή 74 a 13 ; τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις 78 b 15 ; καὶ ὁ ὑβρίζων δὲ ὀλιγωρεῖ · ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶν τῷ πάσχοντι, μὴ ἵνα τι γίγνηται αὐτῷ ἄλλο ἢ ὅτι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ 78 b 23 ; ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν 89 a 12 ; παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις 08 a 16 ; **ὕβρεως** δὲ ἀτιμία, ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ 78 b 29 ; καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν ὅσα ὕβρεως σημεῖα [ὀργίζονται] ... ἤδη γὰρ δοκεῖ δι' **ὕβριν** 79 a 34 & 35 ; καὶ τὰ ἀδικήματα ἀδικοῦσιν [οἱ νέοι] εἰς ὕβριν, οὐ κακουργίαν 89 b 7 ; καὶ τἀδικήματα ἀδικοῦσιν [οἱ πρεσβύτεροι] εἰς κακουργίαν, οὐχ ὕβριν 90 a 18 ; ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς 98 a 25 ; ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους ὕβριν εἶναι · οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων 02 a 2 ; καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν οἰκείων **ὕβρεις** ἢ εἰς αὐτοὺς ἢ εἰς υἱεῖς 73 a 35.

ὑβριστής (ὁ), violent, orgueilleux, enclin à la démesure, coupable d'excès : διὸ οἱ νέοι καὶ οἱ πλούσιοι **ὑβρισταί** · ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες 78 b 28 ; οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ ὑβρισταὶ καὶ ὀλίγωροι καὶ θρασεῖς 83 a 2 ; ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι [οἱ πλούσιοι], πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 33 ; καὶ τοῖς μὴ **ὑβρισταῖς** μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα [πρᾶοί εἰσιν] 80 a 29 ; οἷον εἴ τις λέγει ὅ περ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ **ὑβριστὰς** εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν 95 a 1.

ὑβριστικός, ή, όν, violent, insolent, porté à l'excès : πρᾶοί εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ... ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδονῇ μὴ **ὑβριστικῇ** καὶ ἐν ἐλπίδι ἐπιεικεῖ 80 b 5 ; καὶ οἱ μήτε ἐν ἀνδρείας πάθει ὄντες, ... μήτε ἐν ὑβριστικῇ διαθέσει [τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἄν] 85 b 30 ; καὶ ἀδικήματα ἀδικοῦσιν [οἱ πλούσιοι] οὐ κακουργικά, ἀλλὰ τὰ μὲν **ὑβριστικά**, τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ μοιχείαν 91 a 18.

ὑγιάζειν, guérir : ὑγιασθῆναι 82 a 10 : voir le suivant.

ὑγιαίνειν, être en bonne santé : ἀκολουθεῖ δὲ διχῶς · ἢ γὰρ ἅμα ἢ ὕστερον, οἷον τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι ὕστερον, τῷ δὲ ὑγιαίνειν τὸ ζῆν ἅμα. Καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 31-32 ; ἕπεται δὲ ἅμα μὲν τῷ ὑγιαίνειν τὸ ζῆν, τούτῳ δὲ ἐκεῖνο οὔ 63 b 31 ; διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον · τὸ δὲ ὑγιαίνειν οὔ 65 b 7 ; « ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ » 94 b 13 (= Épicharme, *fr.* B 19, D-K I, p. 201) ; πολλοὶ γὰρ **ὑγιαί-**

νουσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας, διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων 61 b 4 ; οἷον εἰ δυνατὸν ἄνθρωπον **ὑγιασθῆναι**, καὶ νοσῆσαι 92 a 10.

Ὑγιαίνων (ὁ), Hygiénon : ἄλλος [τόπος], εἰ γέγονεν κρίσις, ὥσπερ Εὐριπίδης πρὸς **Ὑγιαίνοντα** ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής, ... ἔφη γὰρ αὐτὸν ἀδικεῖν τὰς ἐκ τοῦ Διονυσιακοῦ ἀγῶνος κρίσεις εἰς τὰ δικαστήρια ἄγοντα 16 a 29.

ὑγίεια (ἡ), santé, bonne santé : σώματος δὲ ἀρετὴ ὑγίεια, αὕτη δὲ οὕτως ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν · πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων 61 b 3-5 ; καὶ ὑγίεια καὶ κάλλος καὶ τὰ τοιαῦτα [ἀγαθά] · ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν 62 b 14-15 ; εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων 63 b 38 ; διὸ ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα δοκεῖ εἶναι · ἅπαντα γὰρ ἔχει ταῦτα 65 b 10 ; κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος, **ὑγιείας**, πλούτου, στρατηγίας 55 b 6 ; ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς 55 b 14 ; 61 b 5 (*supra*) ; ἔστιν δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος 61 b 32 ; ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις 62 a 4 ; καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 32-33-34 ; καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας 88 b 14 ; ἀνάγκη αὐτῆς [sc. εὐδαιμονίας] εἶναι μέρη εὐγένειαν, πολυφιλίαν, κ. τ. α. ... ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον **ὑγίειαν**, κάλλος, ἰσχύν, μέγεθος, κ. τ. α. 60 b 21 ; 62 a 34 (*supra*).

ὑγιεινός, ή, όν, qui concerne la santé, qui procure la santé, qui est en bonne santé : οὐδεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον, οἷον ἡ ἰατρικὴ τί Σωκράτει τὸ **ὑγιεινόν** ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε ἢ τοῖς τοιοῖσδε 56 b 31 ; εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων 63 b 37 ; καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι · ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστιν 01 a 32 ; καὶ τὸ αἱρετὸν καθ' αὑτὸ τοῦ μὴ καθ' αὑτό [μεῖζον], οἷον ἰσχὺς **ὑγιεινοῦ** · τὸ μὲν γὰρ οὐχ αὑτοῦ ἕνεκα, τὸ δὲ αὑτοῦ 64 a 1 ; οἷον ἰατρικὴ περὶ **ὑγιεινῶν** καὶ νοσερῶν 55 b 29.

ὑγιής, ής, ές, sain, en bonne santé : οὐδὲ γὰρ ἰατρικῆς τὸ **ὑγιᾶ** ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν · ἔστιν γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς 55 b 12.

ὑγρός, ά, όν, humide, mouillé : διὸ τὰ Ἀλκιδάμαντος ψυχρὰ φαίνεται... οἷον οὐχ ἱδρῶτα, ἀλλὰ « τὸν **ὑγρὸν** ἱδρῶτα » 06 a 20.

ὑδρία (ἡ), vase à puiser, cruche, hydrie : καὶ ἡ παροιμία δὲ τὸ « ἐπὶ θύραις τὴν **ὑδρίαν** » 63 a 7.

ὕδωρ (τὸ), eau : « ἄριστον μὲν ὕδωρ » 64 a 28 (= Pindare, *Olympique*, I, 1) ; καὶ ὅτι τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐστίν 99 b 12 ; « μετὰ δὲ γᾶν **ὕδατά** τ' ὠκεανὸν ἠφάνισε νύξ... » 09 a 17 (= Simonide, *fr.* 26 b Bergk, ou *fr. lyr. anon.*, Page, nº 950, p. 511).

ὕειν, pleuvoir : καὶ εἰ προγέγονε ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς **ὗσαι**, 93 a 6.

υἱός (ὁ), fils : διὸ καὶ ὁ Ἄμασις ἐπὶ μὲν τῷ **υἱεῖ** ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν οὐκ

ἐδάκρυσεν, ὡς φασίν, ἐπὶ δὲ τῷ φίλῳ προσαιτοῦντι 86 a 20 ; τοῦτο μὲν γὰρ Ἀθήνησι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν **υἱὸν** ἀπέφηνεν ἡ μήτηρ, τοῦτο δὲ Θήβησιν Ἰσμηνίου καὶ Στίλβωνος ἀμφισβητούντων ἡ Δωδωνὶς ἀπέδειξεν Ἰσμηνίου τὸν υἱόν, καὶ διὰ τοῦτο Θετταλίσκον Ἰσμηνίου ἐνόμιζον 98 b 3-5 ; οἷον ἱέρεια οὐκ εἴα τὸν υἱὸν δημηγορεῖν 99 a 23 ; οἷον ὁ Ἰφικράτης τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς μικροὺς τῶν ἀνδρῶν παῖδας εἶναι ψηφιοῦνται 99 a 36 ; οἷον ὑποβεβλημένης τινὸς τὸν αὑτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή 00 a 27 ; δίκαιόν ἐστιν... καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν 01 a 39 ; οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν 17 b 20 ; καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν οἰκείων ὕβρεις ἢ εἰς αὑτοὺς ἢ εἰς **υἱεῖς** 73 a 35 ; καὶ τὸ τοὺς **υἱοὺς** ἀναιρεῖν ὧν καὶ τοὺς πατέρας · « νήπιος ὃς πατέρα κτείνας υἱοὺς καταλείπει » 76 a 6-7 (= Stasinos, *Chants Cypriens*, *fr.* 2 : voir 95 a 18, *var.* παῖδας).

ὕλη (ἡ), bois, forêt : καὶ οὐ κλάδοις, ἀλλὰ « τοῖς τῆς **ὕλης** κλάδοις » 06 a 28 (Alcidamas).

ὑμεῖς, vous : voir σύ.

ὑμέτερος, α, ον, votre : « καί μοι προσέχετε τὸν νοῦν · οὐθὲν γὰρ μᾶλλον ἐμὸν ἢ **ὑμέτερον** » 15 b 13 ; καὶ ὅτι « εἰ δεῖ τὸν ἰδιώτην τῆς **ὑμετέρας** δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων » 97 b 32.

ὑπάρχειν, commencer, résulter, exister, être : ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην 60 b 29 ; καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας δεῖ ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων 61 a 9 ; ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα 62 a 1 ; τιμή, δόξα · καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται 62 b 22 ; καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι 67 a 2 ; ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν 70 b 26 ; φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ ἀγαθὸν εἶναι 71 a 19 ; ὅπως ἐάν τε ὑπάρχειν ἐάν τε μὴ ὑπάρχειν βουλώμεθα δεικνύναι 74 a 8* ; ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς 79 a 40 ; 79 b 1 *var.* : voir ὑπερέχειν ; καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθά, καὶ τούτων ἃ μάλιστα φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς 81 a 35-36 ; καὶ οἱ τῶν αὐτῶν ἀνταγωνισταί, ὅσα μὴ ἐνδέχεται ἅμα ὑπάρχειν ἀμφοῖν 82 b 13 ; καὶ ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω 83 a 34 ; ἀνάγκη τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν τι κακὸν ἢ αὐτὸν ἢ τῶν αὐτοῦ τινα 85 b 16 ; εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν 85 b 22 ; ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν 86 b 20 ; καὶ οἷς μικροῦ ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν 87 b 28 ; ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν ἐπαινοῦσι πάντες 96 a 15* ; σκοποῦντες τί ὑπάρχει τοιοῦτον αὐτοῖς ἢ δοκεῖ ὑπάρχειν 96 a 17* ; τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον 96 a 27* ; ὁμοίως γὰρ δεῖ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν 97 a 21* ; δεῖ δὲ ὑπάρχειν μᾶλλον ἂν δοκοῦντα ἀδικῆσαι ἐκεῖνον 98 a 9 ; καὶ τὸ μὲν εὐθὺς **ὑπάρχει** δι' αὑτὸ πιθανὸν καὶ πιστόν, τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων 56 b 29 ; τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι, καὶ ποία τις ἥ τε ὑπάρχουσά ἐστιν καὶ ἥ τις ἐνδέχεται προσγενέσθαι 59 b 34-35* ; ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βεβαίου [χρῆσις] 64 b 33 ; πλείω γὰρ ἑνός, ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία 65 b 12 ; δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει 67 b 10 ; δῆλον γὰρ ὡς τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον, ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδι-

κοῦσι, τῷ δὲ ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει 68 b 30-32 ; πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα 71 b 21 ; καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόποις ἢ διαθέσεις εὔποροι 72 a 32 ; πρὸς οὓς ὑπάρχει αὐτοῖς ἀγχιστεία τις 85 a 3 ; καὶ οἷς ὑπάρχει τοιαῦτα ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν 88 b 3 ; περὶ δὲ ἀδυνάτου δῆλον ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει 92 b 14 ; 96 a 17 (*supra*) ; καὶ εἴ τι ἄλλο τοιοῦτον ἁμάρτημα ὑπάρχει αὐτοῖς 96 a 21 ; τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον, ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες εἴ τι καλὸν ἢ αἰσχρὸν ὑπάρχει, κατηγοροῦντες δ' ἢ ἀπολογούμενοι εἴ τι δίκαιον ἢ ἄδικον, συμβουλεύοντες δ' εἴ τι συμφέρον ἢ βλαβερόν 96 a 27*-28 ; ταῦτα γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς 96 b 13 ; δεῖ γὰρ σκοπεῖν εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, ἀναιροῦντα μὲν εἰ μὴ ὑπάρχει, κατασκευάζοντα δὲ εἰ ὑπάρχει 97 a 8-9* ; εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι 97 a 23 ; καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι 97 a 28 ; τοῦτο γάρ ἐστιν, εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον. Τὸ δ' ὅτι τοὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα τύπτει, ἐκ τοῦ εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ δεῖξαι, τύπτει ἐκ τοῦ ὅτι εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει · τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον. Ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει, ἢ ᾧ ἧττον εἰ ὑπάρχει, ὁπότερον δεῖ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει εἴθ' ὅτι οὔ 97 b 16*-18*-19-20-21*-22-23 ; ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ταῦτα ὑπάρχει, δόξαιεν ἂν εὐδαιμονεῖν 01 b 27-28 ; λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. Εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο 03 a 12-13 ; οὐθὲν γὰρ οἰκεῖον ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ 14 b 28 ; τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων **ὑπάρχουσιν** ὄντες 58 a 37 ; καὶ οἷς ὑπάρχουσι γονεῖς ἢ τέκνα ἢ γυναῖκες 85 b 27 ; ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι 96 b 32 ; ἐὰν μὲν αὐτῷ **ὑπάρχῃ**, πιστὰς καὶ κυρίας [τὰς συνθήκας] 76 b 1 ; ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή 86 b 22 ; ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη 88 b 28 ; ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν 90 b 17 ; ταῦτα γάρ ἐστιν ἃ ἐὰν μὲν ὑπάρχῃ δεῖ πράττειν, ⟨ἐὰν δὲ μὴ ὑπάρχῃ, μὴ πράττειν⟩ 99 b 36* ; ἄλλος [τόπος] ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν 00 a 31-32 ; κἂν **ὑπάρχωσιν** αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί 72 a 15 ; ἐξ ὧν ἐάν τε ὑπάρχωσιν οἰκεῖαι αὔξειν ἔστιν, ὅτι ἀληθεῖς μόναι τῶν μαρτυριῶν εἰσιν αὗται 76 b 33 ; οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη, εἰ **ὑπάρχοι** αὐτῷ τά τ' ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγαθά 60 b 25 ; 97 b 16 (*supra*) ; αὐτοὶ δὲ ὧδε διακείμενοι αἰσχυνθεῖεν ἄν, πρῶτον μὲν εἰ **ὑπάρχοιεν** πρὸς αὐτοὺς ἔχοντες οὕτως τινὲς οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται 84 b 28 ; **ὑπάρχουσα** 59 b 35 (*supra*) ; καὶ τὸ τοῖς βελτίοσιν **ὑπάρχον**, ἢ ἁπλῶς ἢ ᾗ βελτίους 64 b 20 ; προωδοποίηται γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ **ὑπάρχοντος** πάθους 79 a 25 ; ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ **ὑπάρχοντι**, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν 87 a 1 ; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν **ὑπάρχουσαν** φύσιν, λύπην δὲ τοὐναντίον 69 b 34 ; ὥσπερ αἱ διὰ τοῦ σώματος **ὑπάρχουσαι** [ἐπιθυμίαι], οἷον ἡ τροφῆς δίψα καὶ πεῖνα 70 a 21 ; καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ **ὑπάρχοντα** πιθανὰ περὶ ἕκαστον 55 b 10 ; κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέγουσιν πάντες 58 b 18 ; οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων 59 b 28 ; καὶ τὰ μόνῳ ὑπάρχοντα καλλίω · εὐμνημονευτότερα γὰρ 67 a 26 ; 81 a 35 (*supra*) ; ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν,

καθ' ἡλικίας, κατὰ ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα 87 b 27 ; ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια 96 a 6 ; 96 a 27 (*supra*) ; ἀποβλέποντα μὴ εἰς ἀόριστα, ἀλλ' εἰς τὰ ὑπάρχοντα περὶ ὧν ὁ λόγος 96 b 7 ; λύεται δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις 03 a 3 ; ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντα ὡς ἐσομένων ἢ **ὑπαρχόντων**, καὶ ὧν ἀποτρέποντα, φανερόν 62 a 16 ; οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων ἢ ὑπαρχόντων ἢ μελλόντων 84 a 14-15 ; 96 a 15 (*supra*) ; ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι κατηγοροῦσι καὶ ἀπολογοῦνται 96 a 22 ; οἷον περὶ δικαιοσύνης, εἰ ἀγαθὸν ἢ μὴ ἀγαθόν, ἐκ τῶν ὑπαρχόντων τῇ δικαιοσύνῃ καὶ τῷ ἀγαθῷ 96 a 32 ; οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν, ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων 96 b 2 ; ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχῃ τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον δεικνύναι 96 b 9 ; ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς **ὑπάρχουσιν** ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον 67 a 33 ; μέγα φρονῶν οὐ τοῖς διὰ τύχην ὑπάρχουσιν, ἀλλὰ τοῖς δι' αὐτόν 68 a 6 ; καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον **ὑπῆρχεν** γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι 98 a 20 ; ὅσων... ἅμα λεγομένων ἡ γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν 10 b 25 ; ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται **ὑπάρξαι** 59 b 34-35 (*supra*) ; καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι ὑπάρξαι, κακόν τι συμβῆναι 86 a 12 ; ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι 86 a 27 ; ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ ὁμοίῳ καὶ αὐτῷ 86 b 30 ; καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν **ὑπῆρξεν** ταῦτα 65 a 28 ; τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 21 ; **ὑπαρξάντων** 84 a 14 (*supra*). — Voir ἐνυπάρχειν.

ὑπαρχή (ἡ), commencement : πάλιν οὖν οἷον ἐξ **ὑπαρχῆς** ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν τὰ λοιπά 55 b 24.

ὑπεῖναι, être au fond, subsister : ἀλλὰ δεῖ τινα ἐλπίδα ὑπεῖναι σωτηρίας, περὶ οὗ ἀγωνιῶσιν 83 a 5.

ὑπεναντίος, ος, ον, contraire, opposé : ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὑπεναντίος καὶ ὀμωμοσμένος 77 b 7 ; ἐάν τε **ὑπεναντίαι** ὦσιν [αἱ βάσανοι] καὶ μετὰ τοῦ ἀμφισβητοῦντος, διαλύοι ἄν τις τἀληθῆ λέγων 77 a 1.

ὑπέρ, au-dessus de, au-delà de, en faveur de :

1°) **avec le génitif** : ὑπὲρ τῆς πατρίδος 66 b 37 ; ὑπὲρ πατρὸς ἢ μητρός 72 b 5 ; ὑπὲρ Εὐκτήμονος 74 b 36 ; ὑπὲρ ὧν 77 a 25 ; 79 b 27 ; 85 a 4 ; ὑπὲρ τοῦ δημαγωγοῦ 93 b 9 ; ὑπὲρ τῶν Ἡρακλειδῶν 96 a 13 ; ὑπὲρ αὐτοῦ 96 a 26 ; ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν κ. τ. α. 03 a 33 ; ὑπὲρ τῶν θυγατέρων 11 a 19 ; ὑπὲρ Χαβρίου 11 b 6 ; ὑπὲρ μικρῶν 11 b 17 ; ὑπὲρ παντὸς τοῦ πολέμου 11 b 18 ; ὑπὲρ τῆς Ἀντιγόνης 18 b 32 ;

2°) **avec l'accusatif** : ὑπὲρ αὐτοὺς 70 b 14 ; ὑπὲρ τὸ ἀξίωμα 04 b 3.

ὑπεραλγεῖν, s'affliger profondément, se désoler : καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα... κολακείας γὰρ σημεῖα 83 b 31 ; ἢ κεχαρισμένους ἢ ἄκοντας ἢ **ὑπεραλγοῦντας** τοῖς πεποιημένοις 80 b 34.

ὑπερβαίνειν, passer outre, transgresser : καὶ τὰ μὲν ῥητορικά ἐστι τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκεν ἢ **ὑπερβέβηκεν**, οἷον ὅρκους, δεξιάς, κ. τ. α. 75 a 9.

ὑπερβάλλειν, dépasser : ὅσα δὲ **ὑπερβάλλουσιν** ἢ ἐλλείπουσιν 90 b 8.

ὑπερβολή (ἡ), dépassement, surabondance, excès, hyperbole : καὶ ὃ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ὃ δ' ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν 63 a 2 ; ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν 67 b 6 ; τὸ δὲ « ὥσπερ τὸ καὶ τό » ὑπερβολὴ τῇ λέξει διαφέρουσα 13 a 24 ; διχῶς δέ εἰσιν ἐνδεεῖς · ἢ γὰρ ὡς ἀναγκαίου,

ὥσπερ οἱ πένητες, ἢ ὡς **ὑπερβολῆς**, ὥσπερ οἱ πλούσιοι 72 b 20 ; ἄκος δ' ἐπὶ πάσῃ **ὑπερβολῇ** τὸ θρυλούμενον · δεῖ γὰρ αὐτὸν αὐτῷ προεπιπλήττειν 08 b 2 ; ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν **ὑπερβολήν** 61 b 21 ; τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως 71 a 27 ; ταῦτα δ' ἐστὶν τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς καὶ κακίας 74 a 21 ; οἱ δ' ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων [sc. τῶν νέων καὶ πρεσβυτέρων] τὸ ἦθος ἔσονται ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν 90 a 29 ; καὶ « οὕτως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν » 06 a 32 (Alcidamas) ; καὶ ἀντικειμένως δὲ τῶν βελτιόνων αἱ **ὑπερβολαὶ** βελτίους καὶ καλλιόνων καλλίους 64 b 3 ; εἰσὶ δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ μεταφοραί 13 a 22 ; εἰσὶ δ' αἱ ὑπερβολαὶ μειρακιώδεις 13 a 30 ; καὶ τοὺς ἐν ταῖς **ὑπερβολαῖς** ὡς ἐν ταῖς ἀρεταῖς ὄντας 67 b 1.

Ὑπερείδης (ὁ), Hypéride : τὰ γὰρ βέλτιστα τεθέανται · διὸ εὖ ἔχει ἡ τοῦ **Ὑπερείδου** ἀπόκρισις πρὸς τοὺς Συρακοσίους 84 b 15 *var.* : conjecture de Ruhnken (mss. Εὐριπίδου).

ὑπερεπαινεῖν, louer à l'excès, outre mesure : τὸ δ' ἐπαινεῖν παρόντας κολακείας καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν, τὰ δὲ φαῦλα συναλείφειν... κολακείας γὰρ σημεῖα 83 b 31.

ὑπερευδαιμονεῖν, connaître un degré suprême de bonheur, ou un bonheur excessif : διὸ οὔτε οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν, ... οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν 85 b 21.

ὑπερέχειν, dépasser, surpasser : μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν 61 b 18 ; καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι μείζω · ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ μείζονος 63 b 33-34 ; καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται · πλειόνων γὰρ ὑπερέχειν φαίνεται 65 a 11 ; τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται 71 b 1 ; ἔστιν δὲ ταῦτα ἐκ τοῦ ὑπερέχειν τῇ δυνάμει 74 b 28 *var.* : voir ἐνυπάρχειν ; αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. Διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί · ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες 78 b 28-29 ; ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπερέχειν ἐν τούτοις ἐν οἷς σκώπτονται, οὐ φροντίζουσιν 79 b 1 ; οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν [φιλοτιμοῦνται] 88 a 13 ; ᾧ γὰρ **ὑπερέχει** τὸ μεῖζον τοῦ ἐλάττονος, τούτῳ γίνεται τοῦ μὲν λῆψις, τοῦ δ' ἀποβολή 62 b 1 ; ὑπερέχει γάρ, τὸ δὲ ἐνυπάρχον ὑπερέχεται 63 b 20* ; ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει · τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει 64 a 27* ; ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ, τῶν δὲ τῇ βουλήσει 64 b 32 ; πλείω γὰρ ἑνός, ὥστε ὑπερέχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία 65 b 12 *var.* : voir ὑπάρχειν ; σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν..., ἢ ὧν τῇ κτήσει μικρῷ **ὑπερέχουσιν** ἢ μικρῷ ἐλλείπουσιν 88 a 4 ; καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου **ὑπερέχῃ**, καὶ αὐτὰ αὐτῶν 63 b 21 ; καὶ ὅλως ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ 79 a 1 ; ἔστω δὴ **ὑπερέχον** μὲν τὸ τοσοῦτον καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ ἐνυπάρχον 63 b 8* ; καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν 63 b 11 ; καὶ ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς **ὑπερέχοντες** φοβεροί εἰσιν 83 b 35 ; τὰ **ὑπερέχοντα** 63 b 33 (*supra*) ; **ὑπερέχεται** 63 b 20 (*supra*) ; **ὑπερεχόμενον** 63 b 8 (*supra*). — Voir ἐλλείπειν, ἐνυπάρχειν, ὑπάρχειν.

ὑπερήμερος, ος, ον, qui a laissé passer le jour ou le temps : « **ὑπερήμεροί** μοι τῶν γάμων αἱ παρθένοι » 11 a 20 (= Anaxandride, Kock *fr.* 68).

ὑπερήφανος, ος, ον, orgueilleux, méprisant : ὑβρισταὶ γὰρ καὶ **ὑπερήφανοι** [οἱ πλούσιοι], πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου 90 b 33 ; **ὑπερηφανώτεροι** μὲν οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν 91 a 33.

ὑπεροράν, dédaigner : « **ὑπερεῖδεν** ὅσα εἶπον » 14 a 1 ; ἄλλος [τόπος] τὸ παρὰ τὸ ἑπόμενον, οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος · **ὑπεριδὼν** γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβεν καθ' αὑτόν 01 b 21.

ὑπεροχή (ἡ), supériorité, excellence, excès : καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ καλλίων, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι 64 a 37 ; 65 a 11 *var.* ; πίπτειν δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους · ἐν ὑπεροχῇ γάρ ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν καλῶν. Διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν 68 a 23-24-25 ; πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή 75 a 11 ; ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις 89 a 12-13 ; καὶ τὸ νικᾶν ἡδύ, ... φαντασία γὰρ **ὑπεροχῆς** γίγνεται 70 b 33 ; 89 a 12 (*supra*) ; τὸ δὲ παρὰ ταῦτα ἔτι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς κενολογεῖν ἐστιν 93 a 17 ; **ὑπεροχῇ** 68 a 23 (*supra*) ; ἡ γὰρ σύνθεσις **ὑπεροχὴν** δείκνυσι πολλήν 65 a 17 ; καὶ νίκη καὶ τιμὴ τῶν καλῶν · αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ 67 a 23 ; τοὺς ἔχοντας ὧν αὐτοὶ ἐνδεεῖς ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς ἀπόλαυσιν 72 b 25 ; ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν 79 a 8 ; ἀνάλογον γὰρ ἔχουσιν αἱ **ὑπεροχαὶ** τῶν γενῶν καὶ τῶν μεγίστων ἐν αὐτοῖς 63 b 26. — Voir ὑπερέχειν.

ὑπέχειν, soutenir (une opinion ou une thèse) : πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν 54 a 5.

ὑπηρετεῖν, servir, assister, aider : ἢ γὰρ ὅτι αὐτῶν ἕνεκα **ὑπηρετοῦσιν** ἢ **ὑπηρέτησαν** 85 b 1* ; σημεῖον δὲ εἰ ἔλαττον μὴ ὑπηρέτησαν, καὶ εἰ τοῖς ἐχθροῖς ἢ ταὐτὰ ἢ ἴσα ἢ μείζω 85 b 7 ; κἂν μικρὰ **ὑπηρετήσωσιν** 85 a 26 ; τοὺς δὲ **ὑπηρετηκότας** ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ἢ **ὑπηρετοῦντας** 85 a 33-34. — Voir ὑπουργεῖν.

ὑπηρέτης (ὁ), serviteur : κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ **ὑπηρέται** ἢ κοινωνοί 72 a 16.

ὑπηρέτησις (ἡ), service : ταῦτα δ' ἐστὶ τὰ εἰς **ὑπηρετήσεις** ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστιν τὸ ὑβρίζεσθαι 84 a 17.

ὑπηρετικός, ή, όν, qui concerne le service, apte à servir : ἀνδρεία δὲ δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ **ὑπηρετικοὶ** τῷ νόμῳ 66 b 13.

ὑπισχνεῖσθαι, promettre : ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαι δεῖ καὶ αἰτίαν λέγειν εὐθύς, καὶ διατάττειν οἷς βούλονται, οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ **ὑπισχνεῖται** πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν 17 b 17-19 ; « μὴ τοίνυν μέλλοντες μὲν **ὑπισχνεῖσθε**, παθόντες δ' ἀφαιρεῖσθε » 96 b 37 ; ἀρχὴ δὲ διότι ἃ **ὑπέσχετο** ἀποδέδωκεν, ὥστε ἅ τε καὶ δι' ὃ λεκτέον 19 b 33 ; « εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, **ὑπέσχοντο** ἄν » 98 a 2.

ὕπνος (ὁ), sommeil : διὸ αἱ ῥαθυμίαι καὶ αἱ ἀπονίαι καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων 70 a 16.

ὑπὸ, ὑπ', ὑφ', sous, sous l'influence de, par l'effet de, par :

φιλεῖν, éprouver de l'affection (sens large) ou de l'amitié (sens restreint), aimer (une chose) : πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρηται πολλάκις 54 b 8 ; καὶ ὁ φίλος τῶν ἡδέων · τό τε γὰρ φιλεῖν ἡδύ (οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ) καὶ τὸ φιλεῖσθαι ἡδύ 71 a 18-19 ; 80 b 36 (*infra*) ; μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς 81 b 28* ; τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασίν, φιλεῖν ὡς μισήσοντας, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας. Δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν συνδηλοῦν, εἰ δὲ μή, τὴν αἰτίαν ἐπιλέγειν, οἷον οὕτως εἰπόντα, ὅτι « δεῖ δὲ φιλεῖν οὐχ ὥσπερ φασίν, ἀλλ' ὡς ἀεὶ φιλήσοντα · ἐπιβούλου γὰρ θάτερον », ἢ ὧδε « οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον · δεῖ γὰρ τὸν ἀληθινὸν φίλον ὡς φιλήσοντα ἀεὶ φιλεῖν » 95 a 26-27-29-30-32* ; οἷον « καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσεν δὲ τοῖς Τριάκοντα » 00 a 19 ; εἰ οὖν ὁ αἰσχυνόμενος μὴ **φιλεῖ**, ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικεν 81 b 31-32 ; οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ 81 b 33 ; « οὐδεὶς ἐραστὴς ὅς τις οὐκ ἀεὶ φιλεῖ » 94 b 16 (= Euripide, *Troyennes*, 1051) ; τίνας δὲ **φιλοῦσι** καὶ μισοῦσι, καὶ διὰ τί, ... τὴν φιλίαν καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν 80 b 35-36 ; καὶ τοὺς πεποιηκότας εὖ φιλοῦσιν ἢ αὐτοὺς ἢ ὧν κήδονται 81 a 11 ; καὶ [φιλοῦσιν] τοὺς τῶν φίλων φίλους καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν · καὶ τοὺς φιλουμένους ὑπὸ τῶν φιλουμένων αὐτοῖς... 81 a 14*-15* ; καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι 81 b 22 ; καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν · διὸ καὶ τοὺς περὶ τοὺς τεθνεῶτας τοιούτους πάντες φιλοῦσιν 81 b 25-26 ; μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς 81 b 28* ; φιλοῦσι γὰρ ἄγαν [οἱ νέοι] καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως 89 b 4 ; καὶ οὔτε φιλοῦσι σφόδρα [οἱ πρεσβύτεροι] οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες 89 b 23-24-25 ; οἷον εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, [ἡ ἔνστασις] ὅτι ἀλλ' οὐδ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν 02 b 8 ; οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν **φιλῶσι** 72 a 20 *var.* ; φίλος δέ ἐστιν ὁ **φιλῶν** καὶ ἀντιφιλούμενος 81 a 1 ; τῷ μὲν γὰρ **φιλοῦντι**, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν 78 a 1 ; 81 b 32 (*supra*) ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ **φιλοῦντες** καὶ μισοῦντες 56 a 16 ; οὐ γὰρ ταὐτὰ φαίνεται **φιλοῦσι** καὶ μισοῦσι, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν 77 b 31 ; 81 b 25 (*supra*) ; **φιλοῦντας** 81 a 14 (*supra*) ; ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε **φιλήσουσιν**, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι 99 a 26 ; **φιλήσοντα** 95 a 30 & 32 (*supra*) ; **φιλήσοντες** 89 b 25 (*supra*) ; **φιλήσοντας** 95 a 27 (*supra*) ; καὶ τὸ **φιλεῖσθαι** ἡδύ · φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ ἀγαθὸν εἶναι, ... τὸ δὲ φιλεῖσθαι ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι' αὑτόν 71 a 19 & 21 ; καὶ τοὺς **φιλου**-

μένους ὑπὸ τῶν **φιλουμένων** αὐτοῖς 81 a 15* (*supra*). — Voir ἀγαπᾶν, ἐρᾶν, μισεῖν.

φιλεραστής (ὁ), qui aime ses amis (ou ses amants) : διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ καὶ **φιλερασταὶ** καὶ φιλότιμοι καὶ φιλότεκνοι [πάντες] 71 b 24.

φιλεργία (ἡ), amour du travail : θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 7.

φιλεταιρία (ἡ), affection pour les amis : καὶ τὸ φιλέταιρον εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία φιλοχρηματίας 64 b 2.

φιλέταιρος, ος, ον, qui aime ses amis : καὶ τὸ **φιλέταιρον** εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον 64 b 1 (voir le précédent) ; καὶ φιλόφιλοι καὶ **φιλέταιροι** [οἱ νέοι] μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν 89 a 35.

φιλευτράπελος, ος, ον, qui aime la plaisanterie et l'enjouement : καὶ φιλογέλωτες [οἱ νέοι], διὸ καὶ **φιλευτράπελοι** · ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν 89 b 11 *var.*

Φιλήμων (ὁ), Philémon : οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου Γεροντομανίᾳ... καὶ ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν 13 b 25.

φιλία (ἡ), affection (sens large), amitié (sens restreint) : ἀνάγκη ἀγαθὰ εἶναι... φίλος καὶ φιλία 62 b 19 ; περὶ δ' εὐνοίας καὶ **φιλίας** ἐν τοῖς περὶ τὰ πάθη λεκτέον 78 a 18 ; εἴδη δὲ φιλίας ἑταιρεία, οἰκειότης, συγγένεια καὶ ὅσα τοιαῦτα. Ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι 81 b 34-35 ; καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ ψόγοις ἢ ὀργῇ ἢ **φιλίᾳ** 08 b 15 ; τὴν **φιλίαν** καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν 80 b 35.

Φίλιππος (ὁ), Philippe ; le *Philippe*, discours d'Isocrate : ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ **Φιλίππῳ** καὶ ἐν τῇ Ἀντιδόσει 18 b 27 ; καὶ πάλιν πρὸς τὸ Θηβαίους διεῖναι **Φίλιππον** εἰς τὴν Ἀττικήν 97 b 38.

φιλογέλοιος, ος, ον, qui aime rire et plaisanter : ὅθεν ὀδυρτικοί εἰσιν [οἱ πρεσβύτεροι], καὶ οὐκ εὐτράπελοι οὐδὲ **φιλογέλοιοι** · ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι 90 a 22.

φιλόγελως (ὁ), qui aime à rire, rieur : ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ **φιλογέλωτι** 90 a 23 ; καὶ **φιλογέλωτες** [οἱ νέοι], διὸ καὶ εὐτράπελοι 89 b 11. — Voir φιλευτράπελος.

φιλοδικεῖν, aimer les procès, se complaire dans la procédure : καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξιών · τοιαῦτα δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη 73 a 35.

φιλόδικος. ος, ον, qui aime les procès : « καὶ φησὶ μὲν εἶναί με **φιλόδικον**, οὐκ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδεμίαν δίκην » 00 a 20.

φιλοδοξεῖν, aimer la gloire, soigner sa renommée : ἐφ' οἷς γὰρ **φιλοδοξοῦσι** καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτήμασι καὶ ὀρέγονται δοξῆς... σχεδὸν περὶ πάντα φθόνος ἐστί 88 a 1.

φιλόδοξος, ος, ον, avide de gloire (ou : attaché à une opinion particulière) : καὶ ὅλως οἱ **φιλόδοξοι** περί τι φθονεροὶ περὶ τοῦτο 87 b 33.

φιλοεργία (ἡ), amour du travail : 61 a 7 *var.* : voir φιλεργία.

φιλόζωος, ος, ον, qui aime la vie, qui tient à la vie : καὶ **φιλόζωοι** [οἱ πρεσβύτεροι], καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν 89 b 33.

φιλόθεος, ος, ον, qui aime les dieux, pieux : ἓν δὲ ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι **φιλόθεοί** εἰσι καὶ ἔχουσιν πρὸς τὸ θεῖόν πως 91 b 2.

φιλοίκειος, ος, ον, qui aime les siens : 89 a 35 *var.* : voir φιλόφιλος.

φίλοινος, ος ον, qui aime le vin : οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ 71 a 18.

φιλοκόλαξ (ὁ), qui aime la flatterie : διὸ καὶ **φιλοκόλακες** ὡς ἐπὶ τὸ πολὺ καὶ φιλερασταὶ καὶ φιλότιμοι καὶ φιλότεκνοι [πάντες] 71 b 23.

Φιλοκράτης (ὁ), Philocrate : διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομένου τοῦ δήμου τί οὐκ ἀπολογεῖ ; — « Οὔπω γε », ἔφη. — « Ἀλλὰ πότε ; » — « Ὅταν ἴδω ἄλλον διαβεβλημένον » 80 b 8.

Φιλοκτήτης (ὁ), Philoctète : καὶ τὸ τὸν Νικήρατον φάναι **Φιλοκτήτην** εἶναι δεδηγμένον ὑπὸ Πράτυος 13 a 7.

φιλόλογος, ος, ον, qui a du goût pour les Lettres : καὶ Λακεδαιμόνιοι Χίλωνα καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα **φιλόλογοι** ὄντες 98 b 15.

Φιλομήλα (ἡ), Philomèle : τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα... ἄριστα τῶν τραγικῶν · εἶπε γὰρ « αἰσχρόν γε, ὦ **Φιλομήλα** » 06 b 17.

φιλόνεικος, ος, ον, qui aime la dispute, querelleur : 63 b 1 *var.* ; 68 b 21 *var.* ; 89 a 12 *var.*, etc. : voir φιλόνικος.

φιλόνικος, ος, ον, qui aime à vaincre, qui veut avoir le dernier mot : καὶ ἄδικοί εἰσιν, οἷον... ὁ δὲ φιλόνικος διὰ νίκην 68 b 21 ; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ **φιλόνικοι** εἰ νίκη ἔσται 63 b 1 ; ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι · τοιοῦτοι δ' οἱ εὔκολοι καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων καὶ μὴ φιλόνικοι μηδὲ δυσέριδες 81 a 31 ; καὶ φιλότιμοι μέν εἰσιν [οἱ νέοι], μᾶλλον δὲ φιλόνικοι · ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις 89 a 12 ; καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς **φιλονίκοις**, ἀλλὰ πᾶσιν 70 b 33.

φιλοπονεῖσθαι, aimer le travail : τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν [sc. τῶν μεταφορῶν], ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων 05 a 6.

φίλος, η, ον, ami : πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου ὡρισμένου, ὅτι ἔστιν ὁ τοιοῦτος φίλος ὅς τις ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον 61 b 35-36 ; ἀνάγκη ἀγαθὰ εἶναι... φίλος καὶ φιλία · καὶ γὰρ καθ' αὐτὸν αἱρετὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν 62 b 19-20 ; καὶ ὁ φίλος τῶν ἡδέων · τό τε γὰρ φιλεῖν ἡδύ... καὶ τὸ φιλεῖσθαι ἡδύ 71 a 17 ; φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστίν 71 a 24 ; ἐφρόντιζε γὰρ ἂν ὥστε φίλος εἶναι 78 b 23 ; φίλος δέ ἐστιν ὁ φιλῶν καὶ ἀντιφιλούμενος 81 a 1 ; ὥστε ἅ περ αὑτῷ καὶ ἄλλῳ βουλόμενος, τούτῳ φαίνεται φίλος εἶναι 81 a 10 ; « ὦ **φίλ'**, ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνήρ » 18 a 8 (= *Odyssée*, IV, 204) ; **φίλου** 61 b 35 (*supra*) ; τὰ δ' ἄλλα περὶ μάρτυρος ἢ φίλου ἢ ἐχθροῦ ἢ μεταξύ 76 a 30 ; πᾶσιν γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ αὑτοῖς, ὥστε βούλεσθαι τὰ αὑτοῖς ἀγαθά, ὅ περ ἦν τοῦ φίλου 81 a 19 ; διὸ καὶ ὁ Ἄμασις ἐπὶ μὲν τῷ υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν οὐκ ἐδάκρυσεν, ὡς φασίν, ἐπὶ δὲ τῷ **φίλῳ** προσαιτοῦντι 86 a 21 ; οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι **φίλον** γέροντα 76 a 4 ; ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς λυπηροῖς μὴ διά τι ἕτερον, ἀλλὰ δι' ἐκεῖνον 81 a 3 ; δεῖ γὰρ τὸν ἀληθινὸν φίλον ὡς φιλήσοντα ἀεὶ φιλεῖν 95 a 31 ; « δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν » 15 b 27 (= *Odyssée*, VI, 327) ; ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ **φίλοι** καὶ χρήματα καὶ τιμή 60 b 27 ; ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι 63 a 13 ; ... κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί · διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην. Καὶ ἐὰν φίλοι ὦσιν τοῖς ἀδικουμένοις ἢ τοῖς κριταῖς · οἱ μὲν γὰρ φίλοι ἀφυλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ προσκαταλλάττονται πρὶν ἐπεξελθεῖν, οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι

ὦσιν, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν 72 a 16-17-18-20; οἱ γὰρ φίλοι συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν 79 b 22; φίλος δέ ἐστιν ὁ φιλῶν καὶ ἀντιφιλούμενος · οἴονται δὲ φίλοι εἶναι οἱ οὕτως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους 81 a 1-2; καὶ οἷς δὴ ταὐτὰ ἀγαθὰ καὶ κακά, καὶ οἱ τοῖς αὐτοῖς φίλοι καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί 81 a 8; καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἂν φαίνωνται βουλόμενοι 81 a 25; καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι 81 b 23; ἢ [ἐὰν] δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες 83 a 23; τοιοῦτοι δὲ οἱ ἄρτι βουλόμενοι φίλοι εἶναι 84 b 14; καὶ [ζηλωτοὶ] οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοί 88 b 19; ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι 92 a 27; τίς ἡ δύναμις αὐτῶν, πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση, καὶ πρόσοδοι τίνες ἢ φίλοι καὶ ἐχθροί 96 a 11; καὶ [ἀδικοῦσιν] πρὸς οὓς ἔχουσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ **φίλων** ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγόνους ἢ ὧν κήδονται 73 a 1; καὶ [φιλοῦσιν] τοὺς τῶν φίλων φίλους καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν 81 a 14*; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν 83 b 2; διὸ καὶ τὸ διασπᾶσθαι ἀπὸ φίλων καὶ συνήθων ἐλεεινόν 86 a 10; προαιροῦνται δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ τοῖς ἐχθροῖς κακὰ καὶ τὰ τοῖς **φίλοις** ἀγαθὰ καὶ τὰ δυνατά 63 a 21; καὶ [ἀγαθὰ] ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς 63 a 33; καὶ ὅσων αὐτοὶ αὐτοῖς ἢ φίλοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά, ὅσων δὲ ἥκιστα, μείζω κακά 64 b 28; καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις 67 b 6; καὶ [ἀδικοῦσιν] οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί 73 a 16; καὶ βοηθητικὸν εἶναι τοῖς φίλοις 74 a 25; καὶ [ὀργίζονται] τοῖς φίλοις μᾶλλον ἢ τοῖς μὴ φίλοις · οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή 79 b 2-3; τοῖς δὲ φίλοις, ἐάν τε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν, καὶ ἔτι μᾶλλον ἐὰν τἀναντία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων 79 b 13; οἷον εἰ δυνατὸν καὶ ῥᾴδιον καὶ ὠφέλιμον ἢ αὑτῷ ἢ φίλοις ἢ βλαβερὸν ἐχθροῖς 99 b 38; καὶ [ἀδικοῦσιν] τοὺς ἐχθροὺς καὶ τοὺς **φίλους** · τοὺς μὲν γὰρ ῥᾴδιον, τοὺς δὲ ἡδύ 73 a 14; καὶ [φιλοῦσιν] τοὺς τῶν φίλων φίλους 81 a 14* (*supra*); εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα 81 b 30; φανερὸν οὖν ἐκ τούτων ὅτι ἐνδέχεται ἐχθροὺς καὶ φίλους καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν καὶ φάσκοντας διαλύειν 82 a 16; ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον θεράποντας καὶ φίλους τούτων 84 b 22; καὶ φιλόφιλοι [οἱ νέοι] καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους 89 b 2; οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους ποιεῖ, [ἡ ἔνστασις] ἀλλ' οὐδ' ὁ μοχθηρὸς κακῶς 02 b 5. — Opp. ἐχθρός.

φιλοσοφεῖν, philosopher, se cultiver : « μέλλετε δὲ κρίνειν οὐ περὶ Ἰσοκράτους ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν » 99 b 11 (= Isocrate, *Sur l'Échange*, § 173); καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν · εἰ δὲ μή, ποιήσεις ὅπερ ἔνιοι ποιοῦσι τῶν **φιλοσοφούντων**, οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα ἢ ἐξ ὧν λέγουσιν 18 a 10.

φιλοσοφία (ἡ), philosophie, culture de l'esprit : ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν, ὅ περ ῥᾷόν ἐστιν ἐκ **φιλοσοφίας** 94 a 5; οἷον οἱ ἐπὶ **φιλοσοφίᾳ** φιλοτιμούμενοι [ὀργίζονται] ἐάν τις εἰς τὴν φιλοσοφίαν [κακῶς λέγῃ] 79 a 37-38; οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου 12 a 12; **φιλοσοφίαν** 79 a 38 (*supra*); καὶ ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν « ἐπιτείχισμα τῶν νόμων » [ἐκάλει] 06 b 11.

φιλόσοφος (ὁ), philosophe : καὶ εἰ μηδ' ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ **φιλόσοφοι** 97 b 30 ; καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις 89 b 19 ; δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ **φιλοσόφοις** 67 b 10.

φιλότεκνος, ος, ον, qui aime ses enfants : διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ καὶ φιλερασταὶ καὶ φιλότιμοι καὶ **φιλότεκνοι** [πάντες] · αὐτῶν γὰρ ἔργον τὰ τέκνα 71 b 24.

φιλοτιμεῖσθαι, aimer l'honneur, rechercher la considération, avoir de l'ambition : λόγον δὲ ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς **φιλοτιμεῖται**, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης 84 a 27 ; ἔτι [ὀργίζονται] τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς **φιλοτιμοῦνται**, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, κ. τ. α. 79 b 24 ; καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι 81 b 21 ; φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους 84 a 31 ; ἢ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται 85 a 7 ; ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτήμασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐστιν, σχεδὸν περὶ πάντα φθόνος ἐστί 88 a 1 ; καὶ [φθονοῦσι] πρὸς οὓς φιλοτιμοῦνται · φιλοτιμοῦνται γὰρ πρὸς τοὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας... οὐδείς 88 a 9* ; ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιστα τούτοις φθονεῖν 88 a 15 ; οἷον οἱ ἐπὶ φιλοσοφίᾳ **φιλοτιμούμενοι** [ὀργίζονται] ἐάν τις εἰς τὴν φιλοσοφίαν [κακῶς λέγῃ] 79 a 37.

φιλοτιμία (ἡ), amour de l'honneur, ambition : καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ [οἱ νέοι] · διὰ γὰρ **φιλοτιμίαν** οὐκ ἀνέχονται ὀλιγωρούμενοι 89 a 10.

φιλότιμος, ος, ον, ami des honneurs, ambitieux : καὶ ἄδικοί εἰσιν, οἷον... ὁ δὲ φιλότιμος διὰ τιμήν 68 b 20 ; καὶ γὰρ τὸ δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ **φιλότιμοι** ἐφίενται αὐτῶν · ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται · καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι 61 a 39-61 b 2 ; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή... 63 b 2 ; διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ καὶ φιλερασταὶ καὶ φιλότιμοι καὶ φιλότεκνοι [πάντες] 71 b 24 ; ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ ἄρχειν 71 b 28 ; καὶ [νεμεσητικοί εἰσιν] ἐὰν φιλότιμοι καὶ ὀρεγόμενοί τινων πραγμάτων, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν 87 b 10-11 ; καὶ οἱ φιλότιμοι φθονερώτεροι τῶν ἀφιλοτίμων. Καὶ οἱ δοξόσοφοι · φιλότιμοι γὰρ ἐπὶ σοφίᾳ 87 b 32-33 ; καὶ φιλότιμοι μέν εἰσιν [οἱ νέοι], μᾶλλον δὲ φιλόνικοι 89 a 12 ; εὐγενείας μὲν οὖν ἦθός ἐστι τὸ **φιλοτιμότερον** εἶναι τὸν κεκτημένον αὐτήν 90 b 16 ; **φιλοτιμότεροι** γὰρ καὶ ἀνδρωδέστεροί εἰσιν τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν 91 a 22.

φιλοτοιοῦτος, ος, ον, qui aime telle ou telle chose : καὶ μάλιστα ἕκαστοι πρὸς ἃ **φιλοτοίουτοι**, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται 63 b 1 *var.* : conj. de Vahlen (τοιοῦτοι mss.).

φιλόφιλος, ος, ον, qui aime [bien] ses amis : καὶ **φιλόφιλοι** καὶ φιλέταιροι [οἱ νέοι] μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν 89 a 35 ; καὶ ὅλως [φιλοῦσιν] τοὺς σφόδρα **φιλοφίλους** καὶ μὴ ἐγκαταλείποντας · μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς 81 b 27.

φιλοχρηματία (ἡ), amour de l'argent : καὶ τὸ φιλέταιρον εἶναι τοῦ φιλοχρήματον μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία **φιλοχρηματίας** 64 b 2.

φιλοχρήματος, **ος**, **ον**, ami de l'argent, cupide : καὶ τὸ φιλέταιρον εἶναι τοῦ **φιλοχρήματον** μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία φιλοχρηματίας 64 b 1 ; καὶ γὰρ τὸ δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ **φιλοχρήματοι** καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν · ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται · καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι 61 a 39-61 b 2 ; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, ... οἱ φιλοχρήματοι εἰ χρήματα, καὶ οἱ ἄλλοι ὡσαύτως 63 b 2 ; καὶ ἄμφω ταῦτα [οἱ νέοι, sc. φιλότιμοι καὶ φιλόνικοι] μᾶλλον ἢ φιλοχρήματοι · φιλοχρήματοι δὲ ἥκιστα διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι 89 a 14*.

φοβεῖσθαι, éprouver de la crainte, avoir peur, redouter : ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι 80 a 33 ; ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε 82 b 33 ; ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς, ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν 83 a 9 ; καὶ ἀνδρειότεροι [οἱ νέοι] · θυμώδεις γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι, τὸ δὲ θαρρεῖν ποιεῖ 89 a 26 ; οὐδεὶς γὰρ ὃν **φοβεῖται** φιλεῖ 81 b 33 ; φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν, οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται 82 b 30 ; οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστὶν 89 a 27 ; καὶ ὃ οἱ ἀκούοντες **φοβοῦνται** μᾶλλον ἢ ἐλεοῦσιν 75 a 8 ; φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ δ' ἥττους φοβοῦνται, φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ 80 a 23-24 ; καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται, ἕως ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται · ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι 80 a 32-33 ; καὶ [φιλοῦσιν] τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθά, καὶ τούτων ἃ μάλιστα φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς 81 a 36 ; ποῖα δὲ φοβοῦνται καὶ τίνας καὶ πῶς ἔχοντες, ὧδ' ἔσται φανερόν 82 a 20 ; οὐ γὰρ πάντα τὰ κακὰ φοβοῦνται, ... ἀλλ' ὅσα λύπας μεγάλας ἢ φθορὰς δύναται 82 a 23 ; τὰ γὰρ πόρρω σφόδρα οὐ φοβοῦνται 82 a 26 ; καὶ οὓς φοβοῦνται οἱ κρείττους αὐτῶν, διὰ ταὐτό 82 b 16 ; τὰ μὲν οὖν φοβερὰ καὶ ἃ φοβοῦνται, σχεδὸν ὡς εἰπεῖν τὰ μέγιστα ταῦτ' ἐστίν, ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν 82 b 27-28 ; καὶ [θαρραλέοι εἰσίν] ἐὰν μὴ ἠδικηκότες ὦσιν μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τούτους παρ' ὧν φοβοῦνται 83 b 4 ; ὅσα ἐφ' αὐτῶν φοβοῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν 86 a 28 ; **φοβούμενος** 80 a 24 (*supra*) ; καὶ περὶ ὧν ἀγωνιῶσι μὴ **φοβούμενοι** 67 a 15 ; οἱ τοιοῦτοι γὰρ οὔτε προαιροῦνται ⟨ἐπεξιέναι⟩ φοβούμενοι τοὺς κριτάς, οὔτε δύνανται πείθειν 72 b 36 ; μήτ' αὖ φοβούμενοι σφόδρα · οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει 85 b 32 ; καὶ οὔτε σφόδρα θαρροῦντες... οὔτε λίαν φοβούμενοι, καλῶς δὲ πρὸς ἄμφω ἔχοντες [οἱ ἀκμάζοντες] 90 a 30 ; **ἐφοβεῖτο** γὰρ ἂν καὶ οὐκ ὠλιγώρει 78 b 21.

φοβερός, **ά**, **όν**, effrayant, qui suscite la crainte (sens actif), craintif (sens passif) : διὸ καὶ τὰ σημεῖα τῶν τοιούτων φοβερά · ἐγγὺς γὰρ φαίνεται τὸ **φοβερόν** · τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός 82 a 30-31* ; φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι, ὥστε οἱ συνειδότες πεποιηκότι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν 82 b 5-7 ; ὑπέκειτο γὰρ τὸ τοιοῦτο φοβερόν 82 b 12 ; 82 b 21 *var.* ; καὶ ὅταν τοῖς ὁμοίοις φοβερὸν μὴ ᾖ, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι 83 a 32 ; **φοβεροῦ** 82 a 31 (*supra*) ; τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ ⟨φόβῳ καὶ τὸ θαρραλέον τῷ⟩ **φοβερῷ** 83 a 17 ; **φοβεροί** 82 b 7 (*supra*) ; καὶ οἱ ἠδικηκότες, ἂν δύναμιν ἔχωσι, φοβεροί, δεδιότες τὸ ἀντιπαθεῖν 82 b 11 ; καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροί · μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτούς, εἰ καὶ τοὺς κρείττους 82 b 15 ; καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμενοι · ἢ γὰρ ἤδη

φοβεροὶ ἢ αὐξηθέντες 82 b 18 ; καὶ ἂν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν 83 a 35 ; ὁ γὰρ τὰ **φοβερὰ** ἀδικῶν καὶ τὰ ἐπιζήμια καὶ τὰ ἀζήμια ἀδικήσειεν ἄν 75 a 18 ; ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν βλάβας 82 a 28 ; 82 a 30 (*supra*) ; πάντα δὲ τὰ φοβερὰ φοβερώτερα ὅσα ἁμαρτάνουσιν ἐπανορθώσασθαι μὴ ἐνδέχεται... 82 b 22* ; ὡς δ' ἁπλῶς εἰπεῖν, φοβερά ἐστιν ὅσα ἐφ' ἑτέρων γιγνόμενα ἢ μέλλοντα ἐλεεινά ἐστιν 82 b 25 ; τὰ μὲν οὖν φοβερὰ καὶ ἃ φοβοῦνται, σχεδὸν ὡς εἰπεῖν τὰ μέγιστα ταῦτ' ἐστίν 82 b 27 ; ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστιν, καὶ τῶν **φοβερῶν**, ... 83 a 13 ; ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων 83 a 18 ; καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων εἴρηται 83 b 10 ; οἷς δ' ὀργίζονται, ἢ **φοβεροὺς** ἢ αἰσχύνης ἀξίους ἢ κεχαρισμένους ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις 80 b 32 ; καὶ [φιλοῦσι] τοὺς μὴ φοβερούς, καὶ οὓς θαρροῦμεν · οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ 81 b 32 ; **φοβερώτερα** 82 b 22 (*supra*).

φοβερότης (ἡ), crainte, frayeur (qu'inspire une personne) : ἀκμάζοντος δὲ [κάλλος] πρὸς μὲν πόνους τοὺς πολεμικούς, ἡδὺν δ' εἶναι δοκεῖ μετὰ **φοβερότητος** 61 b 12.

φόβος (ὁ), crainte, frayeur, peur : ἔστι δὲ τὰ πάθη... οἷς ἕπεται λύπη καὶ ἡδονή, οἷον ὀργή, ἔλεος, φόβος καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία 78 a 21 ; ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ λυπηροῦ 82 a 21 ; εἰ δὴ ὁ φόβος τοῦτ' ἐστίν, ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην συντεινούσας 82 a 27 ; καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι 82 b 2 ; εἰ δή ἐστιν ὁ φόβος μετὰ προσδοκίας τινὸς τοῦ πείσεσθαί τι φθαρτικὸν πάθος, φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ... 82 b 29 ; ὁ γὰρ φόβος βουλευτικοὺς ποιεῖ, καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων 83 a 6 ; οὐ γὰρ ἔτι ἔσται τὸ μὲν φθόνος, τὸ δὲ νέμεσις, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή 86 b 21 ; καὶ γὰρ ὁ φόβος κατάψυξίς ἐστιν 89 b 32 ; ἐπεὶ δὲ περὶ **φόβου** φανερὸν τί ἐστιν 83 a 13 ; τό τε γὰρ θάρσος τὸ ἐναντίον τῷ ⟨**φόβῳ** καὶ τὸ θαρραλέον τῷ⟩ φοβερῷ 83 a 17 ; οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν εἰς ὀργὴν προάγοντας ἢ **φόβον** ἢ ἔχθραν 54 a 25 ; τοὺς γὰρ συγκινδυνεύοντας ἐγκαταλιμπάνουσιν [οἱ δειλοί] διὰ τὸν φόβον 68 b 19 ; πάντες γὰρ ἢ διαβάλλουσιν ἢ **φόβους** ἀπολύονται ἐν τοῖς προοιμίοις 15 b 18.

φοινικίς (ἡ), vêtement de pourpre : ἀλλὰ δεῖ σκοπεῖν, ὡς νέῳ φοινικίς, οὕτω γέροντι τί · οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής 05 a 13.

φοινικοδάκτυλος, **ος**, **ον**, aux doigts de pourpre : διαφέρει δ' εἰπεῖν, οἷον ῥοδοδάκτυλος ἠὼς μᾶλλον ἢ φοινικοδάκτυλος, ἢ ἔτι φαυλότερον ἐρυθροδάκτυλος 05 b 19.

φοιτᾶν, fréquenter, venir souvent : ἔστιν δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ... ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ **φοιτῶν**, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν 62 a 10.

φορά (ἡ), production, récolte (bonne ou mauvaise) : φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις 90 b 24.

φορεῖν, porter : « ὥσπερ σέλινον οὖλα τὰ σκέλη **φορεῖ** » 13 a 13 & 28 (var. φορεῖν en 28) (*fragm. com. anon.*, Kock, III, p. 448, *fr.* 207) ; « σαφῶς σιδήρῳ καὶ **φοροῦσα** τοὔνομα » 00 b 19 (= Sophocle, *Tyrô*, *fr.* 597, Nauck p. 274).

φόρμιγξ (ἡ), lyre, harpe : ὥσπερ ἡ ἀνάλογον μεταφορά, οἷον... « τὸ τόξον φόρ-

μιγξ ἄχορδος ». Οὕτω μὲν οὖν λέγουσιν οὐχ ἁπλοῦν, τὸ δ' εἰπεῖν τὸ τόξον **φόρμιγγα**... ἁπλοῦν 13 a 1-3.

φορμός (ὁ), natte, tapis de jonc : οἱ ἐν πενίᾳ παριστάμενοι... κεχαρισμένοι, οἷον ὁ ἐν Λυκείῳ τὸν **φορμὸν** δούς 85 a 27.

φορτικός, ή, όν, grossier, vulgaire : καὶ [τὸ περὶ τὴν ὑπόκρισιν] δοκεῖ **φορτικὸν** εἶναι, καλῶς ὑπολαμβανόμενον 03 b 36.

φορτικότης (ἡ), grossièreté, manque de culture : ἔχουσι δ' [αἱ γνῶμαι] εἰς τοὺς λόγους βοήθειαν μεγάλην μίαν μὲν διὰ τὴν **φορτικότητα** τῶν ἀκροατῶν 95 b 2.

φρήν (ἡ), cœur, sentiment, esprit : « ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος » 16 a 32 (= Euripide, *Hippolyte*, 612) ; « πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν **φρενῶν** » (conj. de Schneidewin : mss. φέρων) 99 b 24 (= *fr. trag. anon.* 82, Nauck p. 855).

φροιμιάζεσθαι, préluder, dire en manière de préambule : « Τί **φροιμιάζῃ** ; » 15 b 21 (= Euripide, *Iphigénie en Taur.*, 1162). — Voir προοίμιον.

φρονεῖν, réfléchir, penser juste, avoir du bon sens ; **μέγα φρονεῖν**, s'enorgueillir : οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην, ἀλλὰ τοῖς δι' αὑτόν 68 a 4 ; ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔστιν δ' ἡ σοφία πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη 71 b 27 ; εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἄν... οἱ πρεσβύτεροι καὶ διὰ τὸ φρονεῖν καὶ δι' ἐμπειρίαν 85 b 25 ; « θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν » 94 b 26 (= Épicharme, *fr.* B 20, D-K, I, p. 201) ; καὶ « πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες » 11 b 11 (= Isocrate, *Panég.*, § 151) ; ὡδὶ δ' ἔπαινον, μέγα **φρονῶν** οὐ τοῖς διὰ τύχην ὑπάρχουσιν, ἀλλὰ τοῖς δι' αὑτόν 68 a 6 ; Ἰσοκράτης δὲ ψέγει ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ **φρονοῦσιν** οὐθὲν ἆθλον ἐποίησαν 14 b 35 (= Isocrate, *Panég.*, § 1 ss.) ; ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς εὖ **φρονοῦντας** καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν 54 b 1.

φρόνησις (ἡ), réflexion, prudence, sagesse pratique : καὶ γὰρ τί καὶ ποσὸν καὶ ποιὸν οὕτως ἔχει ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι 64 b 16 ; δῆλον οὖν ὅτι καὶ μεῖζον ὃ μᾶλλον ἡ φρόνησις λέγει 64 b 19 ; μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία 66 b 3 ; φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν 66 b 20 ; ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια 78 a 8 ; ἀρετήν, ἢ καὶ τὰ μέρη αὐτῆς **φρόνησιν**, ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην 60 b 23 ; καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο [τοῦτο ἀγαθόν] 63 b 14 ; ἢ ἁπλῶς ἢ ᾗ κατὰ τὴν φρόνησιν ἔκριναν 64 b 14 ; ὥρισται γὰρ ἀγαθὸν εἶναι ὃ λαβόντα τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον 64 b 18. — Voir διάνοια, νοῦς.

φρόνιμος ος, ον, sensé, prudent, doué de sagesse pratique : τὸ μὲν γὰρ **φρονίμου**, τὸ δὲ ἀγαθοῦ · φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν, ἀγαθοῦ δ' ἐν τῷ τὸ καλόν 17 a 27* ; εὐδοξία... τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται ἢ οἱ πολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ **φρόνιμοι** 61 a 27 ; καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν 64 b 12 ; τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ πολῖται τῶν ἄπωθεν, καὶ οἱ ὄντες τῶν μελλόντων, καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων 71 a 12 ; ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσιν ἀλλ' οὐκ εὖνοι 78 a 12 ; ὅθεν μὲν οὖν φρόνιμοι καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον 78 a 16 ; καὶ ὃ τῶν **φρονίμων** τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν 63 a 17 ; φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων, τοιοῦτοι δ' οἵ τε πρεσβύτε-

ροι καὶ οἱ πεπαιδευμένοι 84 a 32 ; « συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς **φρονίμους** ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν » 10 a 8 (= Isocrate, *Panég.* § 48) ; οἱ γὰρ ἐγκρατεῖς καὶ **φρονιμώτεροι** τὰ τοιαῦτα διώκουσιν 72 b 16. — Opp. ἄφρων.

φροντίζειν, réfléchir, se préoccuper de, se soucier de : καὶ [ὀργίζονται] τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν 79 b 5 ; καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοὶ [οἱ πρεσβύτεροι] · διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν 90 a 2 ; ἀνάγκη αἰσχύνεσθαι ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ ἢ ὧν **φροντίζει** 83 b 18 ; οὐδεὶς δὲ τῆς δόξης φροντίζει ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας 84 a 24 ; ὧν γὰρ **φροντίζομεν** οὐ λανθάνει 79 b 16 ; ὡς δ' οὐκ ἄδικον τοὺς ἀστυγείτονας καταδουλοῦσθαι καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν **φροντίζουσιν** 58 b 37 ; ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπερέχειν ἐν τούτοις ἐν οἷς σκώπτονται, οὐ φροντίζουσιν 79 b 2 ; ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται ἀλλ' ὅτι οὐκ ἐγγύς, οὐδὲν φροντίζουσιν 82 a 27 ; φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους, φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων 84 a 31 ; καὶ [ὀργίζονται] τοῖς μὴ **φροντίζουσιν** ἐὰν λυπήσωσιν 79 b 19 ; **ἐφρόντιζε** γὰρ ἂν ὥστε φίλος εἶναι 78 b 22.

φροντίς (ἡ), souci, inquiétude : καὶ « σκυθρωπὸν τὴν **φροντίδα** τῆς ψυχῆς » 06 a 25 (Alcidamas) ; ἐπὶ τελευτῆς δέ · ... « ἐν πλείσταις δὲ **φροντίσι** καὶ ἐν ἐλαχίσταις ἐλπίσιν » 10 a 33.

φυγάς (ὁ), banni, exilé : καὶ ὅτι τοῖς **φυγάσιν** ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν 01 b 26 ; « πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους... διὰ τὴν ἐπιείκειαν · **φυγάδας** δ' οὐ ποιήσετε τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους ; » 99 b 3 (= Théodecte, *De la Loi*, *fr.* 2, Sauppe p. 247).

φυγή (ἡ), exil, fuite : καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα... αἱ δὲ ζημίαι εἰς χρήματα ἢ **φυγὴν** ἢ τοιοῦτόν τι 72 b 6 ; διὸ οἱ ἐν πενίᾳ παριστάμενοι καὶ **φυγαῖς**, κἂν μικρὰ ὑπηρετήσωσιν, ... κεχαρισμένοι 85 a 26.

φύεσθαι, être par nature ; **πεφυκέναι**, avoir telle ou telle qualité naturelle : « πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν **ἔφυ** » 70 a 11 (= Évenus de Paros, *fr.* 8 Bergk) ; τοιαῦτα δ' ἐστὶν ὅσα **πέφυκεν** ἀνάγεσθαι εἰς ἡμᾶς, καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐστιν 59 a 38 ; ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν 60 a 5 ; καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκεν καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων 60 a 22 ; « χρὴ δ' οὔ ποθ' ὅς τις ἀρτίφρων πέφυκ' ἀνήρ » 94 a 29 (= Euripide, *Médée*, 294) ; τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν ὅπερ πέφυκε πρῶτον 03 b 18 ; ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταὶ 04 a 20 ; πέφυκε γάρ, μετὰ τὸ ἀποδεῖξαι αὐτὸν μὲν ἀληθῆ, τὸν δὲ ἐναντίον ψευδῆ 19 b 14 ; ἅμα δὲ καὶ οἱ ἄνθρωποι πρὸς τὸ ἀληθὲς **πεφύκασιν** ἱκανῶς καὶ τὰ πλείω τυγχάνουσι τῆς ἀληθείας 55 a 16 ; διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν 61 b 11 ; πρῶτον μὲν ἐν τοῖς συνδέσμοις, ἂν ἀποδιδῷ τις ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων 07 a 21 ; καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ **πεφυκὸς** ἤδη γίγνεται 70 a 6 ; καὶ τὸ μὲν δίκαιον οὐκ ἔστιν μεταστρέψαι οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ · πεφυκὸς γάρ ἐστιν 76 b 22 ; πρῶτον μὲν γάρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον 92 b 16 ; καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα **πεφυκότων**, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ ἥμισυ, καὶ εἰ ἥμισυ, διπλάσιον 92 b 3 ; καὶ εἰ γέγονεν ὅσα ἢ **πεφύκει** πρὸ ἐκείνου ἢ ἕνεκα ἐκείνου 92 b 26 ; καὶ εἰ ὅσα ὕστερον πεφύκει (*var.* πέφυκε) γίγνεσθαι ἢ οὗ ἕνεκα γίγνεται γέγονε, καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονε 92 b 28 ; καὶ εἰ προγέγονε ὅσα πρότερον πεφύκει (*var.* πέφυκε) γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι 93 a 6. — Voir πεφυκότως.

φυλακή (ἡ), garde, surveillance, protection : ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ 60 a 9 (*infra*) ; ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ... τυραννίδος δὲ φυλακή 66 a 6 ; ἔτι δὲ περὶ **φυλακῆς** τῆς χώρας 59 b 22 ; ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων... ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον 60 a 6-7-9 ; 60 b 16 *var.* : voir φυλακτικός ; οἷον ὅτι ἐπιβουλεύει τυραννίδι Διονύσιος αἰτῶν τὴν **φυλακήν** · καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε 57 b 31-32 ; πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ 57 b 36 ; ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος 93 b 11 ; « ἐὰν δὲ φυλακὴν δῶτε καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι » 93 b 21 (Stésichore). — Voir τηρεῖν.

φυλακτήριον (τὸ), poste de garde : τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν **φυλακτηρίων** 60 a 8.

φυλακτικός, ή, όν, capable de conserver ou de préserver ; circonspect, qui se tient sur ses gardes : ἀρετὴ δ' ἐστὶ μὲν δύναμις ὡς δοκεῖ ποριστικὴ ἀγαθῶν καὶ **φυλακτική** 66 a 37 ; καὶ τὸ ποιητικὸν ἢ **φυλακτικὸν** τῶν τοιούτων 62 a 28 ; καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικὸν [τοῦ ἀγαθοῦ] 63 b 15 ; ἢ εὐθενία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως **φυλακτικῆς** τε καὶ πρακτικῆς τούτων 60 b 16 ; καὶ [ἀδικοῦσι] τοὺς μὴ εὐλαβεῖς μηδὲ **φυλακτικούς**, ἀλλὰ πιστευτικούς 72 b 28 ; καὶ [φιλοῦσι] τοὺς μὴ μνησικακοῦντας, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους 81 b 4.

φυλάττειν, veiller, garder, conserver, surveiller ; **φυλάττεσθαι**, se garder de, être sur ses gardes, prendre ses précautions contre : πρὸς δύο γὰρ φυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας 60 a 15 *var.* ; 94 b 24 (*infra*) ; οἷον ἐν τῷ « ἀθάνατον ὀργὴν μὴ **φύλασσε** θνητὸς ὤν » · τὸ μὲν γὰρ φάναι « μὴ δεῖν φυλάττειν » γνώμη, τὸ δὲ προσκείμενον « θνητὸν ὄντα » τὸ διὰ τί 94 b 23-24 (*fr. trag. anon.*) ; ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ **φυλάττοντες**, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν 76 b 5 ; καὶ τοῖς κακῶς **φυλάξασι** τὴν ἀλλοτρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν 98 b 9 ; οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ **φυλάττεσθαι** 72 a 29 ; ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς **φυλάττεται** 60 a 7 ; πάντες γὰρ τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα **φυλάττονται** καὶ τἀδικήματα 72 a 27 ; οἱ δὲ λανθάνουσι διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι **φυλαττομένοις** 72 a 31.

φυσικός, ή, όν, qui a trait à la nature, physique : **φυσικὸν** ὂν δίκαιον καὶ ἄδικον 73 b 7 *var.* ; οὗτοι δ' εἰσὶν οἱ κοινοὶ [τόποι] περὶ δικαίων καὶ **φυσικῶν** καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει 58 a 13 ; συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν 58 a 16 ; οἷον περὶ φυσικῶν εἰσι προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν, καὶ περὶ τούτων ἄλλαι ἐξ ὧν οὐκ ἔσται περὶ τῶν φυσικῶν 58 a 18-20.

φύσις (ἡ), nature, caractères naturels ; **φύσει**, par nature : αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις, ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι · ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις 62 a 3-4-5 ; ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει · ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔστιν δ' ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις 70 a 7-8 ; ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς **φύσεως** 89 a 19 ; ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρετήν, γενναῖον δὲ κατὰ τὸ μὴ ἐξίστασθαι τῆς φύσεως 90 b 23 ; καὶ ἔστι φύσεως τὸ

ὑποκριτικὸν εἶναι, καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον 04 a 15; καὶ « τὴν τῆς φύσεως ἀτασθαλίαν » 06 a 9 (Lycophron); καὶ οὐχὶ μουσεῖον, ἀλλὰ « τὸ τῆς φύσεως παραλαβὼν μουσεῖον » 06 a 24 (Alcidamas); **φύσει** εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων 55 a 21; ἀεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει εὐσυλλογιστότερα καὶ πιθανώτερα 55 a 37; ἔστιν γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθά 59 a 35; πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς [sc. τῆς ἡδονῆς] τῇ φύσει 62 b 7; καὶ τὰ τῇ φύσει ἀγαθά, καὶ ἃ μὴ αὐτῷ ἀγαθά 66 b 38; καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ καλλίους καὶ τὰ ἔργα 67 a 16; τῶν μὲν οὖν μὴ δι' αὐτούς, τὰ μὲν διὰ τύχην πράττουσι, τὰ δ' ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης, τὰ μὲν βίᾳ, τὰ δὲ φύσει, ὥστε πάντα ὅσα μὴ δι' αὐτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ 68 b 35-37; φύσει δὲ ὅσων ἥ τ' αἰτία ἐν αὐτοῖς καὶ τεταγμένη 69 a 35; πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν 69 b 17; 70 a 7 (*supra*); εἰσὶν δὲ τοιαῦται [ἐπιθυμίαι ἄλογοι] ὅσαι εἶναι λέγονται φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι 70 a 21; ἔστι γὰρ ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον 73 b 7; ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον 73 b 10; οὐδ' εἰ τὰ φύσει ἔχουσιν ἀγαθά 87 a 14; ἐπεὶ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει 87 a 16; περὶ τοὺς ὁμοίους τῇ φύσει 88 a 34; καὶ [δυνατὰ] ὧν ἢ ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν · οὐδεὶς γὰρ ἀδυνάτων ἐρᾷ οὐδὲ ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ 92 a 23; « καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι » 10 a 13 (= Isocrate, *Panég.*, § 105); τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσιν ἐστίν 10 b 10; φύσει δὲ ἥκιστα ἔχει 15 b 34; ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων, ἀλλὰ φύσει τοιοῦτος εἶ 17 a 35; λήσεται τὴν **φύσιν** αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν 59 b 14; 62 a 4 (*supra*); ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν 69 a 6; τὰ γὰρ παρὰ φύσιν οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται 69 b 2-3; εἰς τὴν ὑπάρχουσαν φύσιν 69 b 35; ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ, καὶ μάλιστα ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα 70 a 4-5; καὶ τὸ μὴ βίαιον · παρὰ φύσιν γὰρ ἡ βία 70 a 9; καὶ τὸ μεταβάλλειν ἡδύ · εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν 71 a 26; ἐν δὲ τῷ μανθάνειν ⟨τὸ⟩ εἰς τὸ κατὰ φύσιν καθίστασθαι 71 a 34; καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ 71 b 12-13; καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθος 72 b 17; λέγω δὲ νόμον τὸν μὲν ἴδιον, τὸν δὲ κοινόν, ... κοινὸν δὲ τὸν κατὰ φύσιν 73 b 6; οὐδ' ὁ κοινὸς [νόμος μεταβάλλει] · κατὰ φύσιν γάρ ἐστιν 75 a 32; τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν ὅπερ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν 03 b 18; τὸ δὲ μετὰ τοῦτο, δεδειγμένων ἤδη, αὔξειν ἐστὶν κατὰ φύσιν ἢ ταπεινοῦν 19 b 20; ἢ δὴ οὕτως ἐκ παραβολῆς ἢ κατὰ φύσιν ὡς ἐλέχθη 20 b 1.

Φωκεῖς (οἱ), les Phocidiens : « εἰ πρὶν βοηθῆσαι εἰς **Φωκεῖς** ἠξίου, ὑπέσχοντο ἄν · ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσεν μὴ διήσουσιν » 98 a 1.

φωνή (ἡ), voix, son : τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν 04 a 22; καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν · ἡ μὲν γὰρ τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀλλότριαι 04 b 22; ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ᾖ σημεῖα **φωνῆς**, οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν, ὅτι ἄμφω φωναί · φαύλη δὲ ἡ μεταφορὰ ταῖς ἀσήμοις φωναῖς 05 a 32-33-34; ἀλλ' ὅπου μάλιστα

ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι · τοῦτο δὲ ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης 14 a 17 ; ἔστιν δὲ αὐτὴ μὲν [sc. ἡ ὑπόκρισις] ἐν τῇ **φωνῇ**, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ μέσῃ, καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστα 03 b 27 ; τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον, ἀπὸ καλῶν ἢ τῇ φωνῇ ἢ τῇ δυνάμει ἢ τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει 05 b 17 ; λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ καὶ τοῖς ἁρμόττουσιν 08 b 7 ; **φωναί** 05 a 33 (*supra*) ; ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ **φωναῖς** καὶ ἐσθῆσι καὶ ὅλως ἐν ὑποκρίσει ἐλεεινοτέρους εἶναι 86 a 32 ; ἀσήμοις φωναῖς (sons sans signification, syllabes détachées) 05 a 34 (*supra*).

φώς (ὁ), mortel : « Ζεὺς γάρ οἱ νεμέσασχ', ὅτ' ἀμείνονι **φωτὶ** μάχοιτο » 87 a 34 (= *Iliade*, XI, 543).

φῶς (τὸ), lumière : καὶ ὅτι « τὸν νοῦν ὁ Θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ » · ἄμφω γὰρ δηλοῖ τι 11 b 12 (citation d'auteur inconnu).

* * *

Χαβρίας (ὁ), Chabrias : ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν... πάλιν δὲ καὶ **Χαβρίου**, τὸν πράξαντα τοῦ βουλεύσαντος 64 a 21 ; καὶ Λυκολέων ὑπὲρ Χαβρίου · « οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν » 11 b 6.

χαίρειν, se réjouir, éprouver de la joie : δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν · ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ 86 b 28-29 ; ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν 87 a 3 ; φανερὸν δ' ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν 87 b 17 ; καὶ φιλόφιλοι καὶ φιλέταιροι [οἱ νέοι] μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν 89 b 1 ; οὐ γὰρ ἐπὶ τούτῳ **χαίρει**, ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μανθάνειν τι συμβαίνει 71 b 9 ; καὶ ὅλως ὃ οἱ ἐχθροὶ βούλονται ἢ ἐφ' ᾧ **χαίρουσι**, τοὐναντίον τούτου ὠφέλιμον φαίνεται 62 b 34 ; ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσίν τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν, καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν 70 b 17-19-20 ; οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλήτως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν 70 b 32 ; γιγνομένων γὰρ ὧν βούλονται χαίρουσιν πάντες, τῶν ἐναντίων δὲ λυποῦνται 81 a 6 ; δῆλον δὲ καὶ ἐφ' οἷς χαίρουσιν οἱ τοιοῦτοι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες 88 a 25 ; χαίρουσι γὰρ ἐάν τις καθόλου λέγων ἐπιτύχῃ τῶν δοξῶν ἃς ἐκεῖνοι κατὰ μέρος ἔχουσιν 95 b 2 ; χαίρουσι δὲ καθόλου λεγομένου ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσι 95 b 6 ; ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὑτοῖς χαίρουσι προαισθανόμενοι 00 b 35 ; « **χαίρετ'** ἀελλοπόδων θύγατρες ἵππων » 05 b 27 (= Simonide, *fr.* 7 Bergk = *fr.* 10, Page, p. 247) ; καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον παρόντος **χαίρωσιν**, ἀλλὰ καὶ ἀπόντος μεμνημένοις λύπη προσγένηται 70 b 23 ; οὐδεὶς γὰρ φίλοινος μὴ **χαίρων** οἴνῳ 71 a 18 ; οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ **χαίροντες** ἢ φιλοῦντες καὶ μισοῦντες 56 a 16 ; οἷον θαυμάζοντας αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας καὶ **χαίροντας** αὐτοῖς [φιλοῦσιν] 81 b 12.

Χαιρήμων (ὁ), Chérémon : καὶ ὡς Χαιρήμων · « Πενθεὺς ἐσομένης συμφορᾶς

ἐπώνυμος » 00 b 27 (= Chérémon, *Dionysos*, *fr.* 4, Nauck, p. 783 = Snell, p. 218) ; βαστάζονται δὲ οἱ ἀναγνωστικοί, οἷον Χαιρήμων · ἀκριβὴς γὰρ ὥσπερ λογογράφος 13 b 13.

χαλεπαίνειν, se fâcher, s'irriter : ὃ συνέβη ἐπὶ Ἐργοφίλου · μᾶλλον γὰρ **χαλεπαίνοντες** ἢ Καλλισθένει ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ καταγνῶναι θάνατον 80 b 12.

χαλεπός, ή, όν, difficile, malaisé, pénible : ὥστε **χαλεπὸν** ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας 54 b 3 ; τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου 63 a 24 ; περὶ δὲ τῶν ἄλλων οὐ χαλεπὸν ἰδεῖν 66 b 25 ; οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν 67 b 8 ; καὶ οὗ μή ἐστιν ἴασις · χαλεπὸν γὰρ καὶ ἀδύνατον 74 b 32 ; οὔκουν χαλεπὸν οὐδὲ περὶ τούτων εἰπεῖν τὰ ἐνδεχόμενα 76 b 32 ; ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν 89 b 29 ; πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον 94 a 3 ; χαλεπὸν γὰρ συνιδεῖν 10 b 32 ; ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλ' ἐν Λακεδαιμονίοις 15 b 31 ; οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος 19 a 23 ; εἰ περὶ παραδόξου λόγος ἢ περὶ **χαλεποῦ** ἢ περὶ τεθρυλημένου πολλοῖς 15 a 2 ; καὶ Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι **χαλεπόν** 06 b 29 ; ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι [τοῦ Δράκοντος], ἀλλὰ δράκοντος · **χαλεποὶ** γάρ 00 b 24 ; μεγάλη δὲ [χάρις] ἂν ᾖ σφόδρα δεομένῳ, ἢ μεγάλων καὶ **χαλεπῶν**, ἢ ἐν καιροῖς τοιούτοις 85 a 20 ; καὶ ὅλως τὸ **χαλεπώτερον** τοῦ ῥᾴονος · σπανιώτερον γάρ. Ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου · ἔχει γὰρ ὡς βουλόμεθα 64 a 29-30 ; ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον 65 a 19 ; καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου · χαλεπώτερον γάρ 65 a 29 ; καὶ εἰ τὸ χαλεπώτερον δυνατόν, καὶ τὸ ῥᾷον. Καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι · χαλεπώτερον καλὴν οἰκίαν ἢ οἰκίαν εἶναι 92 a 12-14 ; « οὐδὲν γειτονίας χαλεπώτερον » 95 b 9 ; τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως 18 a 22 ; **χαλεπωτέρου** 64 a 30 (*supra*) ; καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν · μεῖζον γὰρ ἡ κτῆσις διὰ τὸ **χαλεπωτέραν** εἶναι 64 a 25. — Opp. ῥᾴδιος.

χαλινός (ὁ), frein, mors : ... « ἐὰν λάβῃ **χαλινὸν** καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια... τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα... » 93 b 16 & 20 (Stésichore).

Χαλκηδόνιοι (οἱ), les Chalcédoniens : οἷον οἱ συλῶντες τοὺς **Χαλκηδονίους** (*var.* Καρχηδονίους) 72 b 28.

χαλκός (ὁ), cuivre, airain : πτώσεις δὲ ταὐτοῦ · « ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν **χαλκοῦ** ; » 10 a 35 ; « ἄνδρ' εἶδον πυρὶ **χαλκὸν** ἐπ' ἀνέρι κολλήσαντα » 05 b 1 (énigme de Cléoboulina).

χαλκοῦς, ῆ, οῦν, d'airain : οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν 05 a 32 ; « ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ ; » 10 a 35 ; καὶ Λυκολέων ὑπὲρ Χαβρίου · « οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν **χαλκῆν** » 11 b 7.

χαμόθεν, à terre, de par terre : ὅ περ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν 95 a 2 ; οἷον τὸ Στησιχόρου, ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται 12 a 24.

Χάρης (ὁ), Charès : οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ **Χάρητος** ὃ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι 76 a 10 ; καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον, ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἄγχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι 11 a 7 ; Ἰσοκράτης... συμβουλεύων κατηγορεῖ, οἷον Λακεδαιμονίων μὲν ἐν τῷ Πανηγυρικῷ, Χάρη-

τος δ' ἐν τῷ συμμαχικῷ 18 a 22 ; καὶ ὡς Ἰφικράτης εἶπεν · « ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν **Χάρητι** πεπραγμένων ἐστίν », μεταφορὰ κατ' ἀναλογίαν, καὶ τὸ « διὰ μέσου » πρὸ ὀμμάτων ποιεῖ 11 b 2.

Χαρίδημος (ὁ), Charidème : « πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στράβακα καὶ **Χαρίδημον**, διὰ τὴν ἐπιείκειαν... » 99 b 3 (= Théodecte, *De la Loi*, *fr.* 2, Sauppe p. 247).

χαρίζεσθαι, être agréable, faire plaisir à : καὶ περὶ μὲν τοῦ χαρίζεσθαι καὶ ἀχαριστεῖν εἴρηται 85 b 11 ; οἱ δὲ κριταὶ **χαρίζονται** οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν 72 a 20 ; καὶ ἃ **χαριοῦνται** τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς 63 a 33 ; καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί 73 a 16 ; διὸ οἱ ἐν πενίᾳ παριστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσιν, διὰ τὸ μέγεθος τῆς δεήσεως καὶ τὸν καιρὸν **κεχαρισμένοι** 85 a 27 ; καὶ [πρᾶοί εἰσι] τοῖς μείζω **κεχαρισμένοις** 80 a 28 ; ἢ φοβερούς ἢ αἰσχύνης ἀξίους ἢ **κεχαρισμένους** ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις 80 b 33.

χάρις (ἡ), grâce, reconnaissance, obligeance ; **χάριν** (acc. postpos.), en faveur de, à cause de : ποιητικὰ δὲ φιλίας χάρις 81 b 35 ; 85 a 17 (*infra*) ; ὥστε ἐπεὶ φανερὸν καὶ οἷς καὶ ἐφ' οἷς γίγνεται χάρις καὶ πῶς ἔχουσι, δῆλον ὅτι ἐκ τούτων παρασκευαστέον 85 a 31 ; ἢ γὰρ ὅτι αὐτῶν ἕνεκα ὑπηρετοῦσιν ἢ ὑπηρέτησαν · τοῦτο δ' οὐκ ἦν χάρις 85 b 2 ; ... ἀμφοτέρως γὰρ τὸ ἀντί τινος, ὥστε οὐδ' οὕτως ἂν εἴη χάρις 85 b 5 ; καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον · ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσόνδε ἢ τοιόνδε ἢ πότε ἢ ποῦ 85 b 6 ; καὶ οὐ **χάριτος**, ἀλλὰ « πανδήμου χάριτος δημιουργός » 06 a 26* (Alcidamas) ; πρὸς **χάριν** ἀκροώμενοι διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ' οὐ κρίνουσιν 54 b 34 ; παραδείγματος χάριν 60 b 7 ; 66 a 32 ; οὐδὲν μέλει τῆς τούτων τιμῆς ἢ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν 71 a 16 ; οἷον τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ 74 a 23 ; καὶ [ὀργίζονται] τοῖς χάριν μὴ ἀποδιδοῦσιν 79 b 29 ; περὶ ἀδοξίας... καὶ ταύτης αὐτῆς χάριν 84 a 23 ; τίσιν δὲ χάριν ἔχουσι καὶ ἐπὶ τίσιν καὶ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις τὴν χάριν δῆλον ἔσται. Ἔστω δὴ χάρις, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ἔχειν, ὑπουργία δεομένῳ μὴ ἀντί τινος, μηδ' ἵνα τι αὐτῷ ὑπουργοῦντι, ἀλλ' ἵνα τι ἐκείνῳ 85 a 16-17*-18 ; φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν καὶ ποιεῖν ἀχαρίστους 85 a 35 ; « προσῆκον εἶναι τῷδ' ὀφείλεσθαι χάριν » 97 a 16 (*fr. tragic. anon.*) ; τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν 15 b 39.

Χάρων (ὁ), Charon : καὶ ὡς Ἀρχίλοχος ψέγει · ποιεῖ γὰρ τὸν πατέρα... καὶ τὸν **Χάρωνα** τὸν τέκτονα, ἐν τῷ ἰάμβῳ... 18 b 30.

χειμών (ὁ), tempête, gros temps : ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι **χειμῶνος** θαρροῦσι τὰ μέλλοντα 83 a 30.

χείρ (ἡ), main : ὥστε κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν **χεῖρα** ἢ πατάξῃ 74 a 35 ; ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ 15 a 14 ; οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ **χειρῶν** ἀδίκων 02 a 3 ; οἱ δὲ τῶν ῥητόρων [λόγοι], εὖ λεχθέντες, ἰδιωτικοὶ ἐν ταῖς **χερσίν** 13 b 16 ; « ὣς ἄρ' ἔφη · γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα » 17 b 5 (= *Odyssée*, XIX, 361) ; καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης, ὅτι διασίζων, τοῖν **χεροῖν** διασείων 17 b 2.

χειροῦσθαι, mettre la main sur, s'emparer de : ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι καὶ μὴ ἐᾶν Αἴγυπτον **χειρώσασθαι** 93 a 33.

χείρων, ων, ον, plus mauvais, pire, plus fâcheux : ὁ δὲ ἀποτρέπων ὡς **χεῖρον** ἀποτρέπει 58 b 24 ; ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα 89 b 21 ; ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον 90 a 5 ; τῷ μὲν διαβάλλοντι κακοηθιστέον ἐπὶ τὸ χεῖρον ἐκλαμβάνοντι 16 b 11 ; ἐπεὶ δ' οἱ πολ-

λοὶ **χείρους** καὶ ἧττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι 82 b 4 ; διὸ τὰ ἀκριβῆ περίεργα καὶ **χείρω** φαίνεται ἐν ἀμφοτέροις 14 a 10 ; ἐάν τε ψέγειν [βούλῃ], ἀπὸ τῶν **χειρόνων** [φέρειν τὴν μεταφοράν] 05 a 16 ; καὶ εἰ τοῖς **χείροσι** καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον 92 b 10.

χελιδών (ἡ), hirondelle : τὸ δὲ Γοργίου εἰς τὴν **χελιδόνα**, ἐπεὶ κατ' αὐτοῦ πετομένη ἀφῆκε τὸ περίττωμα, ἄριστα τῶν τραγικῶν · εἶπε γὰρ « αἰσχρόν γε, ὦ Φιλομήλα », ὄρνιθι μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν 06 b 15.

χθών (ἡ), terre, pays : « Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας **χθονός**... » 09 b 10 (= Euripide, *Méléagre*, *fr.* 515, Nauck p. 525 : vers cité par Aristote sous le nom de Sophocle).

Χίλων (ὁ), Chilon : καὶ Λακεδαιμόνιοι **Χίλωνα** καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες 98 b 14.

Χιλώνειον (τὸ), le précepte de Chilon (sc. « μηδὲν ἄγαν ») : καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσιν [οἱ νέοι] παρὰ τὸ **Χιλώνειον** · πάντα γὰρ ἄγαν πράττουσιν 89 b 3.

χίμεθλον (τὸ), engelure : « ἔστειχε δ' ἔχων ὑπὸ ποσσὶ **χίμεθλα** » · ὁ δ' ᾤετο πέδιλα ἐρεῖν 12 a 31 (parodie de vers épique).

Χῖος (ὁ), habitant de Chio, Chiote : ὃ ἔσκωψεν Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην 09 b 26 ; καὶ **Χῖοι** Ὅμηρον [τετιμήκασιν] οὐκ ὄντα πολίτην 98 b 12.

χιτών (ὁ), semelle de soulier : εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι 92 a 30 ; ... καὶ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτών 92 a 31 *var.*

χλευάζειν, railler, se moquer de : ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ **χλευάζουσιν** καὶ σκώπτουσιν · ὑβρίζουσι γὰρ 79 a 32.

χλευαστής (ὁ), railleur, moqueur : καὶ [πρᾶοί εἰσι] τοῖς μὴ ὑβρισταῖς, μηδὲ **χλευασταῖς** μηδ' ὀλιγώροις εἰς μηδένα 80 a 29 ; καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς · κακολόγοι γάρ πως οὗτοι καὶ ἐξαγγελτικοί 84 b 10.

χλωρός, ά, όν, vert, frais, neuf : οἷον Γοργίας « **χλωρὰ** καὶ ἔναιμα τὰ πράγματα » ... ποιητικῶς γὰρ ἄγαν 06 b 9.

Χοιρίλος (ὁ), Choerilos : οἷον Χοιρίλος · « Νῦν δ' ὅτε πάντα δέδασται... » 15 a 3 (= Choerilos de Samos, *Perséide*, *fr.* 1 Kinkel).

χρᾶσθαι, consulter l'oracle : **κεχρημένος** 98 b 34 : voir χρῆσθαι.

χρεία (ἡ), usage, emploi, service, relations : ὥστε ἀκύρων γιγνομένων [τῶν συνθηκῶν] ἀναιρεῖται ἡ πρὸς ἀλλήλους χρεία τῶν ἀνθρώπων 76 b 13 ; ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ σώματος **χρείας** 55 b 2 ; καὶ τὰ ἐν **χρείᾳ** μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις 65 a 33 ; τοὺς δὲ ὑπηρετηκότας ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ἢ ὑπηρετοῦντας 85 a 33 ; ἢ ὧν δέονταί τινα **χρείαν** ὧν μὴ τεύξονται ἄδοξοι ὄντες 84 b 31 ; κυριώτερα γάρ ἐστιν πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων 93 a 18.

χρήματα (τὰ), biens, richesses, argent : ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή 60 b 28 ; καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον... οἱ φιλοχρήματοι εἰ χρήματα 63 b 2 ; ἐλευθεριότης δὲ περὶ χρήματα εὐποιητική, ἀνελευθερία δὲ τοὐναντίον 66 b 16 ; καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα 66 b 35 ; καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα 68 b 16 ; καὶ οἷς τοὐναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα... αἱ δὲ ζημίαι εἰς χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν τι 72 b 6 ; ἔτι [φιλοῦσι] τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς

σωτηρίαν 81 a 20 ; καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν 83 b 25 ; « οἱ μὲν γὰρ χρήματα λαβόντες ταῦτα ἔπραξαν, ἐγὼ δὲ οὔ, ἀλλὰ γνώμῃ » 19 a 34 ; εἶτα ἡ ἐλευθεριότης · προΐενται γὰρ καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν **χρημάτων**, ὧν μάλιστα ἐφίενται ἄλλοι 66 b 8 ; ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων 69 a 12 ; οὐ λαμβάνει δ', ὅτι ἀντὶ χρημάτων ὅρκος, καὶ ὅτι εἰ ἦν φαῦλος, κατωμόσατο ἄν 77 a 15 ; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων κ. τ. α. 83 b 1 ; « ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης » 94 b 6 (= Euripide, *Hécube*, 866) ; καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων, ἀλλὰ λόγου εἰσὶν ἄξιοι 01 a 23 ; « ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι βουλομένοις » 10 a 6 (= Isocrate, *Panég.*, § 41) ; « χρημάτων δ' ἄελπτον οὐθέν ἐστιν οὐδ' ἀπώμοτον » 18 b 29 (= Archiloque, *fr.* 74 Bergk, 82 Lasserre) ; ἐν ᾧ ἂν ταῦτα ὑπερέχῃ πολύ, οἷον ἐν **χρήμασιν** ὁ πλούσιος πένητος καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν 79 a 1 ; ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν 98 a 7.

χρηματίζειν, s'occuper d'affaires, négocier, délibérer : καθ' ἕκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν 59 b 3.

χρῆναι, falloir ; **χρή**, il faut : « ἐγὼ μὲν οὖν, ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ, οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι παιδεύεσθαι » 94 b 32 ; « **χρὴ** δ' οὔ ποθ' ὅς τις ἀρτίφρων πέφυκ' ἀνὴρ » 94 a 29 (= Euripide, *Médée*, 294) ; 94 b 19 (*id.*) ; « θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν » 94 b 26 (= Épicharme, *fr.* B 20, D-K, I, p. 201) ; « νομίζειν χρή σε καὶ τοὐναντίον » 97 a 18 (= Euripide, *Thyeste*, *fr.* 396, Nauck p. 481) ; « ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν » 97 b 6 (= Théodecte, *Alcméon*, *fr.* 2, Nauck p. 801) ; « μέλλετε δὲ κρίνειν οὐ περὶ Ἰσοκράτους, ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν » 99 b 11 (= Isocrate, *Sur l'Échange*, § 176) ; τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου 03 b 8 ; ἠθικὴν δὲ χρὴ τὴν διήγησιν εἶναι 17 a 16 ; ἀποδεικνύναι δὲ χρή, ... περὶ τοῦ ἀμφισβητουμένου φέροντα τὴν ἀπόδειξιν 17 b 22 ; ἕτερον χρὴ λέγοντα ποιεῖν 18 b 26 ; « χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας » 18 b 34. — Voir δεῖ.

χρῆσθαι, utiliser, se servir, avoir recours à : ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν 54 a 26 ; ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι 61 a 23 ; καὶ ὅτι τὸ « γνώμῃ τῇ ἀρίστῃ » τοῦτ' ἐστὶν τὸ μὴ παντελῶς χρῆσθαι τοῖς γεγραμμένοις [νόμοις] 75 a 30 ; καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις ἢ τοῖς γεγραμμένοις χρῆσθαι καὶ ἐμμένειν 75 b 8 ; καὶ ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι 75 b 13 ; καὶ ὅτι οὐδὲν διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαι 75 b 20 ; τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τὰ ἐναντία 91 b 13 ; δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐκ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν, ... ἔχοντα δὲ ὡς μαρτυρίοις, ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασιν 94 a 9 & 11 ; περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις 94 a 21 ; ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ συμπεράσματι 94 b 30 ; χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ κοιναῖς γνώμαις, ἐὰν ὦσι χρήσιμοι 95 a 10 ; διὸ δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει 97 b 1 ; καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπ' ἀμφοῖν χρῆσθαι 99 a 21 ; πῶς αὐτῇ [sc. τῇ φωνῇ] δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος 03 b 27 ; τὸ χρῆσθαι γλώτταις 06 a 7 ; ἐν τοῖς ἐπιθέτοις τὸ ἢ μακροῖς ἢ ἀκαίροις ἢ πυκνοῖς χρῆσθαι 06 a 11 ; ἐπεὶ δεῖ γε

χρῆσθαι αὐτοῖς 06 a 14 ; εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται... τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος 07 b 27 ; τὸ δ' εὐκαίρως ἢ μὴ εὐκαίρως χρῆσθαι κοινὸν ἁπάντων τῶν εἰδῶν ἐστιν 08 b 1 ; « ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας » 10 a 15 (= Isocrate, *Panég.*, § 181) ; ἴσασι γὰρ πάντες τὰς πράξεις, ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ 16 b 28 ; οὐ γὰρ ὡς ἡδύσματι **χρῆται** [ὁ 'Αλκιδάμας], ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις οὕτω πυκνοῖς καὶ μείζοσι καὶ ἐπὶ δήλοις 06 a 19 ; οἱ δὲ καὶ **χρῶνται** καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν 54 a 22 ; διὰ γὰρ τοῦτο καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες 77 b 9 ; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες κ. τ. α. 91 b 31 ; τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι 03 a 27 ; οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον 04 a 30 ; διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ 04 a 36 ; σημεῖον δ' ὅτι τούτοις μόνοις πάντες χρῶνται 04 b 34 ; οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος 06 a 35 ; ἡ μεταφορὰ δὲ τοῖς ἰαμβείοις [χρησίμη], τούτοις γὰρ νῦν χρῶνται 06 b 4 ; χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς 06 b 7 ; πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι 08 a 33 ; νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι καὶ ἀρχόμενοι ⟨καὶ τελευτῶντες⟩ 09 a 10 ; ἔστιν δὲ παιᾶνος δύο εἴδη ἀντικείμενα ἀλλήλοις, ὧν τὸ μὲν ἓν ἀρχῇ ἁρμόττει, ὥσπερ καὶ χρῶνται 09 a 13 ; ταύτῃ γὰρ [sc. τῇ εἰρομένῃ λέξει] πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται 09 a 30 ; χρῶνται δὲ μάλιστα τούτῳ 'Αττικοὶ ῥήτορες 13 b 1 ; οἷον τά τε ἀσύνδετα καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν... καὶ οἱ ῥήτορες χρῶνται 13 b 21 ; τὰ δὲ ἄλλα εἴδη οἷς χρῶνται, ἰατρεύματα καὶ κοινά 15 a 25 ; εἰ δ' ὅτι μεγάλα βλάψειεν ἂν ὁ **χρώμενος** ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων 55 b 3 ; τούτοις γὰρ ἄν τις ὠφελήσειεν τὰ μέγιστα χρώμενος δικαίως καὶ βλάψειεν ἀδίκως 55 b 7 ; ἔστι δ' ἐάν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ 91 b 9 ; ἄλλου **χρωμένου** μὴ δικαίως [τοῖς λόγοις] 55 a 32 ; **χρώμενον** 94 a 11 (*supra*) ; οὐκ ἄδηλον πῶς **χρώμενοι** τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ καὶ οἱ λόγοι 90 a 26 ; ὑγίεια... οὕτως ὥστε ἀνόσους εἶναι **χρωμένοις** τοῖς σώμασιν 61 b 4 ; λείπεται δὲ παιάν, ᾧ **ἐχρῶντο** μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι 09 a 2 ; ὥστε δεῖ τούτων τοῖς μὲν **χρήσασθαι**, τὰ δὲ εὑρεῖν 55 b 39 ; ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι 08 b 5 ; καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις **ἐχρήσατο** 75 b 32 ; οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος ὃ Πλάτων εἶπε πρὸς 'Αρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι 76 a 10 ; ᾧ ἐχρήσατο 'Ιφικράτης πρὸς 'Αριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν 98 a 5 ; οἷον 'Αθηναῖοι 'Ομήρῳ μάρτυρι **ἐχρήσαντο** περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς 75 b 30 ; ὅτι 'Αθηναῖοι τοῖς Σόλωνος νόμοις **χρησάμενοι** εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς Λυκούργου 98 b 17 ; καὶ ὡς **κέχρηται** πολλαχοῦ Ὅμηρος, τὸ τὰ ἄψυχα ἔμψυχα ποιεῖν διὰ τῆς μεταφορᾶς 11 b 32 ; οἷον εἴ τις γείτοσι τύχοι **κεχρημένος** ἢ τέκνοις φαύλοις 95 b 7 ; καὶ 'Ηγησίπολις ἐν Δελφοῖς ἠρώτα τὸν θεόν, πρότερον κεχρημένος 'Ολυμπίασιν, εἰ αὐτῷ τὰ αὐτὰ δοκεῖ ἅ περ τῷ πατρί 98 b 34.

χρήσιμος, ος, ον, utile, avantageux, profitable : μάρτυς γὰρ χρηστὸς καὶ εἰς χρήσιμος 94 a 16 ; **χρήσιμος** δέ ἐστιν ἡ 'Ρητορική 55 a 21 ; καὶ ὅτι χρήσιμος [ἡ 'Ρητορική], φανερὸν 55 b 9 ; ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἢ περὶ τούτων εἰς τὰ νῦν 61 b 34 ; ἡ δὲ [δικαιοσύνη] καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ χρήσιμος ἄλλοις 66 b 7 ; **χρήσιμον** δὲ πρὸς τὰς νομοθεσίας 60 a 30 ; τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα 61 b 8 ; χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα 67 b 23 ; ὁποτέρως ἂν ᾖ χρήσιμον 76 b 28 ;

08 a 5 ; τὸ γὰρ δεινὸν... πολλάκις τῷ ἐναντίῳ χρήσιμον 86 a 24 ; ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον 99 b 14 ; χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν 01 a 9 ; χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ 06 b 24 ; καὶ τὸ 'Αντιμάχου χρήσιμον 08 a 1 ; ὥστε φανερὸν ὅτι οὐδέποτ' ἔστιν ἀπορῆσαι μαρτυρίας **χρησίμης** 76 a 26 ; πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι **χρήσιμοι** 60 a 34 ; χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν 76 a 8 ; καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις 77 b 18 ; ἐὰν ὦσι χρήσιμοι [αἱ γνῶμαι] 95 a 11 ; τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι, ... τῷ ποιητῇ δὲ συνωνυμίαι 04 b 38 ; ταῦτα δὲ πάντα ⟨οἰκεῖα⟩ καὶ ἀσφαλῆ καὶ ἐλευθέρια καὶ **χρήσιμα**. Ἔστιν δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν 61 a 16* ; καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις 65 a 34 ; ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα 87 a 5 ; τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν 04 b 32 ; περὶ ἕκαστον τῶν εἰδῶν τῶν **χρησίμων** καὶ ἀναγκαίων 96 b 28 ; πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα **χρησίμους** 60 a 17 ; καὶ τὸ πρὸς πολλὰ **χρησιμώτερον**, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν 65 b 8 ; τὸ μὲν οὖν ποιόν τινα φαίνεσθαι τὸν λέγοντα χρησιμώτερον εἰς τὰς συμβουλάς ἐστιν 77 b 29 ; ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν 01 a 27 ; ῥᾴω μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων, **χρησιμώτερα** δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων 94 a 6 ; διὸ **χρησιμωτάτη** ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς, ... αἱ δὲ γλῶτται τοῖς ἐποποιοῖς, ... ἡ μεταφορὰ δὲ τοῖς ἰαμβείοις 06 b 1 ; τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν **χρησιμωτάτων**, οἷον ἰσχύος, ὑγιείας, πλούτου, στρατηγίας 55 b 5 ; ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις **χρησιμωτάτας** 66 b 4.

χρῆσις (ἡ), usage, utilisation, emploi : καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιούτων καὶ ἡ χρῆσις πλοῦτος 61 a 24 ; ἐνυπάρχει γὰρ ἡ χρῆσις ἡ τοῦ ἑπομένου ἐν τῇ θατέρου 63 b 29 ; ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει 64 a 26 ; ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ, τῶν δὲ τῇ βουλήσει 64 b 32 ; περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους 76 a 33 ; ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστίν 91 b 7 ; ἀπολαυστικὰ δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν **χρῆσιν** γίγνεται, ὅ τι καὶ ἄξιον 61 a 19 ; οὕτω κεκτῆσθαι ὥστ' ἐφ' αὐτῷ εἶναι τὴν χρῆσιν αὐτῶν 61 a 21 ; ταύτην τε δὴ ἔχει μίαν χρῆσιν τὸ γνωμολογεῖν, καὶ ἑτέραν κρείττω · ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους 95 b 12 ; περὶ δὲ τῶν γελοίων, ἐπειδή τινα δοκεῖ χρῆσιν ἔχειν ἐν τοῖς ἀγῶσι 19 b 3.

χρησμολόγος (ὁ), interprète d'oracles : περὶ μὲν οὖν τῶν γενομένων οἱ τοιοῦτοι μάρτυρες, περὶ δὲ τῶν ἐσομένων καὶ οἱ **χρησμολόγοι**, οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων 76 a 1 ; ... καὶ τὸ ὅτι ἔσται ἢ τὸ πότε, διὸ οἱ χρησμολόγοι οὐ προσορίζονται τὸ πότε 07 b 4.

χρηστέον, il faut avoir recours à, on doit utiliser : καὶ πῶς ἑκατέρῳ χρηστέον 56 b 26 ; χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς 68 a 10 ; περὶ νόμων εἴπωμεν πῶς χρηστέον 75 a 26 ; ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος... τῷ κοινῷ χρηστέον 75 a 28 ; καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον εἴρηται 94 a 18 ; καὶ πῶς χρηστέον αὐτῇ [sc. τῇ γνώμῃ]... εἰρήσθω ταῦτα 95 b 19 ; καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν 98 b 10 ; γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον 04 b 30 ; διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ 15 a 25 ; 17 b 30 *var.* ; γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν πίστει · ἠθικὸν γάρ 18 a 17.

χρηστοήθης, ης, ες, d'un caractère bon et honnête : ἂν χρησταὶ ὦσιν αἱ γνῶμαι, καὶ **χρηστοήθη** φαίνεσθαι ποιοῦσι τὸν λέγοντα 95 b 16.

χρηστός, ή, όν, de bonne qualité, honnête, honorable : οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός 86 b 27 ; μάρτυς γὰρ χρηστὸς καὶ εἷς χρήσιμος 94 a 15 ; καὶ ἄμφω τὰ πάθη ἤθους **χρηστοῦ** 86 b 12 ; οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον **χρηστὸν** ἢ τὸν ἀνάλγητον πρᾶον 67 a 35 ; καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι ἢ τὸν λόγον ἀκριβῆ 18 a 40 ; εὐθὺς γὰρ ἴσως τῷ μὲν σώφρονι διὰ τὸ σώφρονα εἶναι δόξαι τε καὶ ἐπιθυμίαι **χρησταὶ** ἐπακολουθοῦσι περὶ τῶν ἡδέων 69 a 22 ; ἂν χρησταὶ ὦσιν αἱ γνῶμαι 95 b 16 ; ἀλλ' οἱ μὲν διὰ ἤθη καὶ πάθη **χρηστά**, οἱ δὲ διὰ τἀναντία 69 a 19 ; καὶ [πρᾶοί εἰσιν] τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις εἰς μηδένα ἢ μὴ εἰς **χρηστοὺς** μηδ' εἰς τοιούτους οἷοί περ αὐτοί 80 a 30 ; καὶ ἐλεητικοὶ [οἱ νέοι] διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν 89 b 8.

χρηστοφιλία (ἡ), excellence des amis, amitié pour les gens de bien : πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου ὡρισμένου 61 b 35 ; ἀνάγκη αὐτῆς [sc. τῆς εὐδαιμονίας] εἶναι μέρη εὐγένειαν, πολυφιλίαν, **χρηστοφιλίαν**, πλοῦτον κ. τ. α. 60 b 20.

χρηστόφιλος, ος, ον, qui a des amis excellents, qui aime les gens de bien : ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος 61 b 38.

χρονίζειν, durer longtemps, prolonger : ἔτι [πρᾶοί εἰσιν] **κεχρονικότες** καὶ μὴ ὑπόγυιοι τῇ ὀργῇ ὄντες · παύει γὰρ ὀργὴν ὁ χρόνος 80 b 5. — Voir ἐγχρονίζειν.

χρόνιος, ος ou **α, ον**, d'un temps ancien ou long, tardif, qui prend du temps : καὶ οἷς, ἐὰν γένηται ζημία, ἔστιν δίωσις τῆς ἐκτίσεως ἢ ἀναβολὴ **χρόνιος** 72 a 35 ; τὸ δὲ ἡδὺ καὶ ὠφέλιμον ὕστερα καὶ **χρονιώτερα** 72 b 15.

χρόνος (ὁ), temps, durée, intervalle de temps : παύει γὰρ ὀργὴν ὁ χρόνος 80 b 6 ; ἔπειθ' αἱ μὲν νομοθεσίαι ἐκ πολλοῦ **χρόνου** σκεψαμένων γίνονται, αἱ δὲ κρίσεις ἐξ ὑπογυίου 54 b 2 ; ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπης ἢ ἐν ὀλίγῳ χρόνῳ · τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου 63 a 23-24 ; διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστίν, καὶ ἄνθρωποι καὶ πράγματα · μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν, ἅμα δὲ καὶ σπάνιον τὸ διὰ χρόνου 71 a 29-31 ; καὶ ὅσοις μὴ λανθάνουσιν ἔστιν δίωσις δίκης ἢ ἀναβολὴ χρόνου ἢ διαφθοραὶ κριτῶν 72 a 34 ; ἐγγίνονται διά τινος χρόνου ἄνδρες περιττοί, κἄπειτα πάλιν ἀναδίδωσιν 90 b 26 ; **χρόνῳ** 63 a 23 (*supra*) ; ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ, τῶν δὲ τῇ βουλήσει 64 b 32 ; καὶ τὸ μὲν ἰατὸν χρόνῳ, τὸ δ' ἀνίατον 82 a 8 ; τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ ⟨καὶ γένει⟩ φθονοῦσιν 88 a 6 ; ἐνδέχεται δὲ εἶναι τοιαύτην [sc. τὴν ἔνστασιν] διχῶς, ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, κυριώτατα δέ, εἰ ἀμφοῖν 02 b 37 ; ἔτι ἔχει ἴδιόν τι τὰ ἀσύνδετα · ἐν ἴσῳ γὰρ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι 13 b 32 ; πολὺν **χρόνον** κακοπαθεῖν 93 b 25 ; ἄλλος [τόπος] ἐκ τοῦ τὸν χρόνον σκοπεῖν 97 b 34 ; **χρόνοι** δὲ ἑκάστου τούτων εἰσὶ τῷ μὲν συμβουλεύοντι ὁ μέλλων, ... τῷ δὲ δικαζομένῳ ὁ γενόμενος, ... τῷ δ' ἐπιδεικτικῷ κυριώτατος μὲν ὁ παρὼν 58 b 13 ; καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα 65 a 20 ; διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε 79 a 28 ; καὶ τὰ ἐκ τῶν **χρόνων** καὶ τῶν καιρῶν · ταῦτα δὲ παρὰ τὸ προσῆκον 68 a 12 ; ἄλλος [τόπος]... τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, εἴ τι ἀνομολογούμενον ἐκ τόπων καὶ χρόνων καὶ πράξεων καὶ λόγων 00 a 17.

χρονοτριβεῖν, faire traîner en longueur, tuer le temps : οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ « χρονοτριβεῖν » 06 a 36.

χρύσειος, α, ον, d'or, brillant comme l'or : « οὐδ' εἰ **χρυσείῃ** Ἀφροδίτῃ κάλλος ἐρίζοι » 13 a 34 (= *Iliade*, IX, 389).

χρυσεοκόμης (ὁ), aux cheveux d'or : « **χρυσεοκόμα** Ἕκατε παῖ Διός... » 09 a 15 (= Simonide, *fr.* 26 b Bergk = *Anonyme*, Diehl II, p. 303).

χρυσιδάριον (τὸ), très petite quantité d'or, & **χρυσίον** (τὸ), petit morceau d'or : ὥσπερ καὶ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν **χρυσίου** χρυσιδάριον 05 b 31.

χρυσός (ὁ), or : καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν 64 a 24.

χρῶμα (τὸ), couleur : οἷον ψόφῳ καὶ **χρώματι** τὸ μὲν ἰδὼν οὐ κοινόν, τὸ δ' αἰσθόμενος κοινόν 07 b 20 ; ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ **χρώμασιν** ἢ κράσεσιν 73 a 30.

χρώς (ὁ), chair : « ἐν γαίῃ ἵσταντο λιλαιόμενα **χροὸς** ἆσαι » 12 a 2 (= *Iliade*, XI, 574 & XV, 317).

χύδην, confusément, sans ordre, « en prose » : διὸ καὶ τὰ μέτρα πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην 09 b 7.

χώρα (ἡ), place, pays, territoire : ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος 01 a 7 ; ἔτι δὲ περὶ φυλακῆς τῆς **χώρας** 59 b 22 ; ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται... τοῦτο δ' ἀδύνατον μὴ ἔμπειρον ὄντα τῆς χώρας 60 a 6 & 9 ; ταῦτα δέ ἐστι πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν 83 b 2 ; δεῖ οὖν **χώραν** ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ 18 b 16 ; φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ἐν τοῖς κατὰ τὰς **χώρας** γιγνομένοις 90 b 25.

χωρίον (τὸ), place, terrain : πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, **χωρίων** κτῆσις πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ἔτι δὲ ἐπίπλων κτῆσις, κ. τ. α. 61 a 12.

χωρίς, séparément, à part : περὶ τούτων χωρὶς λαμβάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις 58 a 34 ; χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος 61 b 32 ; περὶ ἑκάστης δὲ καὶ τίς καὶ ποία χωρὶς ῥητέον 62 b 5 ; καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς 66 a 29 ; διώρισται δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ Ποιητικῆς 72 a 2 ; « χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας » 94 a 33 (= Euripide, *Médée*, 296) ; διὸ δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι 97 a 30 ; χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος, ... χωρὶς δ' ἐπ' αὐτοῦ, ... χωρὶς δ' ἐπ' αὐτοῦ καὶ τοῦ ἀμφισβητοῦντος 00 a 18, 19 & 21 ; ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν 12 b 27 ; καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου 20 b 2. — Voir ἄνευ.

* * *

ψακάζειν, mouiller, détremper : καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, λύχνῳ **ψακαζομένῳ** μύωπα · ἄμφω γὰρ συνάγεται 13 a 4.

ψάμαθος (ἡ), sable : « οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε » 13 a 32 (= *Iliade*, IX, 385).

ψέγειν, blâmer, censurer : καὶ πρὸς ποῖα δεῖ βλέποντας ἐπαινεῖν καὶ ψέγειν 68 a 35 ; ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν

καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι 77 b 17 ; ἄλλος [τόπος]... ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν 99 a 14 ; καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφοράν, ἐάν τε ψέγειν, ἀπὸ τῶν χειρόνων 05 a 16 ; οὕτω τὸ ἐπαινεῖν καὶ ψέγειν καὶ ἐπιχαλκεύειν 19 b 15 ; Ἰσοκράτης δὲ **ψέγει** ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν 14 b 33 (= Isocrate, *Panég.* § 1 ss.) ; ἕτερον χρὴ λέγοντα ποιεῖν... καὶ ὡς Ἀρχίλοχος ψέγει 18 b 27 ; κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ **ψέγουσι** πάντες 58 b 18 ; ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι καὶ οὓς οἱ ἐχθροὶ μὴ ψέγουσιν 63 a 14* ; ὁμοίως δὲ καὶ ψέγουσιν ἐκ τῶν ἐναντίων 96 a 16 ; οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι καὶ **ψέγοντι** 66 a 24 ; καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ καὶ ἐπαινοῦντα καὶ **ψέγοντα** καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον ὑπὲρ αὐτοῦ τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον, ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες εἴ τι καλὸν ἢ αἰσχρὸν ὑπάρχει 96 a 26-28 ; ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ **ψέγοντες** οὐ σκοποῦσιν εἰ συμφέροντα ἔπραξεν ἢ βλαβερά 58 b 38 ; ἔτι δὲ ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι 59 a 17 ; χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι 91 b 32 ; 96 a 28 (*supra*) ; τοῖς δ' ἐπαινοῦσιν καὶ **ψέγουσιν** τὸ καλὸν καὶ τὸ αἰσχρόν 58 b 28 ; ἄλλος [τόπος] τῷ διαβάλλοντι, τὸ ἐπαινοῦντα μικρὸν μακρῶς **ψέξαι** μέγα συντόμως, ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρειν ἓν ψέξαι 16 b 5-7. — Opp. ἐπαινεῖν.

ψεύδεσθαι, mentir, témoigner faussement : καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι ψεύδεσθαι 76 a 13 ; δεῖ δὲ καὶ ὁρᾶν εἴ τι **ψεύδεται** ἐκτὸς τοῦ πράγματος · τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων ὅτι ψεύδεται 17 b 37-18 a 1. — Opp. ἀληθεύειν. — Voir διαψεύδεσθαι.

ψευδηγορεῖν, dire des mensonges : « ἀλλ' εἴ περ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν » 97 a 17 (= Euripide, *Thyeste*, *fr.* 396, Nauck p. 481).

ψευδής, ής, ές, menteur, trompeur, faux : πέφυκε γάρ, μετὰ τὸ ἀποδεῖξαι αὐτὸν μὲν ἀληθῆ, τὸν δὲ ἐναντίον **ψευδῆ**, οὕτω τὸ ἐπαινεῖν καὶ ψέγειν καὶ ἐπιχαλκεύειν 19 b 15 ; εἰσὶν δὲ καὶ **ψευδεῖς** ἀντιθέσεις, οἷον καὶ Ἐπίχαρμος ἐποίει · « τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών » 10 b 4 ; οὐδὲν γὰρ ἧττον ἀναγκαζόμενοι τὰ ψευδῆ λέγουσιν ἢ τἀληθῆ 77 a 3. — Opp. ἀληθής.

ψευδολογεῖν, dire des mensonges : « ἀλλ' εἴ περ ἔστιν ἐν βροτοῖς ψευδολογεῖν » 97 a 17 *var.* (= Euripide, *Thyeste*, *fr.* 396, Nauck p. 481).

ψευδομαρτυρεῖν, rendre un faux témoignage : καὶ τὸ ἐνταῦθα οὐ κολάζονται οἱ ἀδικοῦντες, ὅπερ ποιοῦσιν οἱ **ψευδομαρτυροῦντες** 75 a 12.

ψευδομαρτυρία (ἡ), faux témoignage : καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ, καὶ ὅτι οὐχ ἁλίσκεται τὰ εἰκότα **ψευδομαρτυριῶν** 76 a 21.

ψευδομάρτυς (ὁ), faux témoin : ὅπερ ποιοῦσιν οἱ **ψευδομάρτυρες** 75 a 12 *var.*

ψεῦδος (τὸ), mensonge, fausseté : ἔστι δὲ παθητικὴ μὲν [γνώμη] οἷον εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι ὡς δεῖ γιγνώσκειν αὐτόν 95 a 24 ; ἔστιν δὲ τοῦτο ψεῦδος · πολλάκις γὰρ ὕστερον γίγνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον 00 b 3 ; τὸ Πρωταγόρου ἐπάγγελμα · ψεῦδός τε γάρ ἐστιν, καὶ οὐκ ἀληθές, ἀλλὰ φαινόμενον εἰκός 02 a 26 ; δόξαν τινὰ [sc. τὴν ἔνστασιν] ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν 03 a 30 ; οὐ γὰρ ὡς ἔφη Βρύσων οὐθένα αἰσχρολογεῖν... τοῦτο γάρ ἐστι ψεῦδος 05 b 10. — Opp. ἀλήθεια.

ψηφίζεσθαι, voter : εἶπεν ὅτι εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς μικροὺς τῶν ἀνδρῶν παῖδας εἶναι **ψηφιοῦνται** 99 b 1 ; ὡς ὁρῶντας καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν **ψηφίσωνραι** 84 b 35.

ψήφισμα (τὸ), décret : καὶ [Κηφισόδοτος] παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισομένους ἔφη δεῖν ἐξιέναι τὸ Μιλτιάδου ψήφισμα 11 a 11 (proverbe?).

ψιλός, ή, όν, simple, dégarni ; **ψιλὸς λόγος**, prose : τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόνα χρήσιμα πρὸς τὴν τῶν **ψιλῶν** λόγων λέξιν 04 b 33 ; ἐν δὲ τοῖς **ψιλοῖς** λόγοις πολλῷ ἐλάττοσιν (opp. τὰ μέτρα) 04 b 14.

ψόγος (ὁ), blâme, reproche : ἐπιδεικτικοῦ δὲ τὸ μὲν ἔπαινος, τὸ δὲ ψόγος 58 b 13 ; ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστίν 68 a 37 ; λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ **ψόγου** 14 b 31 ; τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς, ἐκ τῶν πρὸς τὸν ἀκροατήν 15 a 6 ; ὅτι καὶ αἱ πόλεις τῷ **ψόγῳ** τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν 11 b 19 ; ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς **ψόγον** 67 a 34 ; ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ **ψόγοι** λέγονται σχεδὸν πάντες 68 a 34 ; καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ **ψόγοις** ἢ ὀργῇ ἢ φιλίᾳ 08 b 15. — Opp. ἔπαινος.

ψόφος (ὁ), son, bruit : οἷον **ψόφῳ** καὶ χρώματι τὸ μὲν ἰδὼν οὐ κοινόν, τὸ δ' αἰσθόμενος κοινόν 07 b 20 ; κάλλος δὲ ὀνόματος τὸ μὲν ὥσπερ Λικύμνιος λέγει, ἐν τοῖς **ψόφοις** ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως 05 b 7.

ψοφώδης, ης, ες, sonore, bruyant : διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς, οὗτοι γὰρ **ψοφώδεις** 06 b 2.

ψυχή (ἡ), âme, esprit : ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα 90 b 11 ; ἄλλος [τόπος] ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς Τοπικοῖς ποία κίνησις ἡ ψυχή · ἥδε γὰρ ἢ ἥδε 99 a 8 ; παραλογίζεταί τε γὰρ ἡ ψυχὴ ὡς ἀληθῶς λέγοντος 08 a 20 ; οὐκοῦν οὐδὲ ζητεῖ τοῦτο ἡ ψυχή 10 b 20 ; μᾶλλον γὰρ γίγνεται δῆλον ὅτι ἔμαθε παρὰ τὸ ἐναντίως ἔχειν, καὶ ἔοικε λέγειν ἡ ψυχή · « ὡς ἀληθῶς, ἐγὼ δὲ ἥμαρτον » 12 a 21 ; ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον 18 b 15 ; διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς **ψυχῆς** οὐ περὶ τοῦ πράγματός ἐστιν, ἀλλὰ πρὸς τὸν δικαστήν 54 a 17 ; ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρεία νέου ἀρεταί 61 a 3 ; θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας 61 a 6 ; δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις · ἀρεταὶ γὰρ ψυχῆς 62 b 14 ; ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν 69 b 34 ; καὶ οὐ δρόμῳ, ἀλλὰ « δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ », ... καὶ « σκυθρωπὸν τὴν φροντίδα τῆς ψυχῆς », ... καὶ « ἀντίμιμον τὴν τῆς ψυχῆς ἐπιθυμίαν » 06 a 23, 25 & 30 ; καὶ ὅτι « τὸν νοῦν ὁ Θεὸς φῶς ἀνῆψεν ἐν τῇ **ψυχῇ** » · ἄμφω γὰρ δηλοῖ τι 11 b 13 ; ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ **ψυχὴν** καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή 60 b 27 ; καὶ ὡς Ἀλκιδάμας · « μένους μὲν τὴν ψυχὴν πληρουμένην, πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην » 06 a 1 ; [πολλοὶ μὲν γὰρ παχύφρονες οἱ καὶ λιθόδερμοι καὶ ταῖς **ψυχαῖς** ὄντες δυνατοὶ γενναίως ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις 77 a 7-8].

ψυχρός, ά, όν, fade, froid : διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ **ψυχρὸν** ἐμποιοῦσι, καὶ τὸ ἀσαφὲς διὰ τὴν ἀδολεσχίαν 06 a 33 ; καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίνεται · εἰσὶν γὰρ καὶ μεταφοραὶ

ἀπρεπεῖς... 06 b 5; οἷον τὸν εὐλαβῆ **ψυχρὸν** καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον χρηστὸν ἢ τὸν ἀνάλγητον πρᾶον 67 a 34; τὰ δὲ **ψυχρὰ** ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν 05 b 35; διὸ τὰ 'Αλκιδάμαντος ψυχρὰ φαίνεται 06 a 18.

ψώμισμα (τὸ), morceau, bouchée : καὶ ὡς Δημοκράτης εἴκασεν τοὺς ῥήτορας ταῖς τίτθαις αἳ τὸ **ψώμισμα** καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν 07 a 9.

ψωμός (ὁ), bouchée, petit morceau : καὶ ἡ Περικλέους [εἰκὼν] εἰς Σαμίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν **ψωμὸν** δέχεται μέν, κλαίοντα δέ 07 a 3.

*
* *

ὦ, ô : « ὦ Φιλομήλα » 06 b 17 (Gorgias) ; « ὦ ἄνδρες Ἕλληνες » (Gorgias) ; « ὦ φίλ', ἐπεί... » 18 a 8 (Homère).

ὧδε, ainsi, de cette façon : ὧδε, οἷον εἴ τις εἴπειεν 57 b 11 ; ὧδ' ἔσται φανερόν 82 a 20 ; ὧδε διακείμενοι 84 b 27 ; ὅτι... ἢ ὧδε 95 a 30 ; ὃ δὲ λέγω, δῆλον ἔσται ὧδε 95 b 4 ; οὕτω μὲν οὖν ἐλεγκτικόν, ὧδε δὲ δεικτικόν 01 a 33 ; « τάδε καὶ τάδε καὶ ὧδε » 07 b 23 & 24.

ὡδί, ainsi, de cette façon-ci : οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον 68 a 5 ; διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν, οὐ μέντοι τοσοῦτον 04 a 10*.

ὠθεῖν, pousser, bousculer : ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ **ὠθοῦντα** ἢ αἴροντα ἢ πιέζοντα ἢ συνθλίβοντα 61 b 16 ; ὁ δὲ [δυνάμενος] **ὦσαι** τῇ πληγῇ πυκτικός 61 b 25.

'Ωκεανός (ὁ), l'Océan : « μετὰ δὲ γᾶν ὕδατά τ' **'Ωκεανὸν** ἠφάνισε νύξ... » 09 a 17 (= Simonide, *fr.* 26 b Bergk = *Anonyme*, Diehl, II, p. 303).

ὦμος (ὁ), épaule : « πρόσθε μὲν ἀμφ' **ὤμοισιν** ἔχων τραχεῖαν ἄσιλλαν » 65 a 26 & 67 b 19 (= Simonide, *fr.* 163 Bergk).

ὠνεῖσθαι, acheter : οἷον ὡς ὁ τελώνης Διομέδων περὶ τῶν τελῶν · « εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι » 97 a 27 ; καὶ ὃ εἰς Πειθόλαόν τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ · « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς **ἐώνηνται** » 10 a 19.

ὤνιος, ος, ον, qui peut s'acheter : ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας τῶν ἄλλων, διὸ φαίνεται **ὤνια** ἅπαντα εἶναι αὐτοῦ 91 a 2.

ὠνομασμένως, nommément, en nommant par son nom : ἔτι δὲ οὐ πόρρωθεν δεῖ, ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως · ὃ λεχθὲν δῆλόν ἐστιν ὅτι συγγενές 05 a 36.

ὥρα (ἡ), saison, moment : διὸ καὶ **ὧραι** καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργήν, καὶ ποῦ καὶ πότε 79 a 27.

ὡραῖος, α, ον, qui est dans la fleur de l'âge : καὶ ἡ [εἰκὼν] εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους **ὡραίοις** · οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται 07 a 1 (voir Platon, *République*, X, 601 b 6-7).

ὡς, vers (prép. avec l'accusatif) : Σωκράτης οὐκ ἔφη βαδίζειν ὡς 'Αρχέλαον 98 a 25 ; Κόνων γοῦν δυστυχήσας... ὡς Εὐαγόραν ἦλθεν 99 a 5 ; ἐλθόντες δ' ὡς ὑμᾶς 10 a 19.

ὡς (adv. & conj.), comme, selon que, dans l'idée que, en tant que :

1°) **ὡς ἐπὶ τὸ πολύ** : voir ἐπί & πολύς ;

2°) **avec l'infinitif** : ὡς εἰπεῖν 54 a 12 ; 55 a 7 ; 55 b 32 ; 56 a 13 ; 82 b 27 ; ὡς ἁπλῶς εἰπεῖν 55 a 38 ; 60 b 7 ; 87 a 14 ; ὡς ἔπος εἰπεῖν 57 a 26 ;

ὡς δὲ καθ' ἓν εἰπεῖν 62 b 10 ; ὡς περὶ ἕκαστον εἰπεῖν ἰδίᾳ 77 b 20 ; ὡς δ' ἁπλῶς εἰπεῖν 82 b 24 ; ὡς δὲ καθόλου εἰπεῖν 90 b 6 ; ὡς εἰπεῖν ἁπλῶς 91 b 11 ; ὡς ἐν κεφαλαίῳ [s. ent. εἰπεῖν] 91 a 13 ; ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 4 ;

3°) **avec l'indicatif** : οὕτως ἔχει ὥς φησιν ὁ συμβουλεύων 54 b 31 ; οἷον ὁ δικαζόμενος ὡς οὐ γέγονεν ἢ οὐκ ἔβλαψεν 58 b 31 ; ὡς βούλεται 61 b 15 ; καὶ ἐὰν ὡς βούλονται 63 a 25 ; ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, καὶ τὸ ἀληθές 64 b 9 ; ὡς δοκεῖ 66 a 37 ; ὡς ὁ νόμος... οὐχ ὡς ὁ νόμος... ὡς ὁ νόμος κέλευει... ὡς ὁ νόμος κελεύει 66 b 10, 11, 12 & 15 ; ὡς ὑπάρχει 67 b 10 ; ὡς 'Εμπεδοκλῆς λέγει 73 b 14 ; καὶ ὡς... λέγει 'Αλκιδάμας 73 b 18 ; ὡς ἤεσαν διὰ τῶν πυλῶν 85 a 12 ; ὡς φασίν 86 a 21 ; ὡς εἶδεν αὐτήν 93 b 26 ; ὥς γ' ἡμῖν δοκεῖ 94 b 13 ; οἷον ὡς ὁ τελώνης Διομέδων 97 a 25 ; οἷον ὡς 'Ιφικράτης... ὅτι... 97 b 34 ; καὶ ὡς ὁ 'Ιφικράτης, ὅτι... 98 a 18 ; καὶ ὡς ἐν τῷ 'Αλεξάνδρῳ, ὅτι... 98 a 23 ; καὶ ὡς 'Αλκιδάμας, ὅτι... 98 b 11 ; ὡς ᾤετο 98 b 31 ; ὡς 'Ισοκράτης ἔγραψεν ὅτι... 99 a 2 ; ὡς εἴρηται 99 a 18 ; οἷον ὡς ὁ Σοφοκλῆς 00 b 18 ; καὶ ὡς... εἰώθασι λέγειν..., καὶ ὡς Κόνων... ἐκάλει 00 b 20* ; καὶ ὡς ἡ Εὐριπίδου 'Εκάβη 00 b 24 ; καὶ ὡς Χαιρήμων 00 b 27 ; οἷον ὡς ὁ Δημάδης 01 b 32 ; ὡς αὐτὰ λύσομεν 03 b 1 ; ὡς δεῖ 03 b 16 ; ὡς καὶ 'Ιφικράτης 05 a 19 ; 11 b 1 ; ὡς ὁ Τήλεφος Εὐριπίδου φησίν 05 a 28 ; οὐ γὰρ ὡς ἔφη Βρύσων 05 b 9 ; καὶ ὡς Γοργίας ὠνόμαζεν 05 b 38 ; καὶ ὡς 'Αλκιδάμας 05 b 39 ; 06 b 11 ; καὶ ὡς Θεοδάμας 06 b 30: καὶ ὡς Δημοκράτης εἴκασεν 07 a 8 ; καὶ ὡς 'Αντισθένης... εἴκασεν 07 a 10 ; ὡς πεφύκασιν πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων 07 a 21 ; ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει 07 b 6 ; εἰ καὶ μὴ οὕτως ἔχει ὡς ὁ λέγων [λέγει] 08 a 22 ; καὶ ὡς 'Ιφικράτης εἶπεν 11 b 1 ; καὶ ὡς κέχρηται πολλαχοῦ Ὅμηρος 11 b 31 ; (12 a 6) ; ὡς ἐκεῖνος λέγει 12 a 27 ; (13 a 9) ; ὡς αὐτοκάβδαλα φαίνεται 15 b 39 ; οὐχ ὡς ὁ διαβάλλων ἔφη 16 a 15 ; καὶ ὡς Φάϋλλος τὸν Κύκλον 17 a 15 ; καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης 17 b 1 ; ὡς ἔφη 'Επιμενίδης ὁ Κρής 18 a 24 ; καὶ ὡς 'Αρχίλοχος ψέγει 18 b 27 ; καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα 18 b 32 ; καὶ ὡς ὁ Λάκων... ἔφη 19 a 31 ; ὡς ἐλέχθη 20 b 1 ;

4°) **avec le participe** : τὴν ἐπιείκειαν... ὡς οὐδὲν συμβαλλομένην 52 a 12 ; τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον 57 b 8 ; ὡς ἐσομένων ἢ ὑπαρχόντων 62 a 15 ; ὡς ἐσομένων ἢ ὄντων 66 a 17 ; ὡς ταὐτὰ ὄντα 67 a 33 ; ὡς... ὄντας 67 b 1 ; οἱ μὲν ὡς οὐ δόξοντες, οἱ δ' ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες 72 b 22* ; ὡς ὄντας 72 b 32 ; οἱ μὲν ὡς οὐδέποτε, οἱ δ' ὡς οὐκ ἂν ἔτι [ἀδικηθέντες] 72 b 34* ; ὡς μισούμενοι καὶ φθονούμενοι 72 b 37 ; ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι 73 a 21 ; ὡς καὶ αὐτὸς μέλλων 73 a 24 ; ὡς ῥᾳδίως ἰασόμενοι 73 a 25 ; ὡς μὲν οὖν ἔχοντες ἀδικοῦσι 73 a 37 ; ὡς φύσει ὂν τοῦτο δίκαιον 73 b 10 ; ὡς παυσόμενοι θᾶττον 77 a 5 ; ὡς διὰ ταῦτα ὀργιζόμενος 78 b 35 ; ὡς ἔχοντες 80 a 1 ; ὡς γὰρ ἔχοντες δίκην 80 a 15 ; ὡς οὐ τετιμωρημένος 80 b 24 ; ὡς πεπονθόσι 80 b 26 ; ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται 82 b 28 ; ὡς ἕκαστοι ἔχοντες δεδίασι 83 a 14 ; ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων 83 a 18 ; φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων 84 a 32 ; ὡς οὐδέν πω ἠδοξηκότες 84 b 13 ; ὡς ὁρῶντας 84 b 34 ; ὡς μὲν οὖν ἔχοντες 86 a 4 ; ἢ ὡς μέλλοντα ἢ ὡς γεγονότα 86 a 35* ; καὶ ὡς ἀναξίου ὄντος 86 b 6 ; ὡς σύνεγγυς ὤν 86 b 16 ; ὡς γὰρ ἔχοντες 88 a 26 ; ὡς γὰρ προσῆκον αὐτοῖς 88 b 5 ; ὡς μισήσοντες... ὡς φιλήσοντες 89 b 24 & 25 ; ὡς οὐ δέον τὸν ἐπιστάμενον

93 b 8 ; ὡς... ἀπρεπὲς [ὄν] 95 a 4 ; ὡς ὁμολογούντων πάντων 95 a 11 ; ὡς μισήσοντας... ὡς φιλήσοντας 95 a 27* ; ὡς ἀεὶ φιλήσοντα... ὡς φιλήσοντα ἀεί 95 a 30-31 ; ὡς οὐκ ἄδικον ὄν 97 b 12 ; ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν 99 a 1 ; ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν 01 b 18 ; οὐκ ὀρθῶς ἔχοντος ἀλλ' ὡς ἀναγκαίου 04 a 3 ; ὡς δυσχεραίνων 05 b 24 ; ὡς ἀληθῶς λέγοντος 08 a 21 ; ὡς συγκαταθαπτομένης... τῆς ἐλευθερίας 11 a 33 ; ὡς ἀγαθὸν πεισόμενος αὐτός 13 a 18 ; μὴ ὡς ἓν λέγοντα... εἰπεῖν 13 b 30 ; ὡς λεγόντων ἑτέρων 18 b 33 ; ὡς ἀποροῦντος 19 a 16 ;

5°) **sens complétif** (proche de ὅτι) : ὡς οὐ γέγονεν ἢ οὐκ ἔβλαψεν 58 b 31 ; ὡς δὲ ἀσύμφορα συμβουλεύουσιν... οὐκ ἂν ὁμολογήσαιεν 58 b 34 ; ὡς δ' οὐκ ἄδικον... οὐδὲν φροντίζουσιν 58 b 36 ; ὅθεν λέγεται ὡς 62 b 38 ; δῆλον γὰρ ὡς 68 b 29 ; ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται 70 b 16* ; μεμνημένοι ὡς ἔπιον 70 b 18 ; [λέγειν ὡς 77 a 7-8] ; καὶ ὡς οὗτος ὁ κίνδυνος 77 a 14 ; φανερὸν ὡς 82 a 1 ; δῆλον ὡς 85 a 15 ; 88 a 29 ; ἴσασιν ὡς χαλεπὸν τὸ κτήσασθαι 89 b 28 ; καὶ τοὺς μὲν ὡς ἔσται, τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι 91 b 29* ; εἶπεν αὐτοῖς λόγον ὡς... 93 b 12 ; εἴ τις... φαίη ψεῦδος εἶναι ὡς... 95 a 24 ; λαμβάνειν ὡς τὸ αὐτὸ ἀεί 99 b 10 ; ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὐ πεποίηκεν, ... ἢ ὡς πεποίηκεν 01 b 5-6 ; οἷον εἰ περὶ ἔρωτος εἴη τὸ ἐνθύμημα ὡς σπουδαῖος 02 b 1 ; λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι 03 a 12 ; δῆλον ὡς... ἔσται τε ξενικόν 04 b 35 ; καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο 10 b 19 ; διὸ δεῖ ἐμποιεῖν ὡς περὶ τοιούτων ὁ λόγος 15 b 2 ; ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερόν, ... ἢ ὡς οὐ τηλικοῦτον... 16 a 7*-8 ; ἄλλος τόπος, ὡς ἐστὶν ἁμάρτημα 16 a 14 ; ἢ ὡς οὐκ ἔσται... ἢ ὡς ἔσται 17 b 34 & 35 ; « καὶ ταῦτ' εἰδὼς ὡς οὐ δεῖ πιστεύειν » 18 a 19 ; εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι 19 a 9 ;

6°) **emplois divers** (comme, en tant que, de même que) : ὡς ἐλαχίστων 54 b 12 ; οὐ γὰρ ὥσπερ ἔνιοι... τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν 56 a 12 ; ὡς τὰ πολλά 57 a 15 ; οὕτως ἔχον... ὡς τὸ καθόλου... τὸ μὲν οὕτως ἔχει ὡς... τὸ δὲ ὡς... 57 b 1-2-3 ; τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον 57 b 8 (voir 4°) ; τὸ δὲ ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος ἔχον 57 b 17 ; ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον, οὔθ' ὡς ὅλον πρὸς μέρος, οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος 57 b 27*-28* ; ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει 58 b 23* ; τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν 62 a 32-33* ; καὶ ὡς τέλος τὸ τοιοῦτον ὑπολαμβάνεται 63 a 4 ; δυνατὰ γὰρ ὡς ῥᾴδια 63 a 31 ; ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ ἀρχαί, καὶ τὰ ἀποβαίνοντα, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί 64 a 35-36 ; οὕτως ἔχει ὡς ἂν... εἴποι 64 b 16 ; καὶ ὡς ἂν ἐκ τῶν συστοίχων... καὶ τἄλλ' ἀκολουθεῖ 64 b 34 ; τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖέν ἐστι 65 a 3 ; καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας 67 b 1 ; καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον 67 b 24 ; ὡς τοιαῦται 67 b 28 ; ταῦτα ὡς ὑποθήκας λέγοντας 68 a 2 ; ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος 69 b 8 ; ὣς φάτο 70 b 29 (Homère) ; αἱ παροιμίαι... ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον 71 b 15-16 ; ἢ γὰρ ὡς ἀναγκαίου... ἢ ὡς ὑπερβολῆς 72 b 20* ; οὔτε δύνανται πείθειν, ὡς μισούμενοι καὶ φθονούμενοι 72 b 37 (voir 4°) ; οὔκουν τοῦτο σκεπτέον, ἀλλ' ὡς δικαιότερον 76 b 21 ; « ὡς εἴ τιν' ἀτίμητον μετανάστην » 78 b 34 (Homère) ; καὶ οἱ μὲν ὡς ἡττόνων, οἱ δ' ὡς παρὰ ἡττόνων 79 b 9-10 ; ἢ ὡς μέλλοντα ἢ ὡς γεγονότα 86 a 35* ; ὡς δ' αὔτως 86 b 28 ; 96 a 21 ; ὡς γὰρ ἔχοντες λυποῦν-

ται, οὕτως ἔχοντες... ἠσθήσονται 88 a 26 (voir 4°) ; ὡς ἐν κεφαλαίῳ 91 a 13 (voir 2°) ; χρῆσθαι τοῖς παραδείγμασιν... ὡς ἀποδείξεσιν... ὡς μαρτυρίοις 94 a 10 & 11 ; ὡς τὸ μὲν... γνωμολογεῖν ἀπρεπές 95 a 4 ; ὡς τὸ αὐτὸ ἀεὶ 99 b 10 ; παρὰ τὸ ἀναίτιον ὡς αἴτιον 01 b 30 ; τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσιν 01 b 31 ; καὶ ὡς αὐτὰ λύσομεν 03 b 1 ; ταῦτα ὡς δεῖ εἰπεῖν 03 b 16 ; οὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίου 04 a 3 ; μηδὲν πλείω ζητεῖν... ἢ ὡς μήτε λυπεῖν μήτ' εὐφραίνειν 04 a 4 ; ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται 04 b 20 ; ὡς νέῳ φοινικίς, οὕτω γέροντι τί 05 a 13 ; οὐ γὰρ ὡς ἡδύσματι χρῆται, ἀλλ' ὡς ἐδέσματι 06 a 18-19 ; « ὡς δὲ λέων ἐπόρουσεν » 06 b 21 ; καὶ ὡς εἰκόνας καὶ ὡς μεταφοράς 07 a 12 ; ὡς μεταφοραὶ λεχθεῖσαι 07 a 13 ; ὡς ἀληθῶς λέγοντος 08 a 21 ; ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον 12 a 6 ; « ὡς ἀληθῶς, ἐγὼ δὲ ἥμαρτον » 12 a 21 ; « ὡς ὁ Καρπάθιος τὸν λαγώ » 13 a 19 ; μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει καὶ τόνῳ εἰπεῖν 13 b 30 ; ὡς αὐτοκάβδαλα φαίνεται ἐὰν μὴ ἔχῃ 15 b 39 ; κατηγοροῦντα ὡς ἀσεβής 16 a 30 ; διὰ τὸ μόνον μὴ ἀνταγωνιστεῖν ὡς φαῦλον 16 b 15 ; καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ... ἀλλ' ὡς ἀπὸ προαιρέσεως 17 a 24-25 ; ὣς ἄρ' ἔφη 17 b 5 (Homère) ; ἵνα ὡς τοιοῦτον θεωρῶσιν 17 b 7. — Voir ἵνα, ὅπως, οὕτως.

ὥς, ainsi : « ὣς φάτο » 70 b 29 (= *Iliade*, XXIII, 108) ; « ὣς ἄρ' ἔφη » 17 b 5 (= *Odyssée*, XIX, 361).

ὡσαύτως, ainsi, de la même manière : καὶ οἱ ἄλλοι ὡσαύτως 63 b 3 ; καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως 63 b 12 ; καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως 63 b 37 ; καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως 65 a 7 ; καὶ κατὰ τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως 66 b 34 ; ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει 69 b 2 ; καὶ... ἐν τοῖς ἡδέσιν ὡαύτως 69 b 28 ; καὶ ἐν πένθεσι καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή 70 b 25 ; καὶ τοὺς πρὸς αὑτοὺς ὡσαύτως ἔχοντας 81 b 11 *var.* ; καὶ ἂν διὰ ταῦτα ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς, ὡσαύτως 87 a 22 ; ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα 88 a 13 ; ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς 91 b 15 ; καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι 96 b 32 ; κάλλος δὲ ὀνόματος... ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως 05 b 8 ; οὐ γὰρ ταὐτὰ οὐδ' ὡσαύτως ἀγροῖκος ἂν καὶ πεπαιδευμένος εἴπειεν 08 a 32 ; καὶ τὰ ἀσύνδετα ὡσαύτως 13 b 29 ; καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα... καὶ ἡ κωμῳδία ὡσαύτως 15 a 22 ; ὡσαύτως καὶ εἰ περὶ τοῦ γενέσθαι τοῦτο ἡ ἀμφισβήτησις 17 b 26. — Voir le suivant.

ὡς δ' αὔτως, justement ainsi, de cette façon-ci : δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν 86 b 28 ; ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι κατηγοροῦσι καὶ ἀπολογοῦνται 96 a 21.

ὥσπερ, comme, de même que, pour ainsi dire : ὥσπερ λέγομεν 54 b 12 ; ὥσπερ πρότερον εἶπον 55 a 1 ; ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς ἐλέγομεν 55 a 28 ; ὥσπερ καὶ ἐπὶ τῆς διαλεκτικῆς συλλογισμόν 55 b 16 ; οὐ γὰρ ὥσπερ ἔνιοι 56 a 10 ; κατὰ τὴν 'Ρητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικήν 58 a 5 ; ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης 60 a 27 ; καὶ ὥσπερ ἐπὶ πόλεως 60 b 35 ; ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις 61 a 10 ; ὥσπερ 'Ηρόδικος λέγεται 61 b 4 ; οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνονται 63 a 9 ; ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν 63 a 11 ; ὥσπερ καὶ φαῦλοι οὓς οἱ φίλοι ψέγουσι 63 a 13 ; ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη 64 a 19 ; ἡ γὰρ τιμὴ ὥσπερ ἀξία τίς ἐστιν 65 a 8 ; ὥσπερ 'Επίχαρμος 65 a 16 ; τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ 65 a 32 ; ὥσπερ καὶ Σαπφὼ πεποίηκεν 67 a 8 ; ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν 67 b 8 ; ἀλλ'

ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν [περιέχει] 67 b 34; καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ πεφυκὸς ἤδη γίγνεται 70 a 6; ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι [ἐπιθυμίαι] 70 a 21; ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ 70 b 11; ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων 71 a 15; οἷον τό τε μιμητικόν, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιΐα καὶ ποιητική 71 b 6; ὥσπερ καὶ ὁ ποιητής φησι 71 b 31; πάντες γὰρ τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα φυλάττονται καὶ τἀδικήματα 72 a 27; οἷον εἰ συνέβη... ὥσπερ Ζήνωνι 72 b 5; ὥσπερ ἐν τοῖς πολεμικοῖς 72 b 10; ἐνδεεῖς, ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες, ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ πλούσιοι 72 b 20*; ὥσπερ γὰρ ἡ παροιμία 73 a 3; ὥσπερ λέγεται Αἰνεσίδημος 73 a 22; ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλός 73 a 25; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων 74 a 17; καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν 75 b 5; ἔτι καὶ αἱ παροιμίαι, ὥσπερ εἴρηται, μαρτύριά ἐστιν 76 a 3; ἡ οὖν τότε γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων 78 b 10; ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν 79 a 26; ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ 79 b 15; ὥσπερ εἰληφέναι γὰρ οἴονται τιμωρίαν 80 b 15; ὥσπερ οἱ ἀποτυμπανιζόμενοι ἤδη 83 a 4; ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις 83 a 29; ὥσπερ γὰρ θαυμαζόμενοι διάκεινται 84 b 12; ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν 84 b 32; περὶ δὲ τούτους ὥσπερ περὶ αὐτοὺς μέλλοντας ἔχουσιν 86 a 19; ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι 89 a 8; ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον 89 a 15; ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως 89 a 18; ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις 90 b 25; ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ οὕτω διάκεινται [οἱ πλούσιοι] 90 b 34; ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι 91 a 16; πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται, ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς · ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν 91 b 14-15; ὥσπερ εἴρηται 92 a 5; ὥσπερ καὶ Ἰσοκράτης ἔφη 92 b 11; ὥσπερ εἴ τις λέγοι ὅτι 93 a 32; ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη 93 b 5; ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς [τοὺς λόγους] 94 a 4; ὥσπερ... 94 b 18; τὸ... γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν 95 a 5; ὥσπερ φασίν 95 a 26; ... « οὐχ ὥσπερ φασίν » 95 a 29; ὥσπερ εἴρηται 95 b 5; ὥσπερ φασὶν οἱ ποιηταί 95 b 29; καὶ διαφέρει ὥσπερ ἐν τοῖς διαλεκτικοῖς ἔλεγχος καὶ συλλογισμός 96 b 24; ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου 97 b 2; ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς 98 a 27; ὥσπερ τὸ εἰς Μιξιδημίδην εἶπεν Αὐτοκλῆς 98 b 26; ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν 98 b 29; ἢ ὥσπερ Ἀρίστιππος πρὸς Πλάτωνα 98 b 30; ὥσπερ Ἰσοκράτης φησίν 99 a 4; ὥσπερ ἐν τοῖς Τοπικοῖς 99 a 7; ὥσπερ ἐν τοῖς διαλεκτικοῖς 01 a 3; ἔτι ὥσπερ ἐν τοῖς ἐριστικοῖς 02 a 3; ὥσπερ καὶ Ἀγάθων λέγει 02 a 10; ἀλλ' ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν 02 a 15; ἀλλ' ὥσπερ εἴρηται 02 a 23; ὥσπερ ἐλέγομεν 02 b 31; ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις 03 a 3; ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν κ. τ. α. 03 a 19; ὥσπερ καὶ περὶ τὴν ποιητικήν 03 b 25; ὥσπερ πέφυκεν 04 a 20; ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων..., οὕτω καί... 04 a 31; ὥσπερ γὰρ πρὸς τοὺς ξένους 04 b 8; ὥσπερ Λικύμνιος λέγει 05 b 6; ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις 05 b 30; ὥσπερ εἴρηται 06 b 4; οἰστέαι δὲ [αἱ εἰκόνες] ὥσπερ αἱ μεταφοραί 06 b 25; ὥσπερ ὁ μέν... ἀπαιτεῖ τὸν δέ 07 a 23; ἃ μὴ ῥᾴδιον διαστίξαι, ὥσπερ τὰ Ἡρακλείτου 07 b 13; ὥσπερ Γοργίας ἐποίει καὶ τὰ ἐν τῷ Φαίδρῳ 08 b 20; ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία 08 b 24; ὥσπερ καὶ χρῶνται 09 a 13; ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί 09 a 26; καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα 09 b 9; ὥσπερ καί... τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου 09 b 11; ὥσπερ καὶ ἡ εἰρημένη περίοδος 09 b 15; ὥσπερ οἱ ἐξωτέρω

ἀποκάμπτοντες τοῦ τέρματος 09 b 23; ὥσπερ Περικλῆς ἔφη 11 a 2; ὥσπερ εἴ τις τὸ ἔαρ... ἐξέλοι 11 a 4; καὶ ὥσπερ Κηφισόδοτος... ἐκέλευεν 11 a 28; « σὲ δ' ὥσπερ ἄφετον » 11 b 28; ὥσπερ Ἀρχύτας ἔφη 12 a 13; ἀλλ' ὥσπερ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα 12 a 28; οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν 12 a 30; ἢ ὥσπερ Ἰσοκράτης τὴν ἀρχὴν τῇ πόλει ἀρχὴν εἶναι τῶν κακῶν 12 b 6; ὥσπερ εἴρηται καὶ ἐν τοῖς ἄνω 12 b 34; ὥσπερ ἡ ἀνάλογον μεταφορά 12 b 36; ὥσπερ εἴκασεν Θρασύμαχος 13 a 8; « ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ » 13 a 13 & 28; « ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ » 13 a 14 & 25; τὸ δὲ « ὥσπερ τὸ καὶ τό » 13 a 24; οἷον Χαιρήμων · ἀκριβὴς γὰρ ὥσπερ λογογράφος 13 b 13; ὅπερ ὥσπερ ὁδοποιεῖ τῷ ὑποκρίνεσθαι 13 b 23; ὥσπερ ἂν εἴ τις διέλοι 14 a 36; ὥσπερ ἐν ποιήσει πρόλογος 14 b 19 *var.*; ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέξανδρος ὁ Πριάμου 14 b 38; ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα 15 a 14; κἂν μὴ εὐθὺς ὥσπερ Εὐριπίδης, ἀλλ'... ὥσπερ καὶ Σοφοκλῆς 15 a 20*; ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν 15 b 8; ὥσπερ ἔφη Πρόδικος 15 b 15; ὥσπερ Ἰφικράτης πρὸς Ναυσικράτην 16 a 10; ὑπελαμβάνοντο ὥσπερ αὐτὸς νῦν 16 a 26; ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα 16 a 29; καὶ ὥσπερ ὁ τῷ μάττοντι ἐρομένῳ 16 b 31; ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς 16 b 33; καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν 17 a 24; ὥσπερ Σοφοκλῆς ποιεῖ 17 a 29; ὥσπερ ἂν εἴ τινες περὶ τοῦ δικαίου ἀμφισβητοῖεν 17 b 29; ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον 18 b 14; εἰ ἔδοξεν αὐτῷ, ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις 19 a 27; οὕτως ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις 19 b 29.

ὥστε, ὥστ', ὥσθ', de manière à, si bien que, au point de : ὥστ' εἰ περὶ πάσας ἦν τὰς κρίσεις 54 a 18; ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον 54 b 3; ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές 54 b 10; ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν... 54 b 30; ὥστε πρὸς τὸ αὐτῶν σκοπούμενοι... διδόασιν... ἀλλ' οὐ κρίνουσιν 54 b 33; ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι 55 a 22; ὥστε δεῖ τούτων τοῖς μὲν χρήσασθαι, τὰ δὲ εὑρεῖν 55 b 39; ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα 56 a 5; ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι 56 a 25; ὥστ' εἴπερ καὶ..., ἀναγκαῖον... 56 b 8; ὥστ' ἀναγκαῖον 57 a 13; ὥστε ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ ταὐτὸ εἶναι 57 a 32; ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν 58 b 6; ὥστε περὶ μὲν πόρων... δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι 59 b 23; ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τέ ἐστι πολιτειῶν εἴδη 60 a 20; ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν 60 a 26; οὕτως διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι 60 a 29; ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι 60 a 33; ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐστιν... ἡ εὐδαιμονία 60 b 7; οὕτω κεκτῆσθαι ὥστ' ἐφ' αὐτῷ εἶναι τὴν χρῆσιν αὐτῶν 61 a 20; αὕτη δὲ [ἡ ὑγίεια] οὕτως ὥστε ἀνόσους εἶναι 61 b 3; ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτων τισίν ἐστιν ἰσχυρός 61 b 17; τοσούτῳ μείζονι ὥστε 61 b 20; ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ ἀνάγκη ἀγαθὰ εἶναι 62 b 7; ὥστε φαίνεται μεῖζον ἀγαθόν 64 a 9; ὥστε καὶ φιλεταιρία φιλοχρηματίας [καλλίων] 64 b 2; ὥστε καὶ μεῖζον οὐ μᾶλλον 65 a 1; ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία 65 b 12; ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τι ἂν εἴη μόριον ἢ ὅλον τούτων 65 b 30; ὥστε ὅσον παραδείγματος χάριν εἴπωμεν καὶ περὶ τούτων 66 a 32; ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο 68 a 7; ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος 68 a 28; ὥστε πάντα ὅσα μὴ δι' αὐτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ 68 b 36; ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά 69 a 5; ὥστε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὐτοὺς πράττουσιν 69 b 18; ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα 70 a 32; ὥστε τὸ θαυμαστὸν ἐπιθυμητόν 71 a 33; ὥστε μανθά-

